Ταινάριοι ἐπὶ Ἀριστοκρατίδα· | Κλεόμαχος Σηρανδρίδα, | Τίμων Στεφάνου, | Πολυδάμας Πολυστράτου, Στέφανος Σηρίππου, | Ἀριστοκράτης, | Τίμων Τιμοκλέος, | Ἀριστογένης Ἀριστοκλέος, | Καλλιάδας Εὐδαιμοτέλεος, Σίπομπος Σίμου, | Καλλιάδας Καλλικράτεος, | Καλλικράτης Εὐμωλίωνος, | Ἀριστίδας Κλεοδάμου, | Ἄρατος Δεξικράτεος, Χαιρήμων Καλλινίκεος, | Ἀμείνιππος Δαμοκράτεος, | Ἀμίαντος Ἀριστονίκου, | Κρατιστόλας Ἀριστόλα, | Στέφανος Στεφανοκλέος, Νίκανδρος Παντοκλέος, | Νικόδαμος Νικία, | Ἀριστοκλῆς Φιλέα, | Σήριππος Εὐξένου, | Σίπομπος Ἀριστοδάμου, Πρατόλας Ἀριστοτίμου, | Πρατόνικος Καλλικράτεος, | Σικλῆς Σωτηρίδα, | Τιμοκλῆς Κλέωνος, | Ἆγις Στρατίου, Μνάσων Μνασικράτεος, | Θέων Μνασικράτεος, | Δαμέας Νικία, | Ἀριστόμαχος Πασικλέ[ος], | Κραταιμένης Ἀνδρομένε[ος], Δαμάγητος Τιμοκράτε[ος], | Ἵεραρχος Ἀρχίππου | Φιλόφρων Σοΐδα, | Ἀλκισοΐδας Ἱπποδάμου, | Ὀλυμπιάδας Ὀλυμπιάδα, Νικομήδης Νικία, | Ἁγήμων Περικλέος, | Φιλοκλῆς Τιμοξένου, | Τάρας Τιμόλα· | κάρυκες· Ἀρχίτας Ἀριστοκλέος, | Κλεώνυμος Κλήτορος· | μάντις· | Ἀρέτιππος Λυσίππου· | αὐλητάς· Ἀριστόαμος· δ γραμματεύς· Κλήνικος (Κληνίκου)· | τὸν σὶν φέρων· Εὐδαιμίων· | ἐπὶ γραφῶν· Εὐάμερος· | κοιακτήρ· Εὔβιος· | μάγειρος· Κτησιφῶν.

vs. 1 Cf. *Ταιναριάς· παρὰ Λακεδαιμονίοις ἑορτὴ Ποσειδῶνος· καὶ ἐν αὐτῇ Ταιναρισταί.* Hes.; *τέμενος Ποσειδῶνος* [Spartae], *Ταινάριον δὲ ἐπονομάζουσιν* Paus. III 12, 5. Exstant duo similes titt. DI 4445/6 = IG V 1, 210. 212; tres catalogos brevi tantum temporis intervallo diremptos esse constat. Cf. etiam Nilsson Griech. Feste 67 sqq. vs. 49. 50: notam patris homonymi dant Conze et Michaelis, omittit Foucart; certa esse videtur in vs. 50 (IG).

26 Anaglyphum, in quo templum distylum in antis repraesentatur. I. — Dedicatio agonistica; cf. nr. 27/9. 31/5. — Tillyard ABS 12, 380, 47. Woodward ib. 14, 94/6. DI IV p. 683, 8. IG V 1, 256.

υἱὸς Ἀριστοκρίτω Ξενοκλῆς μῶἁς με ἀ[νέθηκε]. | Ξενοκλῆς | Δηϊλόχοι κασὲν | μικιχιδδόμενος | πρατ[οπάμ]|παις.

vs. 3 *Δηϊλόχοι* DI. — De dialecto Lac. recentiore cf. Hermann IF 32, 358/64 (33, 433 sq.) et Thumb ib. 33, 294/9.

27 Stela marmoris caerulei. Aet. Augusti. — Dedicatio. — Tillyard ABS 12, 361, 5 (cf. Woodward ib. 13, 199). IG V 1, 264.

Τιμοκράτης Ἐπι|νικίδα ἐπὶ Ἀρι|στοτέλεος νικά|ἁς τὸ παιδιχὸν κελῆᾳ.
[ε]ὔστομον εὔτρο[χά]λον | γλώσσης τόδ' ἄεθλον | ἀείρας, |
Παρθένε, σοὶ δρέπανο[ν Τ]ιμοκράτης ἔθετο.

vs. 9 *δρέπανον*: victores deae falcem ferream offerre solebant; cf. ad nr. 33 et IG V 1 p. 79.

28 Stela marmoris caerulei. I/IIp. — Dedicatio. — Tillyard ABS 12, 366, 15. DI IV p. 683, 9. IG V 1, 279.

Ὀνασικλείδας Φιλο|στράτου νεικάσας | κασσηρατόριν πρατο|παμπαίδων, ἁτρο|παμπαίδων, εἰ|ρένων δὲ κελοῖαν.

κασσ.: cf. *οἱ τὸν ταῦρον πεφειράκοντες* nr. 596 extr.

29 Tabula marmoris caerulei. ca. 132p — Dedicatio. — Tillyard ABS 12, 365, 12 (cf. Woodward ib. 13, 199). IG V 1, 286 et add.

[ὁ δεῖνα ex. gr. *Σωσι]|βίω, Λακρ[ίνηρ] | τῶ Ἀριστοτέ|ληρ συνέφη-|βορ, ἐπὶ πατρονόμω Μ(άρκω) Οὐλ|πίω Ἀφθονή|τω νεικάἁρ | τὸ παιδικὸν | μῶᾳ μιχιχιδδόμενορ.*

Λακρ., Ἀριστ.: id genus exempla congessit Tillyard ABS 13, 187 (IG V 1, 286. 300. 303. 306), septimum exemplum est in nr. 36, dubium in IG V 1, 1177, 11; de ratione gramm. (*-ης* = *-ις* i. e. *-εος*) Kretschmer Gl 10, 227; Schwyzer *Ἀφιέρωμα εἰς Γ. Ν. Χατζιδάκιν* (Athen. 1921), 82/8.

30 1) Lapis quadratus marmoris cani. — 2) [²35] Columna marmoris caerulei. — Dedicationes. — Ross Inscr. Gr. ined. I 37. 41. DI 4494. IG V 1, 407. 445.

1) *Ζανὶ ἐλευθ|ερίοι Ἀντωνεί|νοι σωτῆρι. latus aversum: Ἀρισ|[τ]είδ|[ης -* — 2) *[Ζα]νὶ | ἐλευθε|ρίοι καὶ | Ὀλυμπίοι Ἀντων|είνοι σωτῆ|ρι.*

Cf. IG ad 407—445: „Antoninum imperatorem aliquando singulari honore ornandum censuerunt Spartani, ut sive in compitis sive in aedibus adeo omnibus aras tabulasve ponerent inscriptas *Z. ἐ. Ἀ. σ.*; vel quod vitato exitu *ῳ* antiquitatem captabant, publice constitutum est. Raro forma *Ἀντωνῖνος* occurrit. Litteras autem praeoptabant quadratas fortasse tum antiquas habitas.“

31 Stela marmoris cani. ca. 140p. — Dedicatio. — Tillyard ABS 12, 372, 32. Bu 73. DI IV p. 683, 11. IG V 1, 289.

Εὐδόκιμορ (Εὐδοκίμω) κε|λοίᾳ καὶ Εὐδόκι|μορ Δαμοκράτεορ | ὁ καὶ Ἀριστείδαρ κασ|σηρατόριο(ν) νεικάἁν|τερ ἐπὶ Ἀλκάστω βουαγοὶ | μικιχιδδομένων Ϝωρ|θέᾳ.

vs. 5 (ν): ι l.

---

32 [[2]37] Stela marmoris albi. Haud multo post 160p. — Dedicatio. — *Κουμανούδης Ἀθήναιον* 1, 256. DI 4498. Bu 70. IG V 1, 301.

[- - - καὶ - - -]ος καὶ Νεικηφόρ|ος οἱ Νεικηφόρου | νεικάἁντερ κασ-| σηρατόριν μῶἁν καιλο[ῖ]|αν Ἀρτέμιδι Βωρθέᾳ ἀν|έθηκαν ἐπὶ πατρονόμ|ου Μάρ(κου) Αὐρ(ηλίου) Σωσινείκου | τοῦ Νεικάρωνος φι[λ]ο-[καί]|σαρ[ορ καὶ φιλοπάτριδορ - - - -].

---

33 [[2]36] Tabula marmoris rubri aëtomate ornata, in qua foramen, cui falx (cf. nr. 27) inserebatur, incisum. IIp ex. — Dedicatio. — *Κουμανούδης Ἀθήναιον* 1, 255. DI 4499. IG V 1, 305.

ἀγαθᾷ | τύχᾳ· | Μ(ᾶρκορ) Αὐρ(ήλιορ) Ζεύξιππορ ὁ κ[αὶ] | Κλέανδρορ Φιλομούσω, ἱερεὺρ Λευκιππίδων καὶ Τινδαρι|δᾶν, βουαγὸρ μικκιχιδδομέ|νων, ἐπὶ πατρονόμω Πο(πλίω) Αἰλίω | Δαμοκρατίδα τῶ Ἀλκανδρίδα, ἀρ|χιερέορ τῶ Σεβαστῶ καὶ τῶν [θ]είων προγόνων ὠτῶ, φιλο||[καί]σαρορ καὶ φιλοπάτριδορ, αἰω||[νίω] ἀγορανόμω, πλειστονε[ίκα | παραδ]όξω καὶ ἀρίστω Ἑλλά[νων, | νεικά]ἁρ κασσηρατόριν [μῶαν κελέαν? Ἀρτ]έμιδι Βωρθέᾳ ἀν[έθη]|κεν.

vs. 5 *Τινδαριδᾶν*: -ι- sicut in nr. 38. 42, contra *Τυνδάρης* nr. 24, 3; cf. Kr. V. 205; Solmsen KZ 42, 223 sq. 10 *ὠτῶ*: cf. Wackernagel KZ 33, 12; Kretschmer Gl 4, 208. 12 *πλειστονε[ίκα]* Ern. Fraenkel Geschichte der nomina agentis auf *τηρ* 2, 97[1].

---

34 Stela marmoris caerulei. IIp ex. — Dedicatio. — Tillyard ABS 12, 368, 21. Bu 71. IG V 1, 307.

Κλέανδρορ | ὁ καὶ Μῆνιρ | Καλλιστράτω | βουαγὸρ ἐπὶ πατρονόμω | Γοργίππω τῶ (Γοργίππω) | νικάἁρ μῶἁν Ἀρτέ|μιτι Βωρσέᾳ ἀνέση|κε.

---

35 [[2]34] Stela aëtomate ornata, in vico *Μαγούλα* reperta. IIp med. — Dedicatio. — Kirchhoff H 3, 449/51. DI 4500. Bu 72. IG V 1, 309.

ἀγαθῇ τύχῃ. | Φίλητορ | Φιλήτω | ἐπὶ πατρονόμω Γορ|γίππω τῶ (Γοργίππω) | νεικάἁρ κελῦαν | Ἀρτέμιτι Βωρσέᾳ | ἀνέσηκε.

De *Βωρσέα* cf. ad nr. 5.

---

36 Ex ectypo, quod Woodwardi liberalitati debetur, IG V 1, 653 a. — IIp ex. — Honores.

ἁ πόλιρ | Μᾶρκον Αὐρῆλιν | Εὐάρεστον Ζωΐλω, | συνέφηβον Μ(άρκω) Αὐρηλίω Ἀριστοκράτηρ τῶ Δαμαι|νέτω καὶ Τιβερίω Κλαυδίω | Εἰρανίωνορ τῶ Ὑγείνω | ἐπιφανῶρ καρτερήἁντα, | ποδδεξαμένων τὸ ἀνάλωμα τῶν βουαγῶν.

vs. 5 *Ἀρ.*: cf. ad nr. 29.

b) Tituli oppidorum Laconicae (nr. 37—56). Tit. Xuthiae (nr. 57).

37 [27] Sellasiae. Basis marmorea. VII vel VI. — Tit. artificis(?). — IGA 61a (p. 184; e Purgoldi apographo). Im 99. Rob 255a. DI 4523. IG V 1, 920.

Εὔμυθις | απονα϶ε.

Interpretatio maxime dubia. Cf. Stolz WSt 8, 159/61. Fay KZ 42, 86.

38 [28] Sellasiae. Stelae marmoris cani pars inferior iuxta vicum *Βούρλια* reperta. — Dedicatio. — IGA 62a (e Purgoldi apographo). Im 99. Rob 255. DI 4524. IG V 1, 919. Ge 69.

Πλε̄στιάδας μ' ἀ[νέθε̄κε] | Διοσκόροισιν ἄ[γαλμα] |,
Τινδαριδᾶν δ[ιδύμο̄ν] | μᾶνιν ὀπι(δ)δόμ[ενος].

Τινδ.: cf. ad nr. 33. *Τ. μᾶνιν*: cf. cret. *ὅστι[ς] ἀποστερί[δδ]οι τῶν ἰο̃ν* (i. e. *e sagittis consecratis*), *ἔ(μ)μανιν ἡμε̄[ν] αὐτο̃ι τ[ὰν] Ἀθ[α]ναίαν* DI IV p. 1038 nr. 20; infra nr. 193, 78 sqq.; de *ἔμμ.* adi. cf. Jacobsthal IF 21 suppl. 140 sq.; Brause 82.

39 E fanis Apollinis Tyritae (et Maleatae) prope Tyrum sitis. V. — 1) Vasis aenei fragmentum. 2) Leo aeneus. 3) Ansa aenea. 4) Calix fictilis. — Dedicationes. — *Ῥωμαῖος Πρακτ.* 1911, 264/9. IG V 1, 1517. 1519. 1520/1.

1) *Ἀ]πέ(λ)λο̄ν Τυρίτ[ας].* — 2) *Ἀπό(λ)λο̄νος ἐμ [Μαλέαις].* — 3) *Περδι(κ)κίας ἀνέθε̄κε - - -.* — 4) *Γειτο̄νίδας ἀνέθε̄κε το̃ι Ἀπό(λ)λο̄νι πὰρ Δο̄ριέος δο̃ρον.*

1 cf. *κώμα Λακεδαιμονίων Τυρῖται* DS[3] 407 (275[a]).

40 E fano Apollinis Hyperteleatae inter Epidaurum Limeram et Acrias sito. 1) Basis marmoris albi. 2) et 3) in margine vasorum aeneorum. — Dedicationes. — 1) Lolling EA 1890, 65, 1. Im 100 2) *Καραπάνος* EA 1884, 203, 3. 1 et 2 DI 4537. 4540. 1—3 IG V 1, 981. 983. 984.

1) *Μενεστικλε̃ς το̃[ι] | Ἀπέ(λ)λο̄νι ἀ:(νέθε̄κε).* — 2) *το̃ι Ἀπέ(λ)λο̄νι ἀνέθε̄κε Εὐόνυμος.* — 3) *το̃ι Ἀπέ(λ)λο̄ν[ι] Ηυπερτελεάται - -.*

41 E fano Apollinis Hyperteleatae. Taeniolae aeneae. — Dedicationes. — IG V 1, 997. 1018.

1) Ἀντίγονος πουροφόρος Ἀπόλλωνος | Ὑπε[ρτε]λεάτα Ἀσωπίτας. — 2) Ἄσωπος πουροφόρος.

Ad ου pro υ posito cf. τουτθὸν (δὲ ἀνθήσαντας) IG V 1, 1355, 5 (II^p, Abiae).

---

42 [^{2}28] Cytheris. Stela et anaglyphum marmoris albi. IV. — Dedicatio. — Μυλωνᾶς BH 2, 365, 4. DI 4552. Mi 1078. IG V 1, 937.

Μένανδρος | ἁρμοστὴρ | Τινδαρίδαις.

Τινδ.: cf. ad nr. 33.

---

43 [^{2}29] Cytheris. Basis quadrata marmoris rubri. — Dedicatio. — Κουμανούδης Ἀθήναιον 4, 466, 25. DS 506. DI 4553. Mi 1079. IG V, 1 938.

Ὀνασίπολις γυμνα|σιαρχήσας τὸ πυρι|ατήριον καὶ τὸ κόνισ|μα Ἑρμᾶι.

---

44 Cotyrtae. Stela marmorea cymatio simplici ornata, reperta prope fanum Apollinis Hyperteleatae. II. — Proxenia. — Κουρουνιώτης EA 1900, 155/60. R. Meister LpzAbh 24, 17. DI IV p. 690, 36. IG V 1, 962.

ἐπειδὴ Πειΐτας Κρατησινίκ[ου] | Ἀσωπίτας εὔνους ὢν ὑπά[ρχει] | τᾶι πόλει τῶν Κοτυρτατᾶν [δι|ὰ] | προγόνων, νῦν τε, τᾶς π[όλιος χρ]είαν ἐχούσας διαφ[ό]ρ[ων, πα|ρ]αγενομένων ποτ' αὐτ[ὸν εἰς | Ἄ]σωπὸν τῶν καταστάντ[ων] | μετὰ τῶν ἐφόρων ἐκ τ[ᾶς πόλιος] | καὶ οἰομένων δεῖν δανε[ῖσαι τᾶι] πόλει ἀργύριον ἐπαγγείλα[το] | καὶ ἔδωκε ὅσου χρείαν ἦχ[εν ἁ πό]λις ἄτοκον, ἀπροφάσιστον | ἑαυτὸν ποιῶν, ἔδοξε τᾶι π[ό]|λει τῶν Κοτυρτατᾶν· [Πειΐταν] Κρατησινίκου Ἀσωπί[ταν πρό]|ξενον ἦμεν καὶ εὐεργέτ[αν] | τᾶς πόλιος αὐτὸν καὶ [ἐκγόνους], | ὑπάρχειν δὲ αὐτῶι καὶ [τοῖς] | ἐκγόνοις καὶ χρήμα[σιν ἀσφά]λειαν καὶ ἀσυλίαν κ[αὶ πολέ|μ]ου | καὶ εἰράνας καὶ ἰσοπο[λιτεί]|αν καὶ ἐπινομίαν καὶ [ἀτέλει]|αν πάντων, καλεῖν [δὲ αὐτὸν] | καὶ εἰς προεδρίαν ἐν τοῖς [γυ]μνικοῖς ἀγῶσιν, οἷς ἁ [πόλις] τίθητι, ὅκκα καὶ τοὺς ἄλλους | προξένους καὶ εὐεργέτας | καλῆι, καὶ τὰ λοιπὰ τίμια, ὅσα | καὶ τοῖς ἄλλοις προξένοις καὶ εὐεργέταις τᾶς πόλιος τῶν | Κοτυρτατᾶν, ἀναγράψαι δὲ | τὰν προξενίαν ταύταν | τοὺς ἐφόρους τοὺς περὶ Εὐ|κρατίδαν εἰς στάλαν λιθίναν καὶ ἀναθέμεν εἰς τὸ | ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ | Ὑπερτελεάτα, ὅπως πᾶσιν | φανερὸν ἦι, διότι ἁ πόλις | τοὺς ἰδίους εὐεργέτας τ[ι]μεῖ ταῖς καταξίοις τιμαῖς.

vs. 1 Πειΐτας i. e. Πεισίτας (cf. Πειhι(π)πίς nr. 45); ΠΕΙΤΑΣ IG V 1, 159, 30 corr. in Πε(ι)ΐτας (ib. p. 328). 40 τιμεῖ: orthographia recentior formae -ῆι.

---

45 Pleiis (prope Asopum). Anaglyphum marmoreum, Asopi repertum. V. — Dedicatio. — TreuAZ 40, 145/8. Im 101. DI 4559. IG V 1, 1107a.

Πειhι(π)πὶς | ἀνέθεκε Ἀρτ|αμιδ[ι].

46 Geronthris. Fragmentum marmoris caerulei. V. — Dedicatio. — Tillyard ABS 11, 108/11. DI IV p. 689, 20. IG V 1, 1120.

[δεύτερος - - νικάσ]|ας στάδιο[ν καὶ δίαυ]|λο(ν), τρίτος hαμᾶ δίαυλ[ον], | τέταρτος τᾶι hεκα|τόμβαι τὸς πέντε δολίχο̄ς τριετέρε̄ς ἐὸν | νικε̄ι· τᾶι δ' ἄλλαι στά|διον καὶ δίαυλον καὶ | δόλιχον καὶ τὸς πέν|τε δολίχο̄ς καὶ τὸν hoπλίταν νικε̄ι hαμᾶ.

Cf. nr. 12. vs. 2 (ν) deest in t. 4 *ἁ ἑκατόμβα*: sollemnia in honorem Apollinis Hecatombaei habita (IG).

47 Geronthris. Titt. sepulcrales militum in proeliis occisorum. 1 [²15, 3] ad pugnam a. 418 commissam refertur, 2 [²15, 2] IV in. — IGA 77b.a. Im 104. 102. Rob 263 (1). DI 4529. 4528. IG V 1, 1124/5.

1) *Εὐάλκε̄ς | ἐν πολέμο̄ι | ἐν Μαντινέαι.* — 2) *Τε̄λεφάνε̄ς | ἐμ πολέμο̄ι.*

48 [²30] Geronthris. Lapis opisthographus. Post 146. — Proxenia. — Le Bas RA 2, 73 sqq. DI 4530. IG V 1, 1111.

[ἔδοξε τᾶι πόλι τῶν Γερονθρη]τᾶν· ἐπ[ει|δὴ - - - - - Ἐρετριεὺς] καὶ Ἐτε|[- - - - - - - - π]αρα[γ]ενό[με|νοι] - - - - - - - -]οστον οι - - - - - -] ν[. .]ετο κατὰ τὸ | [δυνατὸν, - - - - -] Ἐρετριέα, Ἐτ[ε | - - - - - ἀνάγγει]λ[ά]ν τε ὅσας ἐτύν|[χανον - - - -] ενον δὲ εἰς [Εὐ]ρώτα[ν | [- - - εἰς τ]ὰν [πόλι]ν ἀνεστρεμμέ[νοι εἰσὶν - - ἀξί]ως μὲν τῶ ἔθνεος [τῶ | ἀποστείλαν]τος α[ὐ]τώς, ἀξίως δὲ τᾶν βι| - - - - - [κ]αὶ [ἐ]πὶ τοῖς γεγωναμένοις | - - - ω . . ει . . ερα . . . . εὐδοκοῦντε[ς] | - - - - - - - - - - ωκινια εξι[- - - δι]αλύ[σαν]τος ωσ . . . . λιαν καὶ συ|- - - - - - ντα. καὶ ἐπὶ Προξέν[ω | τῶν -] δ [- ἐπιφερομ]ένων ἐπὶ κοινῷ [τῶν | Λακεδαιμονίων δίκ]ας τ[ᾶι] πόλι τῶν Γερονθ[ρη|τᾶν παρεκάλεσαν α]ὐτὼς καὶ τὸν γραμματῆ [αὐτῶν] . . . . . . τον Κόσσω Καρύστιον καὶ | [προςείλοντο ἐκ τῶν] Λακεδαιμονίων καθ . . | [nomen - -,]οκράτιος Γυθειά|[ταν, nomen - -]οκράτη Πυρίχιον καὶ ἀ[π|έστειλαν αὐτὼς] εἰς τὰν πόλιν ταύταν [- - - - - - - κ]αὶ θ' [ἅ]τερα ἃ ἔδει α[ὐ|τοῖς καὶ τᾶς κρίσιος στέλλ]εσθαι τὸ ἀντίγραφον· | [εἶμεν δὲ αὐτὼς] καὶ ἐγγόνως προξένως καὶ | [εὐ]εργέτας τ]ᾶ[ς πόλι]ος τῶν Γερονθρητᾶν | (latus B) καὶ ἔχην ἔγκτησιν γᾶς τε [κ]α[ὶ οἰκίας] καὶ τὰ λοιπὰ τίμια ὑπάρχην α[ὐτοῖς ὅ]|σα καὶ τοῖς λοιποῖς προξένοις καὶ ε[ὐ]|εργέταις τᾶς πόλιος· εἶμεν δὲ α[ὐτοῖς] | καὶ ἀτέλειαν καὶ εἰςαγόντοις καὶ ἐ[ξα]|γόντοις καὶ πολέμω καὶ ἰράνας· τὰν [δὲ] προξενίαν ταύταν ἀναγραψάντ[ω τοὶ ἔφο]|ροι τοὶ ἐπὶ στραταγῶ Ξενοφάνεος [εἰς] | στάλαν πετρίναν ἐν τοῖ ἱεροῖ τῶ [Ἀπόλ]|λωνος· τὸ δὲ ἀνάλωμα ἁ πόλις δότ[ω].

vs. 28 *Γερονθρητᾶν*: contra *Γερονθρατᾶν* IG V 1, 1112, 12. 1113, 1; *-ητ.* e forma oppidi *-έαι* (Bechtel KZ 50, 71). 34 sq.: de terminatione *-οις* cf. ad nr. 23.

49 Geronthris. Stela aëtomate ornata. 72. — H o n o r e s. — IG V 1, 1114 et add.

[ἀγαθᾶι] τ[ύχαι.] ἐπὶ Δαμοχάριος, Εὐτιμίδα Κρ-- | .... ψά[φ]ισμα Καφισίου· ἐπεὶ ἔφοροι οἱ ἐ[πὶ | Τι]μοκράτεος, Νίκανδρος Νικοκλέους, [Ξε]|νοκλῆς Νικάνδρου, Καλλισ [nomen patris], [ἐξ οὗ ἀνή-ρ]ηνται τάς τε ἀρχάς [κ]α[ὶ -- τάν | τ]ε προστασίαν τοῦ τε τεμ[έ-νο]υ[ς καὶ τοῦ ἱ]|εροῦ ----------- | [.. κ]αὶ εἴς τε τὰς πολιτικὰς χ[ρε]ίας -- | .. ἅπαν παρ᾽ αὐτῶν καὶ ------ δ[ὲ] τοῦ ὀψωνίου λελε[ιτούργηκε Ξενοκλῆ]|ς, παρεκάλεσαν αὐτὸν [καὶ παρη]τή[σαν]|το παντὶ τρόπωι ἔξοδον [μη]δεμίαν γε[ν]|έσθαι τῶν ἐξ δαμοσ[ίο]υ μηθενός, ἀλλ[ὰ γε]|γένηται ἁ ἔξοδος πρὸς τὸ στέγος, [κ]α[ὶ] τ[ὰ π-]ερισσευόμενα χρήματα [ε]ἰς γρ[α]μματ[ο]|φυλάκιον κατακέχρηνται· [τά]ν τ[ε] λοιπὰν φ[ι]|λοτιμίαν καὶ ἀντοφθάλμησιν πεποίη[ται] | πρὸς τοὺς πολίτας ἴσαν καὶ ἀξίαν τᾶς πόλε[ος· τό] τε ἱερὸν τᾶς Ἥρας ἐπεσκευακώς, α[ὐτὸς] παρ᾽ ἑαυτοῦ Ξενοκλῆς Νικάνδρου, κ[αὶ ἐπεὶ | ἦ]ν δεδομένα ἁ ἱερειοσύνα αὐτῶι, εἰς π[άσας τὰ]ς πολιτικὰς χρείας εὔχρηστον ἑαυτὸν [πα]|ρεχόμενος, ἔδοξε τῶι δάμωι· ἐπαι[νέ-|σαι ἐπί τε τᾶι ἀρχᾶι καὶ φιλοτιμίαι, δι[δόν]αι τε αὐτῶι τὰν ἱερειοσύναν τοῦ τε ἱ[εροῦ τού]|του, καθὼς καὶ πρότερον εἰλή[φει] π[ρὸ τοῦ ψαφίσ]|ματος, αὐτῶι τε καὶ ἐξγόνοις, [ἐγδότωσαν | δὲ ο]ἱ ἔφοροι στάλαν λιθίναν κα[ὶ ἀναγραψάν|τω τὸ ψάφισμα] καὶ θέντω εἰς τὰ[ν] ἁ[γορ]ὰν εἰς τὸν ἐπιφανέστατ]ο[ν] τόπον --- (*Reliquias versuum septem ultimorum omisi.*)

---

50 G y t h i i. Rupi incisus in loco, quem incolae *Πελεκητόν* vocant. V. — *Σκιᾶς* EA 1892, 55/60. DI 4563. Mi 760. IG V 1, 1154.

μοῖρα | Διὸς τεραστίō.

μοῖρα est regio sacra, fanum (DI); *τερ.*: qui fulgure et tonitru omina dat; cf. nr. 55 (DI). Cf. nr. 51.

---

51 [^{2}13] Gythii. Sub radicibus collis, cui nomen *Λαρύσιον*, rupi incisus. V. — L e x s a c r a. — Leake, Morea 28. CIG 1469. Le Bas II 238. IGA 72. Rob 260. DI 4564. Mi 693. *Σκιᾶς* EA 1892, 185/91. LS 2, 55. IG V 1, 1155.

μēδένα | ἀποστρυθεσται· | αἰ δέ κα ἀποστρυ|[θ]ēται, ἀϝάταται | ἐ͂ hο δο͂λος· | - ραι δὲ hόπē | νόμος | ἀποστάτō.

De lapide aërio cui nomen erat *Ζεὺς Καππώτας*, *Καβάτας* (nr. 55) agi, *ἀποστρύθεσται* (aut *-ε͂σται*; de *στ* cf. Thumb IF 31, 223) de laedendo lapide (*λιθοτομεῖν* sec. *Σκιᾶν*) dictum videtur: ‚ne quis decutiat; si quis decusserit, poenam dabit (sive ipse) sive servus‘ (IG). vs. 4 *ἀϝάταται* perf. (DI). 5 sq. *μ*]*ο*[*ί*]-*ραι* DI (cf. nr. 50; *ο ἀμυδρόν τι καὶ ὄχι ἱκανῶς βέβαιον Σκιᾶς* sibi agnoscere visus est).

52 E fano Neptuni Taenarii. Stelae marmoreae. 1—3: V (cf. Xen. hell. II 3, 10), 4: IV in. — Manumissiones. — 1 BritM 139. — 2. 3 Kirchh. H 3, 449 sq. — 4 Foucart BH 3, 96/9. Bu 67. — 1. 4 Rij 30, 1. 2. — 1—4 Im 101. 103/4. Rob 265. DI 4588. 4590/2. Mi 1074/7. IG V 1, 1228. 1230/2. Cf. Kirchh. A. 154.

1) *ἀνέθε̄κε | τō̃ι Ποhοιδᾶ[νι] | Θεάρε̄ς | Κλεογένε̄. | ἔφορος | Δαΐοχος, | ἐπακο Ἀρίō(ν), Λύōν.*

Notanda verba primo loco posita. vs. 7 *ἐπακο* scriptum pro *ἐπακόω*.

2) *ἀνέθε̄κε | Ἐκέφυλος | Νεαρέταν | τοῖ Ποhοιδᾶνι. | ἔφορος | Ἀριστεύς, | ἐπακόω | Ἀριστοτέλε̄ς, | Δαμοφōν.*

3) *ἀνέθηκε | Αἰσχρίōν | Ἀπειρṓτας | τō̃ι Ποhοιδᾶνι Ἡρακληΐδαν | αὐτὸν καὶ | ταὐτō̃. ἔφορος | Παγηhίστρατος, | ἐπακο Πρυαῖος, Ἐπικύδης.*

4) *ἀνέθε̄κε τō̃ι | Ποhοιδᾶνι | Νίκōν | Νικαφορίδα καὶ Λύhιππον | καὶ Νικαρχίδαν | καὶ ταὐτᾶς πάντα. | ἔφορος | Εὐδαμίδας, ἐπάκοε | Μενεχαρίδας, | Ἀνδρομέ̄δης.*

---

53 [^{2}31] Thalamis. Lapis inaedificatus supra fenestram domus cuiusdam. — Proxenia. — Le Bas II 281. DI 4576. IG V 1, 1312.

A - - - - - *σπα* - - - - - - | *[Ἱππολ]αίως προξένως ἦμε[ν | καὶ] εὐεργέτας τᾶς πόλεος τῶ[ν | Θ]αλαματᾶν αὐτώς τε καὶ ἐκγό[ν]ως, ἐπεὶ πολλὰς καὶ μεγάλας χ[ρεί|α]ς εὐ[ερ]γετοῦντες ἥκοντι τὰμ πόλιν· ἦμεν δὲ αὐτοῖς ἰσοπολιτεία[ν], | γᾶς τε καὶ οἰκίας ἔνκτησιν καὶ ἐ|πινομίαν καὶ ἀτέλειαν· ὑπά[ρ]χειν δὲ αὐτοῖς καὶ τἆλλα τίμια, ὅσα κ[αὶ] | τοῖς ἄ[λ]λ[οις] ε[ὐερ]γέτ[α]ις.* |

B *ἔδοξε τῶι δάμωι πρόξ[ενον | ἦμεν* - - -].

---

54 Thalamis. Tabula marmoris caerulei. IV vel III. — Dedicatio. — Forster ABS 10, 173, 15. 188 sq. R. Meister LpzBer 57, 276/81. Bu 69. DI IV p. 691, 39. IG V 1, 1317.

Νικοσθενίδας τᾶι Παhιφᾶι | γεροντεύων ἀνέσηκε | αὐτός τε καὶ ho τῶ πατρὸς π|ατὴρ Νικοσθενίδας, προβειπ|άhας τᾶ(ς) σιῶ ποτ' Ἀνδρίαν συ|νεφορεύοντα ἀνιστάμεν | Νικοσθενίδαν ἐ[ν] τῶ(ι) ἱερῶι, h|ὸν καὶ [σ]ὺν κ[α]λῶι χρῆσται.

vs. 5 *σ*, vs. 7 *ι* ante sequentem *σ*, *ι* omissum est. 8 *χρῆσται* = consultare (ad *στ* cf. *ἀποστρυθεσται* nr. 51). Meist. — De oraculo Pasiphaae cf. Cic. de divin. I 43, 96; Plut. Cleom. 7, 2 (Meist.).

---

55 Thalamis. Marmor album. V in. — Votum Iovi Cabatae solvendum. — Forster ABS 10, 171 sq. DI IV p. 691, 38. IG V 1, 1316.

Διὸς καβάτα. | πέμπτōι | ϝέτει | θύε̄ν | [ἀ]λε̄́hιον. | Γαιhύλō.

Cf. Solmsen RhM 62, 329/38. Nilsson ib. 63, 313/6 et nr. 50/1. *Ζεὺς καβάτας* vel *καππώτας* nominatur, quod lapides aërios iactat (falso Paus. III 22, 1; cf. *Διὸς καταιβάτα, -τεω* Therae, Pari DI 4762, *Δ. κραταιβάτα* Naupliae IG IV 669 (‚anaglypho repraesentatus est Iuppiter qui ad dextram versus progrediens manum laevam porrigit, dextra tollit fulmen'), de quibus Usener RhM 60, 11/3. 16 (KlSchr 4, 480 sqq.). — vs. 2 *πέμπτōι*: minorem litteram *τ* insertam esse Forster statuit (litteris ad Nilsson missis), quam Kolbe in ectypo agnosci posse negat. 6 *Γαιhύλō* cas. gen. nominis eius qui dedicavit; cf. *Γαισύλῳ τῷ Σπαρτιάτῃ* Plut. Dio 49 (IG).

56 Gereniae. Stelae sepulcrales. V. — Exscripsit Heberdey. IG V 1, 1337/8.

1) *Μεγαλίας.* | *Μαλανhί[δ]ας Νι|κολόχō* — 2) *[hι]αρὸς Ἀγēhίπολις.*

1 *Μαλανhίδας*: cf. lyc. *Μλααναις*? Kretschmer Gl 7, 332. — 2 *hια.*: cf. nr. 74, 1sqq. nr. 66 sq.

56g Glossae selectae ex aliis titulis Laconicis.

ἀγρετεύσαντα IG V 1, 1346, 3 (163p). (*ἐν | ταῖς μεγάλαις*) *ἀπέλλαις* 1144, 21. 1146, 41 (Ia, Gythii). *ἀριστίνδου καὶ διαβέτεος αὐτεπαγγέλτου* 680 (cf. 679. IIp). *ἄρσης* (*οὐδεὶς ἅψεται*, iuxta *χοῖρον ἄρσενα*) 364 (‚recentioris aetatis tit.'). (*σύνδικος καὶ*) *δαμοσιομάστας* 47, 3 sq. (IIp). (*αἴ τις*) *δισκίοι* 828 (*βουστρ.*) (*κετεύων ἐν τῷ*) *εὐβαλκεῖ* (*καὶ κυναγέται*) 268 (Ip). (*μέχρι*) *μελλειρονίας* 296, 10 (IIp) *παιδισκιωρός* 133 (Ia). (*ἄρτον*) *προχαρέα* 364. (*κατὰ τὴν*) *ῥήτραν* 20, 2 (I/IIp). *σαάμων* 364. *σειναρμόστρηα* (= *θοιναρμ.*, *θυν.*) 229 (lectio incerta). *σκιφατόμος* 212, 63 (Ia). (*τὼς*) *στατώς* 145 (IIIa). *σταφυλοδρόμας* 650/1. *σφαιρέα, σφαιρεῖς* 566. 674 sqq. (*πρέσβυς*) *φειδειτίον* 128. 155 (I/IIp). — Menses (IG V 1 p. 350): Spartae *Ἀγριάνιος. Ἀρτεμίτιος. Ἑκατονβέος* (gen.). *Ὑακίνθιος. Φλοιάσιος*; Epidauri Lim. *Καρνεῖος. Λυκεῖος*; Gythii *Λάφριος. Ὑακίνθιος.*

57 [210] Tegeae. Tabula aenea opisthographa. V ex. — Depositio Xuthiae. — *Εὐστρατιάδης* EA 1869, p. 341 nr. 410. Kirchh. BerlBer 1870, 51/64. Im 121/2. Rob 257. R. Meister LpzBer 48, 266/76. DI 4598. Rij 23. Mi 1343. So 29. Bu 65. IG V 2, 159. Comparetti, Annuario 2, 246/59. 265/6 (tab.). DS³ 1213. Cf. Kirchh. A. 150, 1. Pischel BB 7, 335 sq. Weiß ÖJ 17 Beibl. 262.

A *Ξουθίαι: τõι Φιλαχαίō: διακάτι|αι μναῖ· ⁝ αἴ κ' αὐτὸς ἐ̄ι, ἴτō ἀνελέσ|θō· αἰ δέ κ' ἀποθάνēι, ⁝ τõν τέκνōν | ἐ̄μεν, ⁝ ἐπεί κα πέντε ϝέτεα ⁝ | hēβõντι·: αἰ δέ κα μὲ̄ γένēτα|ι (τέκνα), τõν ἐπιδικατõν ἐ̄μεν· | διαγνõμεν δὲ̄ ⁝ τὸ̄ς Τεγεάτα[ς] | κὰ(τ) τὸν θεθμόν.*

B *Ξουθίαι παρκα(τ)θέκα τõι Φιλαχα|ίō τζετρακάτιαι μναῖ ἀργυρίō. εἰ μ|έν κα ζόε̄, αὐτὸς ἀνελέσθō, αἰ δέ κ|α μὲ̄ ζόε̄, τοὶ υἱοὶ ἀνελόσθō τοὶ γνε̄⁵σιοι, ἐπεί κα ἐ̄βάσōντι πέντε ϝέτε|α· εἰ δέ κα μὲ̄ ζõντι, ταὶ θυγατέρες | [ἀ]νελόσθō ταὶ γνέσιαι· εἰ δέ κα μὲ̄ | ζõντι, τοὶ νόθοι ἀνελόσθō· εἰ δέ κα | μὲ̄ νόθοι ζõντι, τοὶ 'ς ἄ(σ)σιστα πόθικ¹⁰ες ἀνελόσθō· εἰ δέ κ' ἀνφιλέγōντ|(ι, τ)οὶ Τεγεᾶται διαγνόντō κὰ(τ) τὸν θεθμόν.*

Latus A consulto laesum ut aboliretur, cum B incideretur. Quamquam tabula sculptorem Arcadem fuisse (B 10 sq. ἀνφιλεγοντοι Τεγ. tabula) arguit (K. Meister IF 18, 77/83 ad B 2. 10), Arcadicae dialecti non est, sed Doricae cuiusdam (Laconicae Kirchh. attribuit, Achaicae Fick BB 5, 324 sq., Achaicae perioecorum Lacedaemoniorum R. Meister). A 5 *hεβοντι* B 5 *ἐβάσ.*: cf. Jacobsthal IF 21 suppl. 32 sq. 6 (*τεκνα*): *πεντε* t. B 9 *τοὶ 'ς ἄ. π.*: cf. *οἱ ἐπ' ἄνκιστα πεπαμένοι* Gort. DI 4986, 2 sim. (B. Keil GöttNachr 1899, 149 ad nr. 424); *τοῖς ἄ. ποθίκε(ι)⟨ς⟩* K. Meister (DS). — Cf. *[Ζ]ευξίαι κὰ(τ) τὸν π[όλεμον παρελάβομεν τετ-τα]ράκοντα κἐκατ[ὸν δαρχμάς], Ζευξίαι κὰ(τ) τὸν π[όλεμον παρελάβομεν τ]ρε̃ς μνᾶς καὶ ϝί[κατι δαρχμάς* IvO 15 (DI 1162; Furtwängler AZ 37, 159) et nr. 674.

2. Tituli Tarentini (nr. 58—61) et Heracleenses (nr. 62—64).

De litteratura cf. Kirchh. A. 155.

58 [²38] Cuspis hastae aenea quadrangula Olympiae reperta, cuius tribus lateribus titulus incisus est; inter 440 et 420. — Spoliorum dedicatio Tarentinorum (cf. Strab. VI 1, 14 p. 264). — Furtwängler AZ 37, 149. Im 105. IvO 254 (cf. 255/6). Mi 1085. DS 35 ³61. Hicks 45. DI 4615. NachmG 19. Cf. Kirchh. A. 155.

σκῦλα ἀπὸ Θουρίōν Ταραν|τῖνοι ἀνέθēκαν Διὶ Ὀλυ|μπίōι δεκάταν.

59 [²39] Nummi aurei Tarentinorum. 450/30 (H.); vide DI 4623; Head 59.

Ταραντίνων ἡμί.

60 Laminae plumbeae in sepulcro in finibus Tarentinorum sito repertae. IV ex. vel III. — Fiorelli, Not scav 1880, 34. IG XIV 668. DI 4616.

1) *Πολέμαρχος, | Αἴσχρων, | Τιμοκράτης, | Νικοκράτης,* ⁵*Ξενοκάδης, | Βίας, | Παύσων, | Στίλπα, | Εὔρυτος* ¹⁰*Σαμύθα, | Φιλώτας, | Ἧγις, | Ζωπύρα Μαχαν., | Ηιστιαία,* ¹⁵*Ἐπαίνετος, | Σίμων, | ϝάριχος, | Σφένδων, | Δαμοτέλης.*

2) *Φιλη-, | Βοτ-, | Μελ-, | Ηιστ[ι]αῖος Ὀλ.,* ⁵*Κρατίσκος, | Πολυ(λ)αΐς, | Καλλικράτης. | Γλαῦκος, | Σιμυλίς,* ¹⁰*Ἀνθρωπίσ(κ)ος, | Δαμαίνετος, | Φιλίστα, | Λεύκα, | Ζώπυρος,* ¹⁵*Τυρίχα, | Βότυρος, | Ηιστιαῖος Λι., | Ἀρίστακος, | Ἀριστόδαμος,* ²⁰*Πλειστῶι.*

1, 17 *ϝάριχος*: cf. *ϝαρνοκλῆς*; *βάριχοι· ἄρνες* Hes. (Wil. IG). 18 *Σφένδων* cf. *Σπένδων, Σπένδιος* (DI). — 2, 6 *Πολυαις* l.; *Πολυλίς* IG, -[λ]*αΐς* DI. — *h* = ⊦; cf. nr. 64.

61 Dodonae. Tabula plumbea IV/III. — Tarentini oraculum Dod. consulunt. — Carapanos t. 35, 4. 34, 1 (coniunxit Blass). Rob 273. DI 1567.

θεός· τύχαι ἀγαθᾶι. [ἐπερωτῆ] | hα πόλις hα τῶν Ταραν[τίνων] | τὸν Δία τὸν Ναΐον καὶ τ[ὰν Διώναν] | περὶ παντυχίας καὶ π[ερὶ χωρίων] | τὰ χ[η]ρῶι, καὶ περὶ τῶν - -

χ[η]ροῖ· χειροῖ. DI(?).

62. 63 [[2]40. 41] Tabulae Heracleenses aeneae continentes rationes relatas de fundis Bacchi (tab. I) et Minervae (tab. II) sacris quorum fines bello turbati erant legesque de iis locandis constitutas, a. 1732 in alveo fluvii Acalandri (*Salandra, Cavone*) repertae, nunc in museo Neapolitano asservatae. IV ex. — Fragmentum prioris tabulae, primo in Britanniam delatum, 1736 Mattaire, utramque primus ed. Mazocchi, Neap. 1754/5. CIG 5774/5. IG XIV 645. Rij 12. DI 4629. So 20 (tab. I). Bu 74 (tab. I).

I.

62 *ἔφορος Ἀρίσταρχος Ἡρακλείδα, μὴς | Ἀπελλαῖος· hα πόλις καὶ τοὶ ὁρισταὶ | ϝ̅ε̅ τρίπους Φιλώνυμος Ζωπυρίσκω, | π̅ε̅ καρυκεῖον Ἀπολλώνιος Ἡρακλήτω, α̅ι̅ πέλτα Δάζιμος Πύρρω, κ̅υ̅ θρῖναξ | Φιλώτας Ἱστιείω, μ̅ε̅ ἐπιστύλιον | Ἡρακλείδας Ζωπύρω Διονύσωι.* |

§ 1 *ἀνέγραψαν τοὶ ὁρισταὶ τοὶ hαιρεθέντες ἐπὶ τὼς χώρως τὼς hιαρὼς τὼς τῶ Διονύσω | Φιλώνυμος Ζωπυρίσκω, Ἀπολλώνιος Ἡρακλήτω, Δάζιμος Πύρρω, Φιλώτας Ἱστιείω, Ἡρακλείδας Ζωπύρω, καθὰ [ὤρ]ιξαν καὶ ἐτέρμαξαν καὶ συνεμέτρησαν καὶ ἐμέρι|ξαν τῶν Ἡρακλείων διακνόντων ἐν κατακλήτωι ἁλίαι.*

§ 2 *συνεμετρήσαμες δὲ ἀρξάμενοι ἀπὸ τῶ ἀντόμω τῶ hυπὲρ Πανδοσίας ἄγοντος τῶ διατάμνοντος τώς τε hιαρὼς χώ|ρως καὶ τὰν ϝιδίαν γᾶν ἐπὶ τὸν ἄντομον τὸν ὁρίζοντα τώς τε τῶ Διονύσω χώρως καὶ | τὸν Κωνέας hο Δίωνος ἐπαμώχη. κατετάμομες δὲ μερίδας τέτορας·* § 3 *τὰν μὲν πράταν μερίδα ἀπὸ τῶ ἀντόμω τῶ πὰρ τὰ Ἡρώιδεια ἄγοντος | εὖρος ποτὶ τὰν τριακοντάπεδον τὰν διὰ τῶν hιαρῶν χώρων ἄγωσαν, | μᾶκος δὲ ἄνωθα ἀπὸ τᾶν ἀποροᾶν ἄχρι ἐς ποταμὸν τὸν Ἄκιριν, καὶ | ἐγένοντο μετριώμεναι ἐν ταύται τᾶι μερείαι ἐρρηγείας μὲν δι|ακάτιαι μία σχοῖνοι, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ ϝεξακάτιαι τετρώκοντα ϝὲξ σχοῖνοι hημίσχοινον·* § 4 *τὰν δὲ δευτέραν μερίδα εὖρος ἀπὸ | τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν πρᾶτον, μᾶκος δὲ ἀπὸ τᾶν | ἀποροᾶν ἄχρι ἐς ποταμόν, καὶ ἐγένοντο μετριώμεναι ἐν ταύται τᾶι με|ρείαι ἐρρηγείας μὲν διακάτιαι hεβδεμήκοντα τρῖς σχοῖνοι, σκίρω δὲ | καὶ ἀρρήκτω καὶ δρυμῶ πεντακάτιαι σχοῖνοι·* § 5 *τὰν δὲ τρίταν μερίδα εὖρος ἀπὸ τῶ ἀντόμω τῶ πράτω τῶ πὰρ τὰν τρι|ακοντάπεδον ἄγοντος ἐπὶ τὸν ἄντομον τὸν δεύτερον ἀπὸ τᾶς τρια|κονταπέδω, μᾶκος ἀπὸ τᾶν ἀποροᾶν ἄχρι ἐς ποταμόν, καὶ ἐγέ|νοντο μετριώμεναι ἐν ταύται τᾶι μερείαι ἐρρηγείας μὲν τριακάτιαι | δέκα δύο σχοῖνοι hημίσχοινον, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ πεντακάτιαι τριάκοντα hεπτὰ hημίσχοινον·* § 6 *τὰν δὲ τετάρταν μερίδα εὖρος ἀπὸ | τῶ ἀντόμω τῶ δευτέρω ἀπὸ τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν | ὁρίζοντα*

τάν τε hιαρὰν καὶ τὰν ϝιδίαν γᾶν, μᾶκος δὲ ἀπὸ τᾶν ἀπορροᾶν | ἄχρι ἐς ποταμόν, καὶ ἐγένοντο μετριώμεναι ἐν ταύται τᾶι μερείαι ἐρρη|γείας μὲν τριακάτιαι hοκτὼ σχοῖνοι hημίσχοινον, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ πεντακάτιαι τετρώκοντα μία hημίσχοινον. | § 7 κεφαλὰ πάσας ἐρρηγείας χίλιαι hενενήκοντα πέντε σχοῖνοι, σκί|ρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ δισχίλιαι διακάτιαι ϝίκατι πέντε· | τὰν δὲ νᾶσον τὰν ποτιγεγενημέναν ἐς τὰν ἄρρηκτον γᾶν συνεμε|τρήσαμες. § 8 ἀπὸ ταύτας τᾶς γᾶς ἀπολώλη ἐρρηγείας μὲν τριακάτιαι τρῖς σχοῖνοι hημίσχοινον, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ τετρα|κόσιαι τριάκοντα πέντε σχοῖνοι, ἐμ μὲν τᾶι πράται μερείαι τᾶι | πὰρ τὰ Ηηρώιδεια ἐρρηγείας μὲν hεβδεμήκοντα ϝὲξ σχοῖνοι, σκί|ρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ hεκατὸν hογδοήκοντα πέντε σχοῖ|νοι, ἐν δὲ τᾶι τετάρται μερείαι τᾶι πὰρ τὰ Φιντία ἐρρηγείας μὲν διακάτιαι ϝίκατι hεπτὰ σχοῖνοι hημίσχοινον, σκίρω δὲ καὶ ἀρρή|κτω καὶ δρυμῶ διακάτιαι πεντήκοντα σχοῖνοι. κεφαλὰ πά|σας γᾶς hᾶς κατεσώισαμες τῶι Διονύσωι hεπτακάτιαι τριά|κοντα hοκτὼ σχοῖνοι hημίσχοινον. ταύταν τὰν γᾶν κατεσώισαμ|ες ἐγδικαξάμενοι δίκας τριακοσταίας τοῖς τὰν hιαρὰν γᾶν ϝιδίαν ποϊόντασσιν. § 9 hαύτα ἐμισθώθη hα γᾶ κατὰ βίω, [hόσσα]ν h[α]|μὲς κατεσώισαμες, τριακατίων μεδίμνων τὸ ϝέτος hέκαστον, | hα δὲ πᾶσα γᾶ hα τῶ Διονύσω τετρακατίων δέκα μεδίμνων κάδ|διχος τὸ ϝέτος hέκαστον.

§ 10 ἐστάσαμες δὲ καὶ ὅρως ἐπὶ μὲν τᾶς | πλευριάδος ἄνω hένα μὲν ἐπὶ τῶ ἀντόμω τῶ πὰρ Πανδοσίαν τῶ πὰρ τὰ Ηηρώιδεια τῶ ὁρίζοντος τάν τε hιαρὰν γᾶν καὶ τὰν ϝιδίαν, | ἀνχωρίξαντες ἀπὸ τᾶν ἀπορροᾶν ἐς τὰν ϝιδίαν γᾶν, hως μὴ καταλυ|μακωθὴς ἀδηλωθείη καθὼς τοὶ ἔμπροσθα ὅροι· ἄλλον δὲ ἐπὶ τῶ ἀν|τόμω τῶ πὰρ τὰ Φιντία ἄγοντος ἐστάσαμες πὰρ τὰν βυβλίαν καὶ | τὰν διώρυγα, ἀνχωρίξαντες hωσαύτως ἐς τὰν ϝιδίαν γᾶν ⟨ταν⟩. ἄλλως δὲ ἀντόρως τούτοις ἐστάσαμες ἐπὶ τᾶς ἁμαξιτῶ τᾶς διὰ τῶ χα|ράδεος ἀγώσας τᾶς πὰρ τὸν δρυμόν, τὰς μὲν στάλας ἐς τὰν hιαρὰν | γᾶν, τὼς δὲ ἀντόρως ἐς τὰν ϝιδίαν γᾶν, καταλιπόντες ϝικατίπεδον | ἄντομον. § 11 ἐστάσαμες δὲ καὶ μεσσόρως, δύο μὲν ἐπὶ τᾶς hοδῶ τᾶς | ἀγώσας ἔκ τε πόλιος καὶ ἐκ Πανδοσίας διὰ τῶν hιαρῶν χώρων, δύο δὲ ἐν ταῖς hακροσκιρίαις· τούτως πάντας ἀν εὐθυωρείαν hομολό|γως ἀλλάλοις, τὼς μὲν ἐς τὸ hιαρὸν πλάγος τῶ ἀντόμω ἐπιγε|γραμμένως hιαρὼς Διονύσω χώρων, τὼς δὲ ἐν τᾶι ϝιδίαι γᾶι ἐπι|γεγραμμένως ἀντόρως. hωσαύτως δὲ καὶ ἐπὶ τῶ ἀντόμω τῶ | πὰρ τὰ Φιντία ἄγοντος ἐστάσαμες μεσσόρως, δύο μὲν ἐπὶ τᾶς hοδῶ τᾶς ἐκ πόλιος καὶ ἐκ Πανδοσίας ἀγώσας διὰ τῶν | hιαρῶν χώρων, δύο δὲ ἐπὶ τᾶν hακροσκιριᾶν πὰρ τὰς τυρείας· | τούτως πάντας hομο-

λόγως ἂν εὐθυωρείαν τοῖς ἐπὶ τᾶς hοδῶ | τᾶς διὰ τῶ χαράδεος ἀγώσας πὰρ τὸν δρυμόν, τὼς μὲν ἐς τὸ hιαρὸν | πλάγος ἐπιγεγραμμένως hιαρὼς Διονύσω χώρων, τὼς δὲ ἐς τὰν ϝιδίαν γᾶν ἐπιγεγραμμένως ἀντόρως, ἀπέχοντας ἀπ' ἀλλάλων hως ἦ|μεν ϝικατίπεδον ἄντομον. § 12 ἐπὶ δὲ τᾶς τριακονταπέδω τᾶς διὰ τῶν hι|αρῶν χώρων ἀγώσας ἐπὶ μὲν τᾶς πλευριάδος ἄνω δύο, ἀπέχοντας ἀπ' ἀλ|λάλων τριάκοντα πόδας, ἄλλως δὲ ἀντόρως τούτοις ἐπάξαμες πὰρ | τὰν hοδὸν τὰν πὰρ τὸν δρυμὸν ἄγωσαν δύο, ἀπέχοντας ἀπ' ἀλλάλων τριάκοντα πόδας· ἐν δὲ μέσσωι τῶι χώρωι ἐπὶ τᾶς τριακονταπέδω τέ|τορας, ἀπέχοντας ἀπ' ἀλλάλων hᾶι μὲν τριάκοντα πόδας, hᾶι δὲ ϝίκα|τι· ἐπὶ δὲ τῶ ἀντόμω τῶ πὰρ τὰν τριακοντάπεδον δύο, ἀπέχοντας ἀπ' ἀλ|λάλων ϝίκατι πόδας, καὶ ἄλλως ἐπὶ τῶ δευτέρω ἀντόμω ἀπέχοντας | ἀπ' ἀλλάλων ϝίκατι πόδας· τούτως πάντας ἀνεπιγρόφως ὁρίζοντας τὰς μερείας τὰς ποτ' ἀλλάλως τοῖς μεμισθωμένοις τὼς hιαρὼς χώ|ρως. τὼς δὲ πάντας χώρως τὼς τῶ Διονύσω τερμάζοντι τοί τε ἄντομοι | hό τε πὰρ τὰ Ηηρώιδεια ἄγων καὶ hο πὰρ τὰ Φιντία ἀπὸ τᾶν ἀπορροᾶν ἄνω|θα ἄχρι ἐς ποταμὸν τὸν Ἄκιριν. § 13 ἀριθμὸς ὅρων, τῶν ἐστάσαμες, τῶν μὲν | ἐπὶ τῶ ἀντόμω τῶ πὰρ τὰ Ηηρώιδεια hεπτὰ σὺν τῶι ἐπὶ τᾶς πλευριάδος, ἐπὶ δὲ τᾶς τριακονταπέδω hοκτὼ σὺν τῶι τετρώ⟨ι⟩ρωι, ἐπὶ δὲ τῶ ἀντόμω | τῶ τε πὰρ τὰν τριακοντάπεδον καὶ τῶ ἐχομένω δύο ἐφ' ἑκατέρω, ἐπὶ δὲ τῶ | πὰρ τὰ Φιντία hεπτὰ σὺν τῶι πὰρ τὰν βυβλίναν μασχάλαν καὶ πὰρ τὰν δι|ώρυγα. |

συνθήκα Διονύσω χώρων.

ἐπὶ ἐφόρω Ἀριστίωνος, μηνὸς Ἀπελλαίω, hα πόλις καὶ τοὶ πολιανόμοι $\overline{\text{ασ}}$ βότρυς Τίμαρ|χος Νίκωνος, $\overline{\text{ϝε}}$ ἄνθεμον Ἀπολλώνιος Ἀπολλωνίω καὶ τοὶ ὁρισταὶ $\overline{\text{ϝε}}$ τρίπους Φιλώνυ|μος Ζωπυρίσκω, $\overline{\text{πε}}$ καρυκεῖον Ἀπολλώνιος Ηηρακλήτω, $\overline{\text{αι}}$ πέλτα Δάζιμος Πύρρω, | $\overline{\text{κν}}$ θρῖναξ Φιλώτας Ηιστιείω, $\overline{\text{με}}$ ἐπιστύλιον Ηηρακλείδας Ζωπύρω μισθῶντι τὼς hι|αρὼς χώρως τὼς τῶ Διονύσω, ἔχοντας hως ἔχοντι, κατὰ βίω, καθὰ τοὶ Ηηρακλεῖοι διέγνον. § 1 τοὶ δὲ μισθωσάμενοι καρπεύσονται τὸν ἀεὶ χρόνον, ᾧ κα πρωγγύως ποτάγων|τι καὶ τὸ μίσθωμα ἀποδιδῶντι πὰρ ϝέτος ἀεὶ Πανάμω μηνὸς προτερείαι· καἴ κ' ἔμπροσθα | ἀποδίνωντι, ἀπάξοντι ἐς τὸν δαμόσιον ῥογὸν καὶ παρμετρήσοντι τοῖς σιταγέρταις τοῖς | ἐπὶ τῶν ϝετέων τῶι δαμοσίωι χοΐ μεστὼς τὼς χοῦς κριθᾶς κοθαρᾶς δοκίμας, hοίας κα hα γᾶ | φέρει. § 2 ποτάξοντι δὲ πρωγγύως τοῖς πολιανόμοις τοῖς ἀεὶ ἐπὶ τῶν ϝετέων ἔντασσιν πὰρ πενταhετηρίδα hώς κα ἐθέλοντες τοὶ πολιανόμοι δέκωνται. § 3 καὶ αἴ τινί κα ἄλλωι | παρδῶντι τὰν γᾶν, hάν κα αὐτοὶ μεμισθώσωνται, ἢ ἀρτύσωντι ἢ ἀποδῶνται τὰν ἐ|πικαρ-

πίαν, ἂν αὐτὰ τὰ παρhέξονται προγγύως hοι παρλαβόντες ἢ hοῖς κ' ἀρτύσει ἢ οἱ πρι|άμενοι τὰν ἐπικαρπίαν, ἂν hὰ καὶ hο ἐξ ἀρχᾶς μεμισθωμένος. § 4 hόστῖς δέ κα μὴ ποτάγει προγγύ|ως ἢ μὴ τὸ μίσθωμα ἀποδιδῶι κὰτ τὰ γεγραμμένα, τό τε μίσθωμα διπλεῖ ἀποτεισεῖ τὸ ἐπὶ τῶ ϝέτεος καὶ τὸ ἀμπώλημα τοῖς τε πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἀεὶ ἐπὶ τῶ ϝέτεος, hόσσωι κα | μείονος ἀμμισθωθῆ πὰρ πέντε ϝέτη τὰ πρᾶτα, hότι κα τελέθει ψαφισθὲν hάμα πᾶν τῶι πράτωι | μισθώματι, καὶ τὰ ἐν τᾶι γᾶι πεφυτευμένα καὶ οἰκοδομημένα | πάντα τᾶς πόλιος ἔσσονται.

§ 5 ἐργάξον|ται δὲ κὰτ τάδε. hο μὲν τὸν πρᾶτον χῶρον μισθωσάμενος τὸν πὰρ τὸν ἄντομον τὸν hυπὲρ Πανδοσί|ας ἄγοντα τὸν πὰρ τὰ Ηηρώιδα ἄχρι τᾶς τριακονταπέδω ἀμπέλων μὲν φυτευσεῖ μὴ μεῖον ἢ δέκα σχοίνως, ἐλαιᾶν δὲ φυτὰ ἐμβαλεῖ ἐς τὰν σχοῖνον hεκάσταν μὴ μεῖον ἢ τέτορας ἐς τὰν | δυνατὰν γᾶν ἐλαίας ἔχεν· αἰ δέ κα μὴ φᾶντι τοὶ μεμισθωμένοι δυνατὰν ἦμεν ἐλαίας ἔ|χεν, τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν ϝετέων ἔντες καὶ αἵ τινάς κα ἄλλως τοὶ πολιανόμοι ποθέ|λωνται ἀπὸ τῶ δάμω, ὀμόσαντες δοκιμάξοντι καὶ ἀνανγελίοντι ἐν ἀλίαι θασάμενοι τὰν | γᾶν πὸτ τὰν τῶν ἐπιχωρίων. § 6 ἐπιμελήσονται δὲ καὶ τῶν hυπαρχόντων δενδρέων· αἰ δέ τινά κα γήραι ἢ ἀνέμωι ἐκπέτωντι, αὐτοὶ hέξοντι. § 7 ταῦτα δὲ πάντα πεφυτευμένα παρhέξοντι καὶ ἐνδε|διωκότα, ὅσσα ἐν τᾶι συνθήκαι γεγράψαται, ἐν τῶι πέμπτωι καὶ δεκάτωι ϝέτει ἀπὸ τῶ ποτεχεῖ ϝέ|τεος ἢ Ἀριστίων ἐφορεύει. αἰ δέ κα μὴ πεφυτεύκωντι κὰτ τὰ γεγραμμένα, κατεδικάσθεν πὰρ μὲν τὰν | ἐλαίαν δέκα νόμως ἀργυρίω πὰρ τὸ φυτὸν hέκαστον, πὰρ δὲ τὰς ἀμπέλως δύο μνᾶς ἀργυρίω πὰρ τὰν | σχοῖνον hεκάσταν. τὼς δὲ πολιανόμως τὼς ἐπὶ τῶ ϝέτεος ποθελομένως μετ' αὐτοσαυτῶν ἀπὸ τῶ δάμω μὴ μεῖον ἢ δέκα ἄνδρας ἀμφίστασθαι, ἤ κα πεφυτεύκωντι πάντα κὰτ τὰν συνθήκαν, | καὶ τὼς πεφυτευκότας ἀνγράψαι ἐς δόγμα, ἀνγράφεν δὲ hόσσα κα πεφυτεύκωντι· ἂν αὐτὰ δὲ τὰ | καὶ εἴ τινές κα μὴ πεφυτεύκωντι κὰτ τὰν συνθήκαν, ἀνγραψάντω καὶ ἐπελάσθω τὰ ἐπιζάμι|α τὰ γεγραμμένα πὸτ τῶι ἄλλωι μισθώματι. § 8 αἰ δέ τίς κα ἐπιβῆι ἢ νέμει ἢ φέρει τι τῶν ἐν τᾶι hιαρᾶι | γᾶι ἢ τῶν δενδρέων τι κόπτηι ἢ θραύηι ἢ πριῶι ἢ ἄλλο τι σίνηται, hο μεμισθωμένος ἐγδικαξῆται hως πολίστων, καὶ hότι κα λάβει, αὐτὸς hεξεῖ. § 9 τὰς δὲ τράφως τὰς διὰ τῶν χώρων ῥεώσας καὶ | τὼς ῥόως οὐ κατασκάψοντι οὐδὲ διασκάψοντι τῶι hύδατι οὐδὲ ἐφέρξοντι τὸ hύδωρ οὐδ' ἀφέρξον|τι, ἀνκοθαρίοντι δὲ hοσσάκις κα δέωνται τὰ πὰρ τὰ αὐτῶν χωρία ῥέοντα, οὐδὲ τὰς hοδὼς τὰς ἀπο|δεδειγμένας ἀράσοντι οὐδὲ συνhέρξοντι οὐδὲ κωλύσοντι πορεύεσθαι· hότι δέ κα τούτων

τι ποΐ|οντι πὰρ τὰν συνθήκαν, τοὶ πολιανόμοι τοὶ ἀὲς ἐπὶ τῶ ϝέτεος ἐπικαταβα(λί)οντι καὶ ζαμιώσοντι, ἄχρι hῶ κα ἀφομοιώσωντι κὰτ τὰν συνθήκαν. § 10 οὐ κοψεῖ δὲ τῶν δενδρέων οὐδὲ θραυσεῖ οὐδὲ πριωσεῖ | οὐδὲ hῆς οὐδὲ hὲν οὐδὲ ἄλλος τήνωι. οὐδὲ γαιῶνας θησεῖ πὰρ τὼς hυπάρχοντας οὐδὲ σαρμευσεῖ, | αἰ μὴ hόσσα κα ἐν αὐτᾶι τᾶι γᾶι hᾶι μεμίσθωται οἰκοδομῆται, οὐδὲ τοφιῶνας ἐν τᾶι hιαρᾶι γᾶι ποιησεῖ | οὐδὲ ἄλλον ἐασεῖ· αἰ δὲ μή, hυπόλογος ἐσσῆται hως τὰν hιαρὰν γᾶν ἀδικίων. § 11 οἰκοδομησῆται δὲ καὶ οἰ|κίαν ἐν τοῖς χώροις τούτοις, βοῶνα, μυχόν, ἀχύριον· τὸν μὲν βοῶνα τὸ μὲν μᾶκος ϝίκατι καὶ δυῶν ποδῶν, τὸ δὲ εὖρος hοκτὼ καὶ δέκα ποδῶν, τὸν δὲ ἀχύριον μὴ μεῖον τὸ μὲν μᾶκος hοκτὼ καὶ δέκα ποδῶν, | τὸ δὲ εὖρος πέντε καὶ δέκα ποδῶν, τὸν δὲ μυχὸν πέντε καὶ δέκα ποδῶν παντᾶι. ταῦτα δὲ παρέξοντι οἰκο|δομημένα καὶ στεγόμενα καὶ τεθυρωμένα ἐν τοῖς χρόνοις ἐν hοῖς καὶ τὰ δένδρεα δεῖ πεφυτευκῆμεν· αἰ | δὲ μή, κατεδικάσθεν πὰρ μὲν τὸν βοῶνα ϝὲξ μνᾶς ἀργυρίω, πὰρ δὲ τὸν ἀχύριον τέτορας μνᾶς ἀργυρίω, | πὰρ δὲ τὸν μυχὸν τρῖς μνᾶς ἀργυρίω. § 12 τῶν δὲ ξύλων τῶν ἐν τοῖς δρυμοῖς οὐδὲ τῶν ἐν τοῖς σκίροις οὐ πωλήσοντι οὐδὲ κόψοντι οὐδὲ ἐμπρήσοντι οὐδὲ ἄλλον ἐάσοντι· αἰ δὲ μή, hυπόλογοι ἔσσονται κὰτ τὰς ῥήτρας | καὶ κὰτ τὰν συνθήκαν. ἐς δὲ τὰ ἐποίκια χρήσονται ξύλοις ἐς τὰν οἰκοδομὰν hοῖς κα δήλωνται καὶ ἐς τὰς | ἀμπέλως· τῶν δὲ ξηρῶν κόψοντι, ὅσσα αὐτοῖς ποτ᾽ οἰκίαν ἐς χρείαν· τοῖς δὲ σκίροις καὶ τοῖς δρυμοῖς χρή|σονται τοὶ μισθωσάμενοι ἀν τὰν αὐτῶ μερίδα hέκαστος. § 13 hόσσαι δέ κα τᾶν ἀμπέλων ἢ τῶν δενδρέων ἀπο|γηράσωντι, ἀποκαταστάσοντι τοὶ καρπιζόμενοι, hως ἦμεν τὸν ἴσον ἀριθμὸν ἀεί. § 14 οὐχ ὑπογράψονται δὲ τὼς χώρως τούτως hοι μισθωσάμενοι οὐδὲ τίμαμα hοίσοντι οὔτε τῶν χώρων οὔτε τᾶς ἐπιοικοδο|μᾶς· αἰ δὲ μή, hυπόλογος ἐσσῆται κὰτ τὰς ῥήτρας. § 15 αἰ δέ τίς κα τῶν καρπιζομένων ἄτεκνος ἄφωνος ἀπο|θάνει, τᾶς πόλιος πᾶσαν τὰν ἐπικαρπίαν ἦμεν. § 16 αἰ δέ χ᾽ ὑπὸ πολέμω ἐγϝηληθίωντι, hώστε μὴ ἐξῆμεν | τὼς μεμισθωμένως καρπεύεσθαι, ἀνhεῶσθαι τὰν μίσθωσιν καθά κα τοὶ Hηρακλεῖοι διαγνῶντι καὶ μὴ | ἦμεν hυπολόγως μήτε αὐτὼς μήτε τὼς πρωγγύως τῶν ἐν τᾶι συνθήκαι γεγραμμένων. § 17 τὼς δὲ πρωγγύως τὼς ἀεὶ γενομένως πεπρωγγυευκῆμεν τῶν τε μισθωμάτων καὶ τῶν ἐπιζαμιωμάτων καὶ τῶν ἀμ|πωλημάτων καὶ τᾶν καταδικᾶν καὶ αὐτὼς καὶ τὰ χρήματα, hά κα ἐπιμαρτυρήσωντι, καὶ μὴ ἦμεν μήτε hάρ|νησιν μήτε παλινδικίαν, μηδὲ κατ᾽ ἄλλον μηδὲ hένα τρόπον τᾶι πόλι πράγματα παρέχεν μηδὲ τοῖς hυ|πὲρ τᾶς πόλιος πρασσόντασσι· αἰ δὲ μή, ἀτελὲς ἦμεν. § 18 δεύτερος. hο δὲ τὸν δεύτερον μισθωσάμενος |

καρπευσῆται ἀπὸ τᾶς τριακονταπέδω τᾶς διὰ τῶν τετρώρων ἀγώσας ἐπὶ τὸν ἄντομον τὸν πρᾶτον, hόσσος κ' εἶ, καὶ πραξεῖ πάντα κὰτ τὰν συνθήκαν καὶ hυπόλογος ἐσσῆται καὶ αὐτὸς καὶ τοὶ πρώγγυοι, hότι κα | μὴ πράξει κὰτ τὰν συνθήκαν. § 19 *τρίτος. hο δὲ τὸν τρίτον χῶρον μισθωσάμενος καρπευσῆται ἀπὸ τῶ ἀν|τόμω τῶ ἀνώτερον τᾶς τριακονταπέδω πὸτ τὸν ἄντομον τὸν δεύτερον ἀπὸ τᾶς τριακονταπέδω καὶ | πραξεῖ πάντα κὰτ τὰν συνθήκαν καὶ hυπόλογος ἐσσῆται καὶ αὐτὸς καὶ τοὶ πρώγγυοι, ὅτι κα μὴ πρά|ξει κὰτ τὰν συνθήκαν.* § 20 *τέταρτος. hο δὲ τὸν τέταρτον χῶρον μισθωσάμενος πάρ τε τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστίωνος ἐφόρω καὶ τῶν ὀριστᾶν καὶ πὰρ τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστάρχω τῶ Ηηρα|κλείδα ἐφόρω, ha ἄνθεμα Φιλωνύμω τῶ Φιλωνύμω ha ἔμβολος Ηηρακλείδα τῶ Τιμοκράτιος, καρπευ|σῆται ἀπὸ τῶ ἀντόμω τῶ τρίτω ἀπὸ τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν ὀρίζοντα τώς τε τῶ Διο|νύσω χώρως καὶ τὰ Φιντίας hο Κρατίνω παμωχεῖ. hο δὲ ἀνhελόμενος ἐργαξῆται τὰ μὲν ἄλλα κὰτ τὰν | συνθήκαν, καθὼς καὶ τὼς λοιπὼς γέγραπται· τὰς δὲ ἀμπέλως τὰς hυπαρχώσας ἐργαξῆται hως βέλτιστα· hόσσαι δέ κα τᾶν ἀμπέλων ἀπογηράσκωντι, ποτιφυτευσεῖ, hώστε ἀεὶ hυπάρχεν τὸν ἴσον ἀριθμὸν τᾶν | σχοίνων τὸν νῦν hυπάρχοντα, ϝίκατι τέτορας σχοίνως· αἰ δὲ μή, προκαδδεδικάσθω δύο μνᾶς ἀργυρίω | πὰρ τὰν σχοῖνον hεκάσταν. τὰς δὲ ἐλαίας καὶ τὰς συκίας καὶ τὰ ἄλλα δένδρεα τὰ hήμερα τὰ hυπάρχον|τα πάντα ἐν τᾶι μερίδι ταύται περισκαψεῖ καὶ ποτισκαψεῖ καὶ περικοψεῖ τὰ δεόμενα, καὶ αἴ τινά κα γήραι ἢ | ἀνέμωι ἐκπέτωντι, ἀποκαταστασεῖ μὴ μείω τὸν ἀριθμὸν τῶν hυπαρχόντων. ποτιφυτευσεῖ δὲ καὶ ἐλαίας ἐν τᾶι ψιλᾶι hομολόγως ποΐων τοῖς hυπαρχόντασσι δενδρέοις καὶ τὸν ἀριθμὸν τὸν hίσον καθὼς καὶ ἐν τᾶι | ἄλλαι συνθήκαι γέγραπται. hότι δέ κα μὴ πράξει hο ἀνhελόμενος κὰτ τὰν συνθήκαν ἢ μὴ ἐν τοῖς χρό|νοις τοῖς γεγραμμένοις, hυπόλογος ἐσσῆται τοῖς πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἐπὶ τῶ (ϝ)έτεος, | καθὼς καὶ ἐν τᾶι ἄλλαι συνθήκαι γεγράπται.* § 21 *αἰ δέ κα τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν ϝετέων ἔντες μὴ πρά|ξωντι πάντα κὰτ τὰν συνθήκαν, αὐτοὶ hυπόλογοι ἔσσονται κὰτ τὰν συνθήκαν.*

§ 22 *ἐπὶ τούτοις ἐμισθώσαντο· τὰν μὲν πράταν μίσθωσιν ἀπὸ τῶν τῶ Ηηρώιδα με κιβώτιον Βορμίων Φιλώτα πεντήκοντα hεπτὰ μεδί|μνων κάδδιχος· πρώγγυος τῶ σώματος με κιβώτιον Ἀρκὰς Φιλώτα· τὰν δὲ δευτέραν μίσθωσιν ha | ἔμβολος Δάμαρχος Φιλωνύμω τετρώκοντα μεδίμνων· πρώγγυος τῶ σώματος . . . . Θεόδωρος Θε|οδώρω· τὰν δὲ τρίταν μίσθωσιν ϝε γυῖον Πεισίας Λεοντίσκω τριάκοντα πέντε μεδίμνων· πρώγγυος | τῶ σώματος κν*

σφαιρωτῆρες Ἀριστόδαμος . . . . .· τὰν δὲ τετάρταν μίσθωσιν α̅λ̅λωτήριον Φίλιππος Φιλίππω διακατίων hεβδεμήκοντα hοκτὼ μεδίμνων· πρώγγυος τῶ σώματος π̅ε̅ καρυκεῖον | Ἀπολλώνιος Ηρακλήτω. |

γραμματεὺς ϝ̅ε̅ γυῖον Ἀριστόδαμος Συμμάχω· γαμέτρας Χαιρέας Δάμωνος Νεαπολίτας.

II.

63 *ἔφορος Δάζιμος· hα πόλις | καὶ τοὶ ὁρισταὶ ϝ̅ε̅ τρίπους Φιλώ|νυμος Ζωπυρίσκω π̅ε̅ καρυκεῖον | Ἀπολλώνιος Ηρακλήτω, α̅ι̅ πέλτα Δάζιμος Πύρρω, Ἀθάναι πολιάδι. |*

§ 1 *ἀνέγραψαν τοὶ ὁρισταὶ τοὶ hαιρεθέντες ἐπὶ τὼς χώρως τὼς hια|ρὼς τὼς τᾶς Ἀθάνας τὼς ἐν Κοίλαι Φιλώνυμος Ζωπυρίσκω, Ἀπολ|λώνιος Ηρακλήτω, Δάζιμος Πύρρω, καθὰ ὤριξαν καὶ συνεμέ|τρησαν καὶ ἐτέρμαξαν καὶ ἐμέριξαν τῶν Ηρακλείων διαγνόντων ἐν κατακλήτωι ἁλίαι.*

§ 2 *συνεμετρήσαμες δὲ ἀρξάμενοι | ἀπὸ τῶ ἀντόμω τῶ ἀπὸ Καινᾶν ἄγοντος ἐπὶ τὰν hοδὸν τὰν τρι|ακοντάπεδον τὰν ἐπὶ θάλασσαν ἄγωσαν, καὶ ἐγένοντο ἀπὸ | τῶ ἀντόμω ποτὶ τὰν βουβῆτιν τὰν διὰ τῶν γυᾶν ἐκ πόλιος ῥέω|σαν hεπτὰ γύαι, ἀπὸ δὲ τᾶς βουβήτιος ἐπὶ τὰν τριακοντάπεδον τρεῖς καὶ δέκα γύαι·* § 3 *ἀπὸ δὲ τᾶς τριακονταπέδω ἐπὶ τὰν τριακον|τάπεδον τὰν διὰ τῶν τριhημιγύων ἄγωσαν, καὶ ἐγένοντο | hεννέα τριhημίγυα. διαβάντες δὲ τὰν τριακοντάπεδον ἐμε|τρίωμες ποτὶ τὸν ϝικατίδειον καὶ ἀπεμετρήσαμες τὸ δέκα|τον τριhημίγυον.* § 4 *τὰ δὲ τρίγυα οὐκ ἐξεπόϊον, καθὼς τὸ ἀρχαῖον hευρίσκομες γεγενημένα, ἀλλὰ πενθημίγυον μόνον κα|τελείπετο ἐκ τῶν δυῶν τριγύων, τὰν δὲ λοιπὰν γᾶν ϝιδίαν | τινὲς ἐπεποίηντο· ταύταν ἀπεκατεστάσαμες τᾶι Ἀθάναι | κὰτ τὰ ἀρχαῖα.* § 5 *ἀπὸ δὲ τῶ ϝικατιδείω τὰν ἐς ποταμὸν τὸν Ἄκιριν | γᾶν ποτιγενομέναν τὰν ἐμ μέσσωι τᾶς τε hεκατομπέδω καὶ τᾶς Ηρακλείας hοδῶ, καὶ ταύταν πᾶσαν ϝιδίαν ἐπεποίηντό | τινες· καὶ τοὶ μὲν ἐρίξαντες ἀπέσταν, τοῖς δὲ ἐδικαξάμεθα δίκας | τριακοσταίας, καὶ ἀποκαταστάσαντες τᾶι θεῶι κὰτ τὰ ἀρχαῖα ταύ|ταν τὰν γᾶν κατεδασσάμεθα καὶ ὅρως ἐπάξαμες ἐφ᾿ ἑκάστας τᾶς | μερίδος,* § 6 *καὶ ἐποιήσαμες πὰρ τὸ τριhημίγυον τὸ δέκατον πρᾶτον τρίγυον, ποτθέντες πὸτ τὸ πενθημίγυον ἀφ᾿ ἇς κατεσώιξαμες γᾶς, hώσ|τ᾿ ἦμεν ἔκπλεον εὖρος τρίγυον, μᾶκος ἀπὸ τᾶς hεκατομπέδω ἄχρι πὸτ | τὰν Ηρακλέαν hοδὸν ἂν τὼς ὅρως· καὶ ἐγένοντο σχοῖνοι hεκατὸν τρι|άκοντα hοκτὼ ὀρέγματα hοκτώ, ψιλᾶς μὲν hεκατὸν τριάκοντα τρῖς*

ὀρέγματα ϝίκατι | ϝὲξ πούς, ἀμπέλων δὲ τέτορες σχοῖνοι ὀρέγματα δέκα hὲν πόδες τρῖς· hαύτα hα γᾶ ἐμισθώθη τὰν πράταν πενταhετηρίδα διακοσίων | ϝεξήκοντα hεννέα μεδίμνων χοὸς δυῶν χοινίκων. § 7 ἀπὸ δὲ τούτω τῶ | ⟨τω⟩ τριγύω ἐμετρήσαμες πὸτ τὸ(ν) ϝικατίδειον δεύτερον τρίγυον εὖ|ρος ἂν τὼς ὅρως, μᾶκος ἀπὸ τᾶς hεκατομπέδω ποτὶ τὰν Ἡρακλείαν | hοδόν, καὶ ἐγένοντο σχοῖνοι hεκατὸν τριάκοντα hεννέα, ψιλᾶς μὲν hεκατὸν ϝίκατι τρῖς σχοῖνοι, ἀμπέλων δὲ δέκα ϝὲξ σχοῖνοι· τοῦτο τὸ τρί|γυον ἐμισθώθη ϝεξακατίων hενενήκοντα πέντε μεδίμνων. |

§ 8 διαβάντες δὲ τὸν ϝικατίδειον ἐποιήσαμες πράταν μερίδα πὰρ hεκ[α]|τόνπεδον, ἐν hᾶι hα ἀμπελωργικά, καὶ ἐτάμομες κοινὰν πόθοδον ἐκ τῶ | ϝικατιδείω πὸτ τὰν οἰκίαν ϝικατίπεδον καὶ ἀπὸ τᾶς οἰκίας πὰρ τὰς ἀμπέλως ἄχρι ἐς ποταμὸν hοκτάπεδον. καὶ ἐμετρίωμες ἀπὸ τῶ ϝικατιδείω | τὸ πὸτ Ἄκιριν ἐπὶ τὰν διαστολὰν τὰν πλαγίαν τὰν ἀπὸ τᾶς ποθόδω τᾶς κοι|νᾶς ἀγώσας ἐς τὰν hεκατόνπεδον, καὶ ἐγένοντο πεντήκοντα hεννέα σχοῖ|νοι hημίσχοινον, ψιλᾶς μὲν πεντήκοντα μία ὀρέγματα hεπτά, ἀμπέλων δ[ὲ] | hοκτὼ σχοῖνοι ὀρέγματα hοκτώ· hαύτα ἐμισθώθη τετρακατίων τεσσαρά[κον]τα ϝὲξ μεδίμνων καδδίχων τεσσάρων. § 9 δευτέρα μερίς, ἐν hᾶι hα οἰκία [ἐ]|στί, μᾶκος ἀπὸ τῶ ϝικατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅ|ρων καὶ τᾶς ποθόδω τᾶς hοκταπέδω τᾶς ἐς ποταμὸν ἀγώσας ἐπὶ τὼς ὅρως, | καὶ ἐγένοντο ϝεξήκοντα τρεῖς σχοῖνοι ὀρέγματα δέκα δύο· ταύται τᾶι μερίδ[ι] | ποτεδασσάμεθα ἀμπέλων τὰν πράταν διαστολὰν τὰν πὰρ τὰν hεκατόνπεδον hοκτὼ σχοίνως ὀρέγματα ϝείκατι ϝὲξ πόδας δύο, καὶ ἐγένετο hα πᾶσα μερὶς | hεβδεμήκοντα δύο σχοῖνοι ὀρέγματα hοκτὼ πόδες δύο· hαύτα ἐμισθώθη ϝεξα|κατίων τριάκοντα δυῶν μεδίμνων χοός. § 10 τρίτα μερὶς μᾶκος ἀπὸ τῶ ϝεικατι|δείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅρων τῶν τᾶς δευτέρας | μερίδος ἐπὶ τὼς ὅρως, καὶ ἐγένοντο ψιλᾶς μὲν ϝεξήκοντα ϝὲξ σχοῖνοι hημίσχοινον· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν δευτέραν διαστολὰν ἀφ' ἑκα|τονπέδω hεπτὰ σχοίνως ὀρέγματα δέκα hεπτά, καὶ ἐγένετο hα πᾶσα μερὶς hεβδε|μήκοντα τέτορες σχοῖνοι ὀρέγματα δύο· hαύτα ἐμισθώθη ϝεξακατίων τριάκοντα | μεδίμνων δυῶν καδδίχων χοινίκων δυῶν. § 11 τετάρτα μερὶς μᾶκος ἀπὸ τῶ ϝι|κατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅρων τῶν τᾶς τρίτας μερίδος ἐπὶ τὼς ὅρως καὶ ἐπὶ τὸν ἄντομον τὸν διατάμνοντα τὼς χώρως, τὸν | ἐτάμομες ἐκ τῶ ϝικατιδείω ἐς ποταμὸν κοινὸν πᾶσι χρῆσθαι τοῖς τὼς hιαρὼς χώ|ρως μεμισθωμένοις, καὶ ἐγένοντο ψιλᾶς μὲν ϝεξήκοντα hοκτὼ σχοῖνοι ὀρέγμα|τα δέκα τρία· ταύται τᾶι

μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν διαστολὰν | ἀφ᾽ ἑκατομπέδω τὰν ποτικλάιγωσαν πὸτ τὰν πόθοδον τὰν hοκτάπεδον δέκα πέντε σχοίνως ὀρέγματα hεπτά· ἐγένετο hα πᾶσα μερὶς hογδοήκοντα τρεῖς σχοῖνοι ὀρέγμα|τα ϝείκατι· hαύτα ἐμισθώθη ϝεξακατίων τριάκοντα μεδίμνων.

§ 12 *ἀπὸ δὲ τῶ | ἀντόμω τῶ διατάμνοντος τὼς χώρως τῶ ἐς ποταμὸν ἄγοντος τῶ ϝι|κατιπέδω ἐμετρίωμες μᾶκος μὲν ἐπὶ τὰν Ηηρακλείαν, εὖρος δὲ ἀπὸ | τῶ ϝικατιδείω ἐπὶ τὼς ὅρως τὼς πράτως, καὶ κατελίπομες πόθοδον ἐκ τῶ ϝεικατιδείω ποτὶ τὰν οἰκίαν ϝεικατίπεδον, καὶ ἐγένετο | hα μερὶς hαύτα ψιλᾶς ϝεξήκοντα δύο σχοῖνοι· ταύται τᾶι μερίδι ποτεδασ|σάμεθα ἀμπέλων τὰν πράταν στάσιν τὰν πὸτ τὸν ϝικατίδειον ϝὲξ σχοί|νως hημίσχοινον, καὶ ἐγένετο hα πᾶσα μερὶς ϝεξήκοντα hοκτὼ σχοῖνοι hημί|σχοινον· hαύτα ἐμισθώθη hοκτακατίων πεντήκοντα ϝὲξ μεδίμνων καδδίχων τετόρων.* § 13 *δευτέρα μερὶς ἀπὸ τῶ ϝικατιδείω, ἐν hᾶι hα οἰκία ἐστί, | ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ηηρακλείαν, εὖ|ρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς πεντήκοντα hεννέα | σχοῖνοι hημίσχοινον· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων | τὰν δευτέραν στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως hημίσχοινον, καὶ ἐγένετο hα πᾶσα μερὶς ϝεξήκοντα ϝὲξ σχοῖνοι· hαύτα ἐμισθώθη τετρα|κατίων πεντήκοντα hοκτὼ μεδίμνων καδδίχων δέκα τετόρων δυ|ῶν χοινίκων.* § 14 *τρίτα μερὶς ἀπὸ τῶ ϝικατιδείω πὸτ τὰς ἀμπέλως, ἀπὸ τῶ | ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ηηρακλείαν, εὖρος ἀ|πὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς ϝεξήκοντα τρῖς σχοῖνοι hημίσχοινον· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν | στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως hημίσχοινον, καὶ ἐγένετο hα πᾶσα με|ρὶς hεβδεμήκοντα σχοῖνοι· hαύτα ἐμισθώθη τριακατίων ϝὲξ μεδίμνων καδ|δίχων τετόρων.* § 15 *τετάρτα μερὶς ἀπὸ ϝικατιδείω μᾶκος μὲν ἀπὸ τῶ ἀντόμω | τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ τὰν πόθοδον τὰν πὰρ τὰς ἀμπέλως ἄγωσαν, εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς τετρώκοντα hοκτὼ | σχοῖνοι· ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τετάρταν στά|σιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως hημίσχοινον, καὶ ἐγένετο hα πᾶσα μερὶς πεν|τήκοντα τέτορες σχοῖνοι hημίσχοινον· hαύτα ἐμισθώθη διακατίων τριάκον|τα πέντε μεδίμνων καδδίχων δέκα πέντε.* § 16 *πέμπτα μερὶς ἀπὸ ϝικατιδείω μᾶκος ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ τὰν πόθοδον τὰν | πὰρ τὰς ἀμπέλως ἄγωσαν, εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὰν νᾶσον, καὶ ἐγέ|νετο ψιλᾶς ϝεξήκοντα τέτορες σχοῖνοι· ταύται τᾶι μερίδι ποτεδασ|σάμεθα ἀμπέλων τὰν πέμπταν στάσιν ἀπὸ ϝικατιδείω hεπτὰ σχοί|νως ὀρέγ-*

ματα δέκα hεπτὰ πόδας δύο, καὶ ἐγένετο hα πᾶσα μερὶς hεβδεμήκοντα μία σχοῖνοι ὀρέγματα (δέκα) hεπτὰ πόδες δύο· hαύτα ἐμισθώθη πεντα|κατίων hογδοήκοντα μεδίμνων καδδίχων δέκα πέντε. §17 *ϝέκτα μερὶς | τὸ ἔγγωνον τὸ πὰρ τὰς ἀμπέλως τὸ ποτικλᾶιγον πὸτ τὰν Ηηρακλείαν κα[ὶ] | πὸτ τὸν ποταμόν, καὶ ἐγένετο ψιλᾶς τριάκοντα σχοῖνοι· ταύται (τᾶι) μερίδι πο|τεδασσάμεθα ἀμπέλων hοκτὼ σχοίνως hημίσχοινον τὰς ἐχομένας τῶ χωρί[ω, καὶ ἐγέν]ετο [hα] πᾶσα μερὶς τριάκοντα hοκτὼ σχοῖνοι hημίσχοινο[ν· | hαύτα ἐμισθώθη* ....
hεν]ὸς με[δίμνων] ....

Signa paragraphorum dedi e Rij. Aspirationis littera in utroque tit. est ⊦ (cf. ad nr. 64). **62**, 3 sqq. Siglis ϝε πε etc. tribus (obae, phratriae), nominibus *τρίπους, καρυκεῖον* etc. gentes significari videntur (IG); cf. E. Curtius Ges. Abh. 2, 95 sq.; ad signa gentium cf. nostra „Hauszeichen" (sigilla Wolters Mél. Perrot 337). 5 *Δάζιμος*: cf. *Δάσιμος Πύρρω* (tit. Tarentini) DI 4614; *Δαζίμου* IIª Thyrrei Acarn. *Αρχ Δελτ* 2 *παρ.* 49; Kretschmer Einleitung in die Geschichte der griech. Sprache 275. 10 *[ὤρ]ιξαν* sicut 63, 8; *[ε]ἷξαν* DI. et diversa explicatione Brugmann IF 11, 99 sq. 11 *διακν.*, sed *διέγνον* 62, 99 sq. *διαγνόντων* 63, 9 sq. 54 *πὰρ Π.* errore pro *ὑπὲρ Π - ς*? 81 *hᾶι μ. — h. δ.*: Wackernagel GöttNachr 1906, 176 sq. 101 *προτερείαι* pro *-αίαι*; cf. Wackernagel IF 25, 333 et *Δυμειάδα* (V Paesti) i. e. *-αιάδα* (Be Namenst. 19); cf. nr. 74, 35. 387, 1. Quamquam est *Ηιστιεῖος* nr. 62, 6. 98. *καἴ* per crasin e *καὶ αἰ* (an *ἁπλογραφίᾳ*?). 105 *αἴ τινί κα*: de ordine verborum cf. Wackernagel IF 1, 369 et Über einige antike Anredeformen (Gött. 1912), 27/32; Jacobsthal IF 21 suppl. 143 sq.; BeD 1, 115. 110 sqq. *ἀποτεισεῖ* an *-είσει* sim.? 120 *ἐνδεδ.* i. e. *ἐμβεβιωκότα* W. H. Roscher RhM 44, 312/6. 133 *ἀράσοντι* cf. ad nr. 180, 5 sq. 134 (*λι*): *ν* t. 167 *τρίτω* errore pro *δευτέρω*; cf. vss. 30. 31. 177 (*ϝ*): *ε* t. 182. 184 spatia supplendis signis gentilibus aut (184) patris nomini destinata. — **63**, 22 *ἀπεκατ.*: augmentum perperam repetitum nisi errore pro *ἀποκατ.* 32 verba *ἀν τὼς ὅρως* transponenda post *τρίγυον* vs. 31, cf. vs. 38 (Rij). 37 (*ν*) deest in tab. 105 (*δέκα*) suppl. IG. 108 (*τᾶι*) deest in tab.

---

64 [[2]42] Heracleae. Lapis tofinus. — Dedicatio. Post Ignarra (1807) aliosque CIG 5776 add. IG XIV 646. DI 4630. Mi 1248.

Ηιστιαίᾳ πρὸ | αὐταυτᾶς κ|αὶ τᾶς Ἀφροδ|ιτίας Δορκὰς | ἀνέθηκε.

Ηιστίαι legendum esse coniecit Kaibel (IG). — *h* (in litt. rec. signo ⊦ notata; cf. ad nr. 60; 424, 12; 439) in nummis quoque servata est: *Ηε* (a. 432/380), *Ηηρακληίων* (a. 400/281) Head 71 sq.; DI 4631/6.

II. Tituli Messenii (nr. 65—76).

65 [[1]11] Basis marmoris triangula, in qua Victoriae statua posita erat (cf. Paus. V 26, 1), Olympiae reperta. Probabiliter 423. — Dedicatio Messeniorum et Naupactiorum. — E. Curtius AZ 33, 178/81 (cf. Ges. Abh. 2, 440/2). Im 30. IvO 259. Mi 1086. DS 31 [3]80. DI 4637. Hicks 63. IG V 1, 1568 (p. XXI). NachmG 21. Cf. Buck ClassPh 8, 137.

Μεσσάνιοι καὶ Ναυπάκτιοι ἀνέθεν Διὶ | Ὀλυμπίωι δεκάταν ἀπὸ τῶμ πολεμίων. | Παιώνιος ἐποίησε Μενδαῖος | καὶ τἀκρωτήρια ποιῶν ἐπὶ τὸν ναὸν ἐνίκα.

Μενδ.: *Μένδη* urbs Ionica prope Aenum sita (Paus. V 27, 12). Kirchh. A. 120; in nummis *Μινδάōν* V (Head 211). *τἀκρ.*: cf. Paus. V 10, 4 (*λέβης ἐπίχρυσος . . . καὶ Νίκη*). IvO.

---

66 [^{2}9] Abiae. V. — Tit. sepulcralis. — Exscripsit Fourmont, edd. CIG 13 (Gereniae tributum). IGA 64. DI 4668. IG V 1, 1356.

hιαρὸς Χαροπ[ῖ]νος. hιαρ[ὸς] | Ἀρισστόδαμος.

hιαρ.: cf. ad nr. 56.

---

67 Pharis. In faucibus Nedontis fluminis in loco, qui nunc ab angue e polita rupe exsculpto *λιθωμένο φίδι* nominatur, rupi incisi. — *Σκιᾶς* EA 1911, 110/5. IG V 1, 1362; 2. 3 iam Weil AM 1, 165. DI 4673 et IV p. 756.

1) [*Ῥι*]*ποτελίδας.* — 2) . ε *Κορϝε̄[ι]* | *Χαριφο̄ν.* — 3) *Κορθιάται Παν[ί].* — 4) *Τιτύρ[ο̄].* — 5) *Κροθιάται* | — | — | *hια[ρ]ό[ς].*

2 *Κ.*: exspectes *-αι*; . ε i. e. *ἀνέθε̄κ*]ε (ante E est hasta dextra inferior litterae *Κ*). 3. 5 cf. *κόρθυς*, de metathesi ad nr. 5.

---

68 [^{2}46] Thuriae. Tabula lapidis calcarii. II ex. — Catalogus ephoborum. — Le Bas II 301. DI 4677. IG V 1, 1384.

ἱερεὺς τᾶς Ἀθάνας Νίκων Νικοστρά[του]· | γυμνασίαρχος Σῖμος Σωσάνδρου· ὑπο[γυ]|μνασίαρχος Ξενοκλῆς Δαμοκράτεος.

ἔφηβοι· Ἀρασίδαμος Δαμοτέλεος, | Φιλόξενος Ἀγαθαμέρου, | Ἱπποκράτης Ἵππωνος, | Δαμοκράτης Χαιρήμονος, | Σόλων Νικωνύμου, Ἀρίστων Καλλισθένεος, | Δεινίας Δαμοσθένεος, | Δείνων Στράτιος, | Ἀρίστιππος Δαμοθέρσεος, Ἀριστόμαχος Θεοφίλου, Νεόδαμος Μνασιμαχίδα, | Νίκων Δάμωνος, | Ξένων Σωσινίκου, | Κάλλιππος Ἀριστονίκου, | Δαμοκράτης Δαμίωνος, Ξένων Πασίωνος, | Εὐτυχίδας Νικαρέτου, | Ἀριστείδας Κρατιππίδα, | Σώστρατος Φιλοξένου.

68^{a} E templo Apollinis Corynthi prope Coronen. *ἐπὶ στυρακίου χαλκοῦ.* ca. 500. — *Φρ. Βερσάκης Ἀρχ Δελτ* 2, 114.

ἈπΗλλōνος Ηιαρόν.

---

69 Messenae. Stela marmorea cymatio ornata III vel IV ex. — Proxenia. — Post Graecos editores Wilhelm AM 16, 345/48. DI 4640. Mi 186. IG V 1, 1425.

[*Τ*]*είσων Ἰκαδέ|ος Δαϊφοντ[ί]δ|ος δυωδ(εκάτω) ε′ εἶπε· | ἔδοξε τῶι δάμωι· Μέναλκον Ἀ|ριστομένεος | [Ζ]ακύνθιον πρ|όξενον εἶμεν |*

καὶ εὐεργέτα[ν] Μεσσανίων α|ὐτὸν καὶ ἐκγό|νους· εἶμεν δὲ | αὐτῶι τὰν προ|ξενίαν καθάπερ τοῖς ἄλλοι[ς] | προξένοις· [προ]|στάτας δα[μιορ]|γῶν Τρίτων.

Δαΐφοντίς nomen tribus; verbis *Δ. δ. ε'* dies significari videtur quo decretum factum est; constat enim Messenios sub Achaeorum dominatione menses ab ordinalibus appellasse (IG); praeterea nominantur menses Messenii *Ἀγριάνιος Μναστήρ Φυλλικός*(?) IG V 1 p. 350.

---

70 [^{2}44] Messenae. Stela lapidis calcarii. III. — Honores. — Martha BH 5, 151/3. DI 4641. IG V 1, 1426.

- - - υ Ἄνθεια(?) α - | [- - - πολ]έμωι διαπ - | - - - μενοι, καὶ ἀξ[ί]ω[ς - | - - ὅσοι δὲ τῶ]ν συμμάχων ἐν τ[ῶι πολέμωι - - - -]ν αὐτοὶ καὶ τω . . . ε . . . | [- - - ἱ]ππέας τριάκοντα ἱππα[ρ|χοῦντος Προξένω· ἦμεν δὲ α]ὐτοῖς καὶ ἐ[γ]γόνοις ἰσ[ο|πολιτείαν, γᾶς τε καὶ οἰκίας ἔγκτ]ασιν καὶ πολέμω καὶ | [εἰράνας καθάπερ καὶ τοῖς Μεσσαν]ίοις· δῶμες δὲ [- - - αὐτοῖς, ὅσοι ἀ]κροβόλοι ἦσαν τοῖς | [δὲ τοῦ δεῖνος - - - ἐγγ]όνοις καὶ Προξένω | [παισὶν - - -] | Θρασυβούλωι | Αἰγυπτίω, | Φυσαλίωνι Ἀ[ν]δρονίκω, | Ἀλεξάνορι | Δ[υ]σί[ω]νος, | Ἀντιφανίδ[αι] | Ἀριστοκράτεος, Κορύμβωι | Σιλανῶ, | Σιργεῖ | Ἱερονύμω, | Ἐχεφυλίδαι Πανταλέοντος, | Ὀλυμπιοδώρωι | Καλλίππω⟨ι⟩, | Κλεοσθένει Ἀλεξίππω, Αὐτολόχωι | Ἀλεξάνορο[ς], | - - - υθοων - - | - - -Ἀγυεῖ, ὅς - - | - - αι πολε[ι - -].

‚Laudantur et civitate donantur cives urbis Antheae, qui in bello triginta equites Messeniis auxilio miserant'; duo columnae nominum amissae sunt. A vs. 32 carmen incipit (IG).

---

71 [^{2}45] Lapis Phigaliae repertus. *στοιχ.* ca. 240. — Messeniorum decretum de societate cum Phigalensibus ineunda. — Edd. post alios Le Bas II 328a. DI 4645. DS 234. Mi 187. IG V, 2, 419. Cf. Wilhelm GöttAnz 1903, 791. Hiller v. Gaertringen EA 1914, 134 sq.

[ἐπειδὴ παραγενόμενο]ι πρεσβευταὶ καὶ διαλ|[λακταὶ παρὰ τῶν Αἰτω]λῶν Τίμαιος, Κλεόπατρος | [- - τό τε ψάφισ]μα τὸ παρὰ τῶν Αἰτωλῶν ἀπ|[έδωκαν καὶ αὐτοὶ] διελέγοντο ὅμοια τοῖς ἐν τ[ῶι ψαφίσματι ἀξ]ιῶντες διαλυθῆμεν ποτὶ τὼ|[ς Φιαλέας, συνπ]αρόντες δὲ καὶ τῶν ἐ Φιαλείας | [παρελθόντων] Θαρυκίδας, Ὀνόμανδρος, Ἀνφίμα|[χος, - -]δας, Ὀρθολαΐδας, Κραταιμένης, Τι|[- - - Δ]αμάρετος τὰ αὐτὰ ἀξίων, ἔδοξε τᾶι [πόλει τᾶι Μ]ε(σ)σανίων· ἦμεν τοῖς Μεσσανίοις κα|[ὶ τοῖς Φια]λέοις ἰσοπολιτείαν καὶ ἐπιγαμία|[ν ποτὶ ἀλλ]άλως, ποιήσασθαι δὲ καὶ συνβολὰν ἅ|[νπερ δοκεῖ] ἀνφοτέραις ταῖς πολέοις, τὰν δὲ χ|[⟨χ⟩ώραν καρπ]ίζεσσθαι ἑκατέρως, τώς τε Με(σ)σανίω[ς καὶ τὼς Φι]αλέας, καθὼς καὶ νῦν καρπιζόμεθα. | [- - - κ]α

ὁμολογήσωμες ποτ' [ἀ]λλάλως, ὀμό|[σαι ἀνφοτέρω]ς καὶ στάλας καταθέσθαι ἐν τοῖς | [ἱεροῖς, ὅπεῖ κ]α δοκεῖ ἀνφοτέραις ταῖς πολέο|[ις· εἰ δέ κα μὴ ἐν]μένωντι οἱ Φιαλέες ἐν τᾶι φιλ[20][ίαι τᾶι ποτὶ Μ]ε(σ)σανίως καὶ Αἰτωλώς, ἄκυρος ἔ|[στω πᾶσα(?) ἁ ὁμολο]γία. ἔδοξε δὲ καὶ τοῖς Φιαλέ[ο|ις ποιεῖν καθὰ ο]ἱ Μεσσάνιοι ἐψαφίξαντ[ο. ὅρκ|ος Μεσσανίων· ὀμν]ύω Δία Ἰθωμάταν, Ἥρα[ν- - | - - -]ον καὶ θεὼς ὀρκί[ως πάντας ἦ [25]μὰν ἐμμενεῖν -] ἐν τᾶι φιλί[αι τᾶι ὑπαρχώσαι | ποτ' Αἰτωλὼς καὶ Φι]αλέας τ[οῖς Μεσσανίοις - - -

De formis Φιαλέοις vs. 11, πολέοις vs. 18 cf. ad nr. 23; ἐπαγγελλόντοις in tit. Messenio ca 200 IvM 43, 5. vs. 23 Ἥρα[ν] s. Ἡρα[κλέα (IG).

---

72 Messenae. 1) Tabula lapidis calcarii. III vel IV. 2) Stela lapidis calcarii. II ex. — Dedicationes. — IG V 1, 1444/5.

1) Ἀρισταγόρα Νικαγόρω πῶλος | Δάματρι Κόραι ἀνέθηκε. — 2) Ἐλευθίαι Καλοῖς | ὑπὲρ Λυκίας | Ἀθαναδᾶν.

1 πῶλος: sacerdos Cer. et Pros. IG. 2 Cf. Paus. IV 31, 9. ‚Καλοὶ vel καλοὶ δαίμονες (IG XIV 813) intelligendi sunt dei, qui parturientibus favent. Dedicaverunt Athenadae pro Lycia' (IG).

---

73 Messenae. 1) Stela marmorea. 2) et 3) Arae parvulae lapidis calcarii. III in. — Manumissiones. — 1) Wilhelm AM 16, 349/51. DS 836. Rij 30, 31. Mi 1388. 2. 3 Le Bas Rev. arch. 1, 423. 1—3 DI 4642/4. IG V 1, 1470/2.

1) [- - ἀφίη]τι Πετραίαν | [ἐλευθέραν· εἰ] δέ τίς κα κατα|[δουλίζηται Π]ετραίαν, ἀποτει|[σάτω δέ]κα μνᾶς ἀργυρίου | [ἱαρὰ]ς τᾶι Λιμνάτι· προστατευέ|[τω] δὲ ὅσστις κα χρήζηι ὑπὲρ | Πετραίας ὡς ἐλευθέρας | ἐάσας νόμωι πόλεος. — 2) [[2]43] ἐπὶ ἱαρέος Τ|ιμάρχω ἀφί|ητι Φιλωνίδ|ας - -. — 3) ἐφ' ἱερέος Φιλ|ίδα, ἐφόρου Θαλ|ιδάμου, Μη[σ]|τρία ἀφ[ίη]τι - -].

---

74 [[2]47] Andaniae. Magna tabula lapidis calcarii, supra cymatio ornata infra integra, a latere quoque dextro (vss. 117 sqq.) inscripta, nunc in duas partes fracta et inaedificata in vico cui nomen Κονσταντῖνοι portae ecclesiae. 92/1. — Lex sacra de mysteriis. — Edd. post Βλάστον et Κουμανούδην Sauppe Ausgew. Schr. 261/307 (GöttAbh 1860, 217 sqq.). Le Bas II 326 a. DI 4689. DS 653 [3]736. Mi 694. LS 2, 58. IG V 1, 1390. Cf. Nilsson Griech. Feste 337/42.

§ 1 [περὶ ἱ]ερῶν καὶ ἱερᾶν. ὁ γραμματεὺς τῶν συνέδρων τοὺς γενηθέντας ἱεροὺς ὁρκιξάτω παραχρῆμα, ἂμ μή τις ἀρρωσ[τεῖ, ἱερῶ]ν καιομένων, αἷμα καὶ οἶνον σπένδοντας, τὸν ὅρκον τὸν ὑπογεγραμμένον· ‚ὀμνύω τοὺς θεούς, οἷς τὰ μυστήρια ἐπιτ[ε|λε]ῖται, ἐπιμέλειαν ἕξειν, ὅπως γίνηται τὰ κατὰ τὰν τελετὰν θεοπρεπῶς καὶ ἀπὸ παντὸς τοῦ δικαίου, καὶ μήτε αὐ|[τ]ὸς μηθὲν ἄσχημον μηδὲ ἄδικον ποιήσειν ἐπὶ καταλύσει τῶν μυστηρίων μηδὲ ἄλλωι ἐπιτρέ-

ψειν, ἀλλὰ κατακολουθήσειν τοῖς γεγραμμένοις', ἐξορκίσειν δὲ καὶ τὰς ἱερὰς καὶ τὸν ἱερῆ κατὰ τὸ διάγραμμα· ,εὐορκοῦντι μέν μοι εἴη ἃ τοῖς εὐ|σεβέοις, ἐφιορκοῦντι δὲ τἀναντία.' ἂν δέ τις μὴ θέλει ὀμνύειν, ζαμιούτω δραχμαῖς χιλίαις καὶ ἄλλον ἀντὶ τούτου κλαρωσά|τω ἐκ τᾶς αὐτᾶς φυλᾶς. τὰς δὲ ἱερὰς ὁρκιζέτω ὁ ἱερεὺς καὶ οἱ ἱεροὶ ἐν τῶι ἱερῶι τοῦ Καρνείου τᾶι πρότερον ἁμέραι τῶν μυστη-|ρίων τὸν αὐτὸν ὅρκον καὶ ποτεξορκιζόντω· ,πεποίημαι δὲ καὶ ποτὶ τὸν ἄνδρα τὰν συμβίωσιν ὁσίως καὶ δικαίως.' τὰν δὲ μ[ὴ] | θέλουσαν ὀμνύειν ζαμιούντω οἱ ἱεροὶ δραχμαῖς χιλίαις καὶ μὴ ἐπιτρεπόντω ἐπιτελεῖν τὰ κατὰ τὰς θυσίας μηδὲ μετ[έ]χειν τῶν μυστηρίων, αἱ δὲ ὀμόσασαι ἐπιτελούντω. οἱ δὲ γεγενημένοι ἱεροὶ καὶ ἱεραὶ ἐν τῶι πέμπτωι καὶ πεντηκοστῶι | ἔτει ὀμοσάντω τὸν αὐτὸν ὅρκον ἐν τῶι ἑνδεκάτωι μηνί, πρὸ τῶν μυστηρίων. § 2 παραδόσιος. τὰν δὲ κάμπτραν καὶ τὰ | βιβλία, ἃ δέδωκε Μνασίστρατος, παραδιδόντω οἱ ἱεροὶ τοῖς ἐπικαταστα θέντοις, παραδιδόντω δὲ καὶ τὰ λοιπά, ὅσα | ἂν κατασκευασθεῖ χάριν τῶν μυστηρίων. § 3 στεφάνων. στεφάνους δὲ ἐχόντω οἱ μὲν ἱεροὶ καὶ αἱ ἱεραὶ πῖλον λευκόν, | τῶν δὲ τελουμένων οἱ πρωτομύσται στλεγγίδα· ὅταν δὲ οἱ ἱεροὶ παραγγείλωντι, τὰμ μὲν στλεγγίδα ἀποθέσθωσαν, στεφανούσθωσαν δὲ πάντες δάφναι. § 4 εἱματισμοῦ. οἱ τελούμενοι τὰ μυστήρια ἀνυπόδετοι ἔστωσαν καὶ ἐχόντω τὸν | εἱματισμὸν λευκόν, αἱ δὲ γυναῖκες μὴ διαφανῆ μηδὲ τὰ σαμεῖα ἐν τοῖς εἱματίοις πλατύτερα ἡμιδακτυλίου, καὶ αἱ | μὲν ἰδιώτιες ἐχόντω |χιτῶνα λίνεον καὶ εἱμάτιον μὴ πλείονος ἄξια δραχμᾶν ἑκατόν, αἱ δὲ παῖδες καλάσηριν ἢ σιν|δονίταν καὶ εἱμάτιον μὴ πλείονος ἄξια μνᾶς, αἱ δὲ δοῦλαι καλάσηριν ἢ σινδονίταν καὶ εἱμάτιον μὴ πλείονος ἄξια δρα|χμᾶν πεντήκοντα· αἱ δὲ ἱεραί, αἱ μὲν γυναῖκες καλάσηριν ἢ ὑπόδυμα μὴ ἔχον σκιὰς καὶ εἱμάτιον μὴ πλέονος ἄξια δύο μνᾶν, αἱ δὲ [παῖδε]ς καλάσηριν καὶ εἱμάτιον μὴ πλείονος ἄξια δραχμᾶν ἑκατόν. ἐν δὲ τᾶι πομπᾶι αἱ μὲν ἱεραὶ γυναῖκες ὑποδύ|ταν καὶ εἱμάτιον γυναικεῖον οὖλον, σαμεῖα ἔχον μὴ πλατύτερα ἡμιδακτυλίου, αἱ δὲ παῖδες καλάσηριν καὶ εἱμάτιον μὴ δια|φανές. μὴ ἐχέτω δὲ μηδεμία χρυσία μηδὲ φῦκος μηδὲ ψιμίθιον μηδὲ ἀνάδεμα μηδὲ τὰς τρίχας ἀνπεπλεγμένας μηδὲ ὑπο|δήματα εἰ μὴ πίλινα ἢ δερμάτινα ἱερόθυτα. δίφρους δὲ ἐχόντω αἱ ἱεραὶ εὐσοΐνους στρογγύλους καὶ ἐπ' αὐτῶν ποτικεφάλαια | ἢ σπῖραν λευκά, μὴ ἔχοντα μήτε σκιὰν μήτε πορφύραν. ὅσα(ς) δὲ δεῖ διασκευάζεσθαι εἰς θεῶν διάθεσιν, ἐχόντω τὸν εἱματισμόν, καθ' ὃ ἂν οἱ ἱεροὶ διατάξωντι. ἂν δέ τις ἄλλως ἔχει τὸν εἱματισμὸν παρὰ τὸ διάγραμμα ἢ ἄλλο τι τῶν κεκωλυμένων, μὴ ἐπιτρεπέ|τω ὁ γυναικονόμος καὶ ἐξουσίαν ἐχέτω λυμαίνεσθαι, καὶ ἔστω ἱερὰ τῶν θεῶν.

§ 5 *ὅρκος γυναικονόμου.* οἱ δὲ ἱεροὶ, ὅταν καὶ αὐτοὶ ὀμό|σωντι, ὁρκιζόντω τὸν γυναικονόμον ἐπὶ τῶν αὐτῶν ἱερῶν· εἶ μὰν ἕξειν ἐπιμέλειαν περί τε τοῦ εἱματισμοῦ καὶ τῶν λοιπῶν τῶν | ἐπιτεταγμένων μοι ἐν τῶι διαγράμματι. § 6 *πομπᾶς.* ἐν δὲ τᾶι πομπᾶι ἁγείστω Μνασίστρατος, ἔπειτεν ὁ ἱερεὺς τῶν θεῶν, οἷς | τὰ μυστήρια γίνεται, μετὰ τᾶς ἱερέας, ἔπειτα ἀγωνοθέτας, ἱεροθύται, οἱ αὐληταί, μετὰ δὲ ταῦτα αἱ παρθένοι αἱ ἱεραί, καθὼς ἂν λάχωντι, ἄγουσαι τὰ ἅρματα ἐπικείμενα⟨ς⟩ κίστας ἐχούσας ἱερὰ μυστικά· εἶτεν ἁ θοιναρμόστρια ἁ εἰς Δάματρος καὶ αἱ ὑποθοιναρ|μόστριαι αἱ ἐμβεβακυῖαι, εἶτεν ἁ ἱέρεα τᾶς Δάματρος τᾶς ἐφ' ἱπποδρόμωι, εἶτεν ἁ τᾶς ἐν Αἰγίλᾳ, ἔπειτεν αἱ ἱεραὶ κατὰ μίαν, κα|θώς κα λάχωντι, ἔπειτεν οἱ ἱεροί, καθώς κα οἱ δέκα διατάξωντι. ὁ δὲ γυναικονόμος κλαρούτω τάς τε ἱερὰς καὶ παρθένους καὶ ἐπιμέλειαν | ἐχέτω, ὅπως πομπεύωντι καθώς κα λάχωντι. ἀγέσθω δὲ ἐν τᾶι πομπᾶι καὶ τὰ θύματα, καὶ θυσάντω τᾶι μὲν Δάματρι σῦν ἐπίτοκα, Ἑρμᾶ|νι κριόν, Μεγάλοις Θεοῖς δάμαλιν σῦν, Ἀπόλλωνι Καρνείωι κάπρον, Ἅγναι οἶν. § 7 *σκανᾶν.* σκανὰν δὲ μὴ ἐπιτρεπόντω οἱ ἱεροὶ μηθένα ἔχειν ἐν τετραγώνωι μείζω ποδῶν τριάκοντα, μηδὲ περιτιθέμεν ταῖς σκαναῖς μήτε δέρρεις μήτε αὐλείας, μηδέ, ἐν ὧι ἂν τόπωι περιστεμ|ματώσωντι οἱ ἱεροί, μηθένα τῶν μὴ ὄντων ἱερῶν ἔχειν σκανάν. μηδὲ παρερπέτω μηθεὶς ἀμύητος εἰς τὸν τόπον, ὅν κα περιστεμμα|τώσωντι. χωραξάντω δὲ καὶ ὑδράνας. ἀναγραψάντω δὲ καί, ἀφ' ὧν δεῖ καθαρίζειν καὶ ἃ μὴ δεῖ ἔχοντας εἰςπορεύεσθαι. § 8 ἃ [μ]ὴ δεῖ ἔχειν | ἐν ταῖς σκαναῖς· μηθεὶς κλίνας ἐχέτω ἐν τᾶι σκανᾶι μηδὲ ἀργυρώματα πλείονος ἄξια δραχμᾶν τριακοσιᾶν· εἰ δὲ μή, μὴ ἐπιτρεπόν|τω οἱ ἱεροί, καὶ τὰ πλειονάζοντα ἱερὰ ἔστω τῶν θεῶν. § 9 *ἀκοσμούντων.* ὅταν δὲ αἱ θυσίαι καὶ τὰ μυστήρια συντελεῖται, εὐφαμεῖν πάντας καὶ ἀκούειν τῶν παραγγελλομένων, τὸν δὲ ἀπειθοῦντα ἢ ἀπρεπῶς ἀναστρεφόμενον εἰς τὸ θεῖον μαστιγούντω οἱ ἱεροὶ | καὶ ἀποκωλυόντω τῶν μυστηρίων. § 10 *ῥαβδοφόρων.* ῥαβδοφόροι δὲ ἔστωσαν ἐκ τῶν ἱερῶν εἴκοσι καὶ πειθαρχούντω τοῖς ἐπιτελούν|τοις τὰ μυστήρια καὶ ἐπιμέλειαν ἐχόντω, ὅπως εὐσχημόνως καὶ εὐτάκτως ὑπὸ τῶν παραγεγενημένων πάντα γίνηται, καθὼς ἂν | παραγγέλλωντι οἱ ἐπὶ τούτων τεταγμένοι· τοὺς δὲ ἀπειθοῦντας ἢ ἀπρεπῶς ἀναστρεφομένους μαστιγούντω. ἂν δέ τις τῶν ῥα|βδοφόρων μὴ ποιεῖ καθὼς γέγραπται ἢ ἄλλο τι ἀδικοῖ ἢ ποιοῖ ἐπὶ καταλύσει τῶν μυστηρίων, κριθεὶς ἐπὶ τῶν ἱερῶν, ἂν κατακριθεῖ, μὴ μετεχέτω τῶν μυστηρίων. § 11 *περὶ τῶν διαφόρων.* τὰ δὲ πίπτοντα διάφορα ἐκ τῶν μυστηρίων ἐγλεγόντω οἱ κατασταθέντες ὑπὸ | τοῦ δάμου πέντε. εἰςφερόντω δὲ οἱ ἄρχοντες ἀνάνκαι πάντες,

μὴ δὶς τοὺς αὐτούς, τίμαμα ἔχοντα ἕκαστον μὴ ἔλασσον ταλάν|του, καὶ τῶν κατασταθέντων παραγραφάτω ἁ γερουσία τὸ τίμαμα, ὡσαύτως δὲ καὶ τὸ τῶν εἰςενεγκάντων· τοῖς δὲ ἐγλογευόντοις | τὰ διάφορα λειτουργείτω ὁ ἀργυροσκόπος. ὅταν δὲ ἐπιτελεσθεῖ τὰ μυστήρια, ἀπολογισάσθωσαν ἐμ πάντοις ἐν τᾶι πρώται συν|νόμωι συναγωγᾶι τῶν συνέδρων, καὶ γραφὰν ἀποδόντω τῶι ἐπιμελητᾶι παραχρῆμα, γράφοντες ἐπ' ὀνόματος τὰ πεπτωκότα δι[ά]φορα ἀπὸ τοῦ καθαρμοῦ καὶ ἀπὸ τῶν πρωτομυστᾶν τὸ ὑποστατικόν, καὶ ἄν τι ἄλλο πέσει, καὶ τὴν γεγενημέναν ἔξοδον, καί τι ἂν εἶ | λοιπόν, καὶ ἀριθμησάντω παραχρῆμα τῶι ταμίαι, καὶ ἔστωσαν ὑπόμαστροι, ἄν τι εὑρίσκωνται ἀδικοῦντες, διπλασίου καὶ ἐπιτιμίου | [δραχ]μᾶν χ[ι]λιᾶν, καὶ οἱ δικαστ[αὶ] μὴ ἀφαιρούντω μηθέν. οἱ δ' ἐν τῶι πέμπτωι καὶ πεντηκοστῶι ἔτει κατεσταμένοι ἐξοδιασάντω καὶ Μνα[σισ]τράτωι τὸ διδόμενο[ν αὐτῶι] διάφορον εἰς τὸν στέφανον ὑπὸ τῆς [πό]λεος, δραχμὰς ἑξακισχιλίας. ἀποδόντω δὲ τῶι ταμίαι καὶ ὅσα κα εἶ [πρ]οεξωδιασμένα διάφορα [ὑπ]ὸ τοῦ ταμίου ἐ[ν τῶι πέμπτωι καὶ πεντηκοστῶι] ἔτε[ι εἰς] τὰ κ[α]τασκευαζόμ[εν]α ἐν [τῶ]ι Καρνειασίωι ἢ δαπανούμενα χάριν τῶν μυστηρίων. τὸ δὲ [λοιπὸν ἐκ τῶν διαφόρων τούτου τοῦ ἔτους] ἐξοδιαζόντ[ω οἱ πέντε εἰς τὰ] ἐπισκε[υα]|ζόμενα ἐν τῶι Καρνειασίωι· καὶ ἄν τινος ἔτι χρεία εἶ [παρὰ ταύτας τὰς] ποθόδους, φερόντω γράφοντες ῥη[τῶς, ε]ἰς ὃ ἂν χρεία εἶ, καὶ οἱ ἄρχον|τες καὶ οἱ σύνεδροι δογματοποιείσθωσαν, ὅτι δεῖ τὸν ταμίαν [διδόμ]εν τὰ διάφορα. ἀπὸ δὲ τῶν πιπτόντων ἐκ τῶν μυστηρίων ἀποκαθι|στάσθω τῶι ταμίαι τὰ διάφορα καὶ ἀποδόντω γραφὰν τῶι ἐπιμελητᾶι, περὶ ὧν κα διοικήσωντι, καὶ ἔστωσαν ὑπόμαστροι, ἄν τι ἀδικήσωντι, κα|θὼς ἐπάνω γέγραπται. ὁ δὲ ταμίας, ὅσον κα παραλάβει διάφορον λοιπὸν ἐκ τούτων, γραφέτω ἐν ὑπεχθέματι εἰς τὰν ἐπισκευὰν τῶν ἐν τῶι Καρνειασίωι καὶ μὴ ἀναχρησάσθω εἰς ἄλλο μηθέν, μέχρι ἂν ἐπιτελεσθεῖ, ὅσων χρεία ἐστὶ ποτὶ τὰν τῶν μυστηρίων συντέλειαν· μηδὲ γρα|ψάτω μηθεὶς δόγμα, ὅτι δεῖ ταῦτα τὰ διάφορα εἰς ἄλλο τι καταχρήσασθαι· εἰ δὲ μή, τό τε γραφὲν ἀτελὲς ἔστω καὶ ὁ γράψας ἀποτεισάτω δρα|χμὰς δισχιλίας, ὁμοίως δὲ καὶ ὁ ταμίας, ὅ τι κα ἐξοδιάσει, διπλοῦν καὶ δραχμὰς δισχιλίας, καὶ οἱ δικασταὶ μὴ ἀφαιρούντω μηθέν, καὶ τὰ πίπτοντα | ἐκ ταυτᾶν τᾶν κρισίων διάφορα ὑπαρχέτω εἰς τὰν ἐπισκευὰν τῶν ἐν τῶι Καρνειασίωι. ὅταν δὲ ἐπι⟨σ⟩τελεσθεῖ, ὅσων χρεία ἐστὶ ποτὶ τὸ συν|τελεῖν τὰ μυστήρια, ὑπαρχέτω τὰ πίπτοντα διάφορα τῶν μυστηρίων εἰς τὰς τᾶς πόλεος ἐςόδους. § 12 θυμάτων παροχᾶς. οἱ ἱεροὶ μετὰ τὸ κατασταθῆμεν προκαρύξαντες ἐγδόντω τὰν παροχὰν τῶν θυμάτων, ὧν δεῖ

θύεσθαι καὶ παρίστασθαι ἐν τοῖς μυστηρίοις, καὶ τὰ εἰς τοὺς | καθαρμούς, ἐγδιδόντες, ἄν τε δοκεῖ συνφέρον εἶμεν, ἐπὶ τὸ αὐτὸ πάντα τὰ θύματα, ἄν τε κατὰ μέρος, τῶι τὸ ἐλάχιστον ὑφισταμένωι | λάμψεσθαι διάφορον. ἔστι δὲ ἃ δεῖ παρέχειν πρὸ τοῦ ἄρχεσθαι τῶν μυστηρίων, ἄρνας δύο λευκούς, ἐπὶ τοῦ καθαρμοῦ κριὸν εὔχρουν, καί, ὅταν | ἐν τῶι θεάτρωι καθαίρει, χοιρίσκους τρεῖς, ὑπὲρ τοὺς πρωτομύστας ἄρνας ἑκατόν, ἐν δὲ τᾶι πομπᾶι Δάματρι σῦν ἐπίτοκα, τοῖς δὲ Μεγάλοις | Θεοῖς δάμαλιν διετῆ σῦν, Ἑρμᾶνι κριόν, Ἀπόλλωνι Καρνείωι κάπρον, Ἅγναι οἶν. ὁ δὲ ἐγδεξάμενος κατεγγυεύσας ποτὶ τοὺς ἱεροὺς λαβέτω τὰ διάφορα καὶ παριστάτω τὰ θύματα εὐίερα καθαρὰ ὁλόκλαρα καὶ ἐπιδειξάτω τοῖς ἱεροῖς πρὸ ἀμερᾶν δέκα τῶν μυστηρίων· τοῖς | δὲ δοκιμασθέντοις σαμεῖον ἐπιβαλόντω οἱ ἱεροὶ καὶ τὰ σαμειωθέντα παριστάτω ὁ ἐγδεξάμενος. ἂν δὲ μὴ παριστᾶι ἐπὶ τὰν δοκιμασί|αν, πρασσόντω οἱ ἱεροὶ τοὺς ἐγγύους αὐτὸ καὶ τὸ ἥμισυ, τὰ δὲ θύματα αὐτοὶ παρεχόντω, καὶ ἀπὸ τῶν πραχθέντων διαφόρων κομισάσθωσαν | τὰν γενομέναν δαπάναν εἰς τὰ θύματα. § 13 τεχνιτᾶν εἰς τὰς χοριτείας. οἱ ἱεροὶ προγραφόντω κατ᾽ ἐνιαυτὸν τοὺς λειτουργήσοντας ἔν | τε ταῖς θυσίαις καὶ μυστηρίοις αὐλητὰς καὶ κιθαριστάς, ὅσους κα εὑρίσκωντι εὐθέτους ὑπάρχοντας, καὶ οἱ προγραφέντες λειτουργούντω τοῖς θεοῖς. § 14 ἀδικημάτων. ἂν δέ τις ἐν ταῖς ἁμέραις, ἐν αἷς αἵ τε θυσίαι καὶ τὰ μυστήρια γίνονται, ἁλῶι εἴτε κεκλεβὼς εἴτε ἄλλο τι ἀδίκη|μα πεποιηκώς, ἀγέσθω ἐπὶ τοὺς ἱερούς· καὶ ὁ μὲν ἐλεύθερος, ἂν κατακριθεῖ, ἀποτινέτω διπλοῦν, ὁ δὲ δοῦλος μαστιγούσθω καὶ ἀποτεισάτω δι|πλοῦν τὸ κλέμμα, τῶν δὲ ἄλλων ἀδικημάτων ἐπιτίμιον δραχμὰς εἴκοσι· ἂν δὲ μὴ ἐκτίνει παραχρῆμα, παραδότω ὁ κύριος τὸν οἰκέταν τῶι ἀ|δικηθέντι εἰς ἀπεργασίαν· εἰ δὲ μή, ὑπόδικος ἔστω ποτὶ διπλοῦν. § 15 περὶ τῶν κοπτόντων ἐν τῶι ἱερῶι. μηθεὶς κοπτέτω ἐκ τοῦ ἱεροῦ τόπου· | ἂν δέ τις ἁλῶι, ὁ μὲν δοῦλος μαστιγούσθω ὑπὸ τῶν ἱερῶν, ὁ δὲ ἐλεύθερος ἀποτεισάτω, ὅσον κα οἱ ἱεροὶ ἐπικρίνωντι· ὁ δὲ ἐπιτυχὼν ἀγέτω αὐτοὺς ἐπὶ τοὺς ἱεροὺς καὶ λαμβανέτω τὸ ἥμισυ. § 16 φύγιμον εἶμεν τοῖς δούλοις. τοῖς δούλοις φύγιμον ἔστω τὸ ἱερόν, καθὼς ἂν οἱ ἱεροὶ | ἀποδείξωντι τὸν τόπον, καὶ μηθεὶς ὑποδεχέσθω τοὺς δραπέτας μηδὲ σιτοδοτείτω μηδὲ ἔργα παρεχέτω· ὁ δὲ ποιῶν παρὰ τὰ γεγραμ|μένα ὑπόδικος ἔστω τῶι κυρίωι τᾶς τοῦ σώματος ἀξίας διπλασίας καὶ ἐπιτιμίου δραχμᾶν πεντακοσιᾶν· ὁ δὲ ἱερεὺς ἐπικρινέ|τω περὶ τῶν δραπετικῶν, ὅσοι κα ἦνται ἐκ τᾶς ἁμετέρας πόλεος, καὶ ὅσους κα κατακρίνει, παραδότω τοῖς κυρίοις· ἂν δὲ μὴ παραδιδῷ, ἐξέσ|τω τῶι κυρίωι ἀποτρέχειν ἔχοντι. § 17 περὶ τᾶς κράνας. τᾶς δὲ κράνας τᾶς ὠνο⟨ι⟩-

μασμένας διὰ τῶν ἀρχαίων ἐγγράφων Ἅγνας καὶ τοῦ γε[γε]νημένου ποτὶ τᾶι κράναι ἀγάλματος τὰν ἐπιμέλειαν ἐχέτω Μνασίστρατος, ἕως ἂν ζεῖ, καὶ μετεχέτω μετὰ τῶν ἱερῶν τᾶν τε θυσι|ᾶν καὶ τῶν μυστηρίων, καὶ ὅσα κα οἱ θύοντες ποτὶ τᾶι κράναι τραπεζῶντι, καὶ τῶν θυμάτων τὰ δέρματα λαμβανέτω Μνασίστρατος· | τῶν τε διαφόρων, ὅσα κα οἱ θύοντες ποτὶ τᾶι κράναι προτίθηντι ἢ εἰς τὸν θησαυρόν, ὅταν κατασκευασθεῖ, ἐμβάλωντι, λαμβανέτω Μνα|σίστρατος τὸ τρίτον μέρος· τὰ δὲ δύο μέρη, καὶ ἄν τι ἀνάθεμα ὑπὸ τῶν θυσιαζόντων ἀνατιθῆται, ἱερὰ ἔστω τῶν θεῶν. ὁ δὲ ἱερεὺς καὶ οἱ ἱε|ροὶ ἐπιμέλειαν ἐχόντω, ὅπως ἀπὸ τῶν διαφόρων ἀναθέματα κατασκευάζηται τοῖς θεοῖς, ἃ ἂν τοῖς συνέδροις δόξει. § 18 θησαυρῶν κατασκευ[ᾶ]ς. οἱ ἱεροὶ οἱ κατεσταμένοι ἐν τῶι πέμπτωι καὶ πεντηκοστῶι ἔτει ἐπιμέλειαν ἐχόντω μετὰ τοῦ ἀρχιτέκτονος, ὅπως κατασκευάσ|[θ]ηντι θησαυροὶ λίθινοι δύο κλαικτοί, καὶ χωραξάντω τὸν μὲν ἕνα εἰς τὸν ναὸν τῶν Μεγάλων Θεῶν, τὸν δ' ἄλλον ποτὶ τᾶι κράναι, ἐν ὧι ἂν τόπ|ωι δοκεῖ αὐτοῖς ἀσφαλῶς ἕξειν· καὶ ἐπιθέντω κλᾶικας, καὶ τοῦ μὲν παρὰ τᾶι κράναι ἐχέτω τὰν ἁτέραν κλᾶικα Μνασίστρατος, τὰν δὲ ἄλ|λαν οἱ ἱεροί, τοῦ δὲ ἐν τῶι ναῶι ἐχόντω τὰν κλᾶικα οἱ ἱεροί, καὶ ἀνοιγόντω κατ' ἐνιαυτὸν τοῖς μυστηρίοις καὶ τὸ ἐξαριθμηθὲν διάφορον ἐ[ξ] | ἑκατέρου τοῦ θησαυροῦ χωρὶς γράψαντες ἀνενεγκάντω· ἀποδόντω δὲ καὶ Μνασιστράτωι τὸ γινόμενον αὐ[τῶι] διάφορον, καθὼς ἐν τ[ῶι] διαγράμματι γέγραπται. § 19 ἱεροῦ δείπνου. οἱ ἱεροὶ ἀπὸ τῶν θυμάτων τῶν ἀγομένων ἐν τᾶι πομπᾶι ἀφελόντες ἀφ' ἑκάστου τὰ νόμι[μα] | τοῖς θεοῖς [τὰ λοι]πὰ κρέα καταχρησάσθωσαν εἰς τὸ ἱερὸν δεῖπνον μετὰ τᾶν ἱερᾶν καὶ παρθένων, καὶ παραλαβόντω τόν τε ἱερῆ | [καὶ τὰ]ν ἱέρεαν κ[αὶ τὰ]ν ἱέρεαν τοῦ Καρνείου καὶ Μνασίστρατον καὶ τὰν γυναῖκά τε καὶ τὰς γενεὰς αὐτοῦ καὶ τῶν τεχνιτᾶν τοὺς λει|[το]υ[ργή]σαντας [ἐν τα]ῖς χορείαις καὶ τᾶν ὑπηρεσιᾶν τοὺς λειτουργοῦντας αὐτοῖς· καὶ εἰς τὰ λοιπὰ δαπανάματα μὴ πλεῖον ἀνάλωμα | [π]οιοῦντες δραχμᾶν . . . . (*vacare videtur*). § 20 ἀγορᾶς. οἱ ἱεροὶ τόπον ἀποδειξάντω, ἐν ὧι πραθήσεται πάντα. ὁ δὲ ἀγορανόμος ὁ ἐπὶ πόλεος ἐπι⟨επι⟩μέλειαν ἐχέτω, ὅπως οἱ πωλοῦντες ἄδολα καὶ καθαρὰ πωλοῦντι καὶ χρῶνται σταθμοῖς καὶ μέτροις συμφώνοις ποτὶ τὰ δαμόσια, καὶ | μὴ τασσέτω μή[τ]ε πόσου δεῖ πωλεῖν, μηδὲ καιρὸν τασσέτω, μηδὲ πρασσέτω μηθεὶς τοὺς πωλοῦντας τοῦ τόπου μηθέν· τοὺς δὲ μὴ πω|λοῦντας καθὼς γέγραπται, τοὺς μὲν δούλους μαστιγούτω, τοὺς δὲ ἐλευθέρους ζαμιούτω εἴκοσι δραχμαῖς· καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱε|[ρῶν] (*vac.*). § 21 ὕδατος. ἐχέτω δὲ ἐπιμέλειαν ὁ ἀγορανόμος καὶ περὶ τοῦ ὕδατος, ὅπως κατὰ τὸν τᾶς παναγύριος χρόνον μηθεὶς

κακοποιεῖ μήτε | [τὸ β]ήλημα μήτε τοὺς ὀχετοὺς μήτε ἄν τι ἄλλο κατασκευασθεῖ ἐν τῶι ἱερῶι χάριν τοῦ ὕδατος, καὶ ὅπως, καθὼς ἂν μερισθεῖ, ῥεῖ τὸ ὕδωρ, καὶ μη[θ]ε[ὶς ἀ]ποκωλύει τοὺς χρωμένους. ἂν δέ τινα λαμβάνει ποιοῦντά τι τῶν κεκωλυμένων, τὸν μὲν δοῦλον μαστιγούτω, τὸν δὲ ἐλεύθερον | [ζαμιούτω] εἴκοσι δραχμαῖς· καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱερῶν. § 22 ἀλείμματος καὶ λουτροῦ. ὁ ἀγορανόμος ἐπιμέλειαν ἐχέτω, ὅπως οἱ θέλοντες | [βαλανεύε]ιν ἐν τῶι ἱερῶι μὴ πλεῖον πράσσωντι τοὺς λουομένους δύο χαλκῶν καὶ παρέχωντι πῦρ καὶ μάκραν εὔκρατον καὶ τοῖς κατακλυ|[ζομένοις ὕ]δωρ εὔκρατον, καὶ ὅπως ὁ ἐγδεξάμενος τῶν ξύλων τὰν παροχὰν εἰς τὸ ἀλειπτήριον παρέχει ξύλα ξηρὰ καὶ ἱκανὰ τοῖς ἀλει|[φομένοις] κατ' ἁμέραν ἀπὸ τετάρτας ὥρας ἕως ἑβδόμας. δοῦλος δὲ μηθεὶς ἀλειφέσθω. οἱ δὲ ἱεροὶ ἐγδιδό⟨ι⟩ντω τὰν παροχὰν τῶν ξύλ[ω]ν [τῶν εἰς τ]ὸ ἀλειπτήριον. ἂν δέ τις τῶν ἐγδεξαμένων ἢ τῶν βαλανέων μὴ ποιεῖ καθὼς γέγραπται, τὸν μὲν δοῦλον μαστιγούτω ὁ ἀγορανό|[μος, τ]ὸν δὲ ἐλεύθ(ε)ρον ζαμιούτω καθ' ἕκαστον ἀδίκημα εἴκοσι δραχμαῖς· καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱερῶν. § 23 συνέσιος ἀναφορᾶς. οἱ ἱε|[ροὶ ὅ]σα κα διοικήσωντι ἐν τᾶι παναγύρει ἢ κατακρίνωντί τινας, σύνεσιν ἀνενεγκάντω εἰς τὸ πρυτανεῖον· ἀναγραψάντω δὲ καὶ | [εἰς τ]ὸν οἶκον τὸν ἐν τῶι ἱερῶι οὓς ἂν κατακρίνωντι καὶ ἐπὶ ποίωι ἀδικήματι. § 24 ἀντίγραφον ἔχειν τοῦ διαγράμματος. οἱ κατεσταμέ|[νοι ὥ]στε γράψαι τὸ διάγραμμα, καθὼς ἂν δοκιμασθεῖ, δόντω τοῖς νομοδείκταις ἀντίγραφον· οἱ δὲ λαβόντες ἐπιδεικνυόντω τῶι [χρε]ίαν ἔχοντι. καὶ ἐν τοῖς μυστηρίοις συνλειτουργούντω τοῖς ἱεροῖς καὶ ὁ κᾶρυξ καὶ αὐλητὰς καὶ μάντις καὶ ἀρχιτέκτων. § 25 [τᾶς κατα]στάσιος τῶν δέκα. οἱ δαμιοργοὶ τοῦ ἕκτου μηνὸς τᾶι δωδεκάται, πρὸ τοῦ τὸν κ(λᾶ)ρον τῶν ἱερῶν | [κ]αὶ τᾶν ἱερᾶν γί|νεσθαι, ἀποδόντ[ω] | τῶι δάμωι χειροτονίαν, ὅπως καταστά|σει ἐκ πάντων τῶν | πολιτᾶν δέκα, μὴ | νεωτέρους ἐτῶν | τεσσαράκοντα μη[δ]ὲ δὶς τοὺς αὐτοὺς τ|[ό]ν γ' ἰὸν ἐνιαυτόν. π[ο|τ]εισφερόντω δὲ οἵ τε | ἄρχοντες καὶ τῶν | ἄλλων ὁ θέλων, εἰςφέροντες ἐξ ὧν γέ|γραπται τοὺς ἱεροὺς | κλαροῦσθαι· τοὺς δὲ | κατασταθέντας ὁ[ρ]|κιξάτω ὁ γραμματεὺς τῶν συνέδρων τὸν | ὅρκον, ὃν οἱ ἱεροὶ ὀμν[ύ]|οντι. ἐχόντω δὲ οἱ κα|τασταθέντες ἐπι|μέλειαν περὶ πάντων, ὧν δεῖ ἐν τοῖς μυσ|τηρίοις συντελεῖσ|θαι, καὶ φροντιζόντω, | ὅσων χρεία ἐστὶ εἰς | τὸ ἐπιτελεῖσθαι τὰ μυστήρια. προγρα|φόντω δὲ ἐκ τῶν ἱε|ρῶν καὶ ῥαβδοφόρους | τοὺς εὐθετωτάτους, | ὁμοίως δὲ καὶ μυσταγωγούς. τοὺς δὲ συν|λειτουργήσοντας | μετὰ Μνασιστρά|[τ]ου προγραφόντω, ἄν | [τ]ινας εὑρίσκωντι εὐθέτους ὑπάρχοντας | καὶ τῶν μὴ ὄντων ἱε|ρῶν. καὶ οἱ

προγραφέν|τες πειθαρχούντω | καὶ ἐπιτελούντω, ὃ ἂν προγράφηντι· τὸν δὲ | μὴ ποιοῦντα κατακρι|νάντω εἴκοσι δρα|[χ]μαῖς καὶ ἐγγραψάν|τω εἰς τοὺς πολεμάρχους. οἱ δὲ ῥαβδοφόροι | μαστιγούντω, οὕς κα | οἱ δέκα κελεύωντι. οἱ δὲ κατασταθέν|τες δέκα κρινόντω [τ]ὰ κ[ρίμα]τα [πάντα]. | ἂ[ν δὲ χρεία εἶ πε]|ρί τινος διαβούλιον [γί]|νεσθαι, συναγόντω | οἱ δέκα πάντες τοὺς ἱερούς καὶ καθὼς τοῖς | πλειόνοις δόξαι, ἐπιτε|λείσθω. φορούντω δὲ οἱ | δέκα ἐν τοῖς μυστηρί|οις στρόφιον πορφύριον. § 26 *ἀγράφων. εἰ δέ τινα | ἄγραφά ἐστι ἐν τῷ δι|αγράμματι ποτὶ τὰν | τῶν μυστηρίων καὶ | τᾶν θυσιᾶν συντέλειαν, βουλευέσθωσαν οἱ | σύνεδροι, μὴ μετακι|νοῦντες ἐπὶ καταλ[ύ]|σει τῶν μυστηρίων μ[η]|θὲν τῶν κατὰ τὸ διάγραμμα· εἰ δὲ μή, τὸ | γραφὲν ἀτελὲς ἔστω· | τὸ δὲ διάγραμμα κύρι|ον ἔστω εἰς πάντα τὸν | χρόνον.*

Cf. tit. Argivum nr. 94. Signa paragraphorum e LS sumpta. De terminatione III decl. *-οις* (vss. 5. 11. 41. 47. 48. 71. 175) cf. ad nr. 23. — vs. 10: annus LV inde ab a. 146ª (S). 17 sqq. *καλάσηρις*: *καλάσιρις* = *Ἐσις*: *Ἶσις*; cf. ad nr. 749. 20 *καὶ* Le Bas, *ἢ* DS, IG. 22 *ψιμ.*: cf. *ψημ.* nr. 429. 23 *εὐσυΐνους* = *οἰσ.*; cf. Brugmann LpzBer 53, 92, 1. 28 *ἁγείστω*: de *στ* cf. Thumb IF 31, 227. 30 *ἁ θοιν. ἁ εἰς Δ.* scil. *θοίναν* (DI). 35 *δέρρις* vox Attica. *αὐλεία* i. e. *-αία*; cf. ad nr. 62, 101. 39, 100 *συντελεῖται, πωλοῦντι*: loco coni. in *-ῆται, -ῶντι* (DI). 50 *καί τι ἂν* errore ut videtur pro *καὶ ἄν τι* P. Wahrmann BphW 1913, 1144; *καἴ* (i. e. *καὶ εἰ* vel *αἰ*) *τι ἂν* Wackernagel, Über einige antike Anredeformen (Gött. 1912, 28 sq.; cf. Hermann Nb. 273. 60 *ἀναχρ.* defendit Wilh. ÖJ 17, 32 sq. 73 *χοριτείας* errore pro *χορείας* (vs. 98) propter *τεχνιτᾶν* (S.); sed cf. KZ 50, 295. 78 *ὑπόδ. ποτί· ὡς ἀγώγιμος πρός* Be Ae p. 43, 1. 83 *ἦνται* Sauppe alii. 97 verba *καὶ τὰν ἱ.* errore repetita (S.); cf. LS 2 p. 181. 98 *τ. ὑπηρεσιᾶν* i. e. apparitorum Ern. Fraenkel MSL 19, 23. 104 . . . *Πλημα* dilucide (IG). 111. 24 (ε), (ς) desunt in l. 116 *κ|λᾶ|ρον* i. e. *κλήρωσιν* (Wilh. IG et WienBer 175, 1, 24 sq.); *καιρόν* l. 126 *τόν γ' ἰόν* DI. 174 *πάντες* acc. DS. 181 *τῷ* IG; cf. *Αἰγίλᾳ* 31.

---

75 Cyparissiae. Tabula marmorea. IV vel III. — Decretum de quinquagesima mercatoribus imposita. — Colin BH 21, 574/6. DS 936 ³952. Rij 34. DI IV p. 757, 44. Bleckm. 57 IG V 1, 1421.

[Θε]ός. | ε[ἴ] τίς κα ἐξάγῃ εἰς τὰν τῶν Κυπαρισσιέ|ων χώραν, ἐπεί κα ἐξέληται τὰ ἐμπόρια, ἀπ[ο]|γραψάσθω ποτὶ τοὺς πεντηκοστολόγ[ου]ς καὶ καταβαλέτω τὰμ πεντηκοστὰν π[ρὶ]|ν ἀνάγειν τι ἢ πωλεῖν· εἰ δὲ μή, ἀποτεισά|τω δεκαπλόαν· ὅτι δέ τίς κα ἐξάγῃ κατὰ | θάλασσαν, ἀπογραψάμενος ποτὶ τοὺς | πεντηκοστολόγους καὶ καταβαλὼν τὰν πεντηκοστάν, ἀντιθέσθω, παρακαλέ|σας τὸμ πεντηκοστολόγον, πρόσθεν | δὲ μὴ ἀντιθέσθω· εἰ δὲ μή, ἀποτεισάτω | δεκαπλόαν τὰν πεντηκοστὰν κατ[ὰ τ|ὰ]ν σύγγραφον· εἰ δέ τίς κα ὀλιγοτιμάσῃ [ἐπ]ικαθιξεῖται ὁ πεντηκοστολόγο[ς, | ὧν κα] χρήζῃ κατὰ τὰν σύγγραφο[ν].

76 Pyli. Stelae. IV. — DI 4684/5 (sec. *Πετρίδην*). IG V 1, 1419. 1418.
1) *Χαρτέλε̄ς*. — 2) *Ἐπειõ*.

Χαρτέλες i. e. *Χαρτοτέλης* Be hPN 469. Ad 2. ‚Cum genitivus non iam intelligeretur, additum est Σ, ut nominativus fieret (— *O*: Σ)‘. IG.

76g Glossae selectae ex aliis titulis Messeniis.

(τῆς) ἄκρεως (ἡμῶν) IG V 1, 1370, 6 (I, Calamis). *(πῶς δεήσει τὰν) καταγόραξιν (γίνεσθαι)* 1379, 22 (I/II, Thuriae). *(ἐν ταῖς) μαστρείαις* 1433, 15 (I, Messenae). *τριτίρενες* 1386, 2 (II, Thuriae). *χαλειδοφόρος* 1468/9 (I/IIp, Messenae); e tit. 1447 (ante 191, Messenae): *(τέλεον χοιρίον) ἔρσεν, (τᾶι) προστατίναι, γληνίς, (ἐ̄ξ) καδδίχο̄ς, (τῶι) κλαικοφόρωι* (vel *Κλ-*), *(τὸμ) παλόν*.

Specimina nominum fundorum Messeniorum s. I *Πρωταίωι, Ποικιλίαις, Σελλᾶντι, Φαγεινείοις, Ἀλεπακιδαίοις, Τρικαράνοις* IG V 1, 1434 (cf. Wilh. ÖJ 17, 118 sq).

III. Tituli Argolici et Aeginetici (nr. 77—120).

1. Tituli Argolici (nr. 77—110).

a) Tituli originis incertae (nr. 77. 78).

77 Vas aeneum (*βομβυλιός*). sin. VI. — Dedicatio. — Post editorem Francogallum IG V 1, 231. Ge 21.

Χαλϙοδάμανς με ἀνέθε̄κε θυιοῖν περικαλλὲς ἄγαλμα.

‚Et litteratura et dialectus Argivam vasis originem ostendunt manifesto‘ Wil. (IG). Ad *θυιοῖν* cf. *h]άλυιος γέρο̄ν* DI 3261 (Argivorum Olympiae), *ἐξπρυια[-, α]ἰ δὲ με̄ δαμιιο[ρ]γοῖ τις* IG IV 506, 5. 6 (Heraei), *Θαμόφιλος* (cf. Be hPN 197. 508) *με ἀνέθε̄κε τᾶι Ἥραι: τᾶς Καρνειιας* (scil. victoriae causa) de Cou apud Waldstein, The Argive Heraeum 2 (1905), 336 nr. 1877 (discus aeneus), *Εὐδάμα(α)ς ⋮ με ἀνέθε̄κε ⋮ ἐ Σικελίιας* (= *ἐκ Σ.*) ib. 338 nr. 2252.

78 Lamina aenea olim Romae in collectione comitis Tyskiewicz, nunc Rotomagi in collectione Dutuit. VI/V. — Decretum de opibus Minervae. — Froehner RA 18 (1891), 50/5. Th Reinach Régr 4, 171/3. Blass JbbPh 143, 559 sq. Peppmüller WklPh 1891, 860/2. Robert MA 1, 593/600. R. Meister IF 1 Anz 200/3 Danielsson Eranos 1, 28/37. Im 39. Mi 583. IG IV 554. So 21. Bu 78. Cf. v. Wilamowitz Eur. Her.[2] 2, 103. Res similis apud Thuc. VIII 15.

[θ]ε̄σαυρõν [⋮ τõν] ⋮ τᾶς ⋮ Ἀθαναίας ⋮ αἴ τιστις ⋮ | [ἒ τὰ]ν βõλὰν ⋮ τ[ὰν] ἀνφ' Ἀρίσστõνα ⋮ ἒ τὸν(ς) συναρτύοντας | [ἒ ἄ]λλον τινὰ ταμίαν εὐθύνοι ⋮ τέλος ἔχõν : ἒ δικάσ|[ζοι] ἒ δικάσζοιτο, ⋮ τõν γρασσμάτõν ⋮ hένεκα τᾶς ⋮ κατα|θέσιος ⋮ ἒ τᾶς ἀλιάσσιος ⋮ τρε̄́τõ καὶ δαμευέσσθõ ⋮ ἐνς | Ἀθαναίαν. ⋮ hα δὲ βõλὰ ποτελάτõ ⋮ hἀντιτυχόνσα· ⋮ αἰ | δέ κα με̄́, ⋮ αὐτοὶ ⋮ ἔνοχοι ἔντõ ⋮ ἐνς Ἀθαναίαν.

Frickenhaus et W. Müller AM 36, 30 adn. 1 titulum e *Λιγουριό* (loco Lessae veteris) oriundum esse censent, Rob. Argis attribuerat, cum qui vendiderat, ex Hermione oriundum esse dixisset. vs. 1 an (Reinach, alii) *τις* ⟨*τις*⟩? 3 sq. *δικ.* OvFriesen (Dan.). IG, *δικασ*[*ζο̄ν*] Rob.

b) Tituli Argorum, Heraei, Mycenarum (nr. 79—99).

De litteratura cf. Kirchh. A. 97/101.

79 [2 = ²α 48] Argis aut ex vicinia. — Dedicationes. — 1) Parva basis aenea in museo Berolinensi. sin. — Fränkel AZ 40, 383/6. DI 3262. Im 36. Rob 72. 82a. IG IV 564. — 2) Rota aenea. — BritM 138. Im 40. DI 3274. IG IV 566.

1) *το̃ν Ϝανάϙο̄|ν ⋮ τοὶ Νιρ|άχα ⋮ ἀνέθ|εν.* — 2) *τοῖ(ϝ) Ϝανάκοι(ν) ⋮ ἐμί ⋮ Εὔδ[αμο vel ιϙο]ς ⋮ ἀνέθε̄κε.*

2 *τ. ϝ.*: cf. W. Schulze quaest. epp. 60, 1. Hoffmann BB 14, 272. (*ν*) deest.

80 [²49. 54. 55] Olympiae. V. — Dedicatio (1) et titt. artificum (2. 3).

1) Galea aenea a. 1795 in Alpheo reperta. — *Classical Journal 1, 328. CIG 29. Im 36. BritM 137. E 746. DI 3263. IvO 250. Mi 1087. Hicks 31. Bu 80.

τά(ρ)γ[εῖ]οι ἀνέθεν το̃ι Διϝὶ το̃ν ϙορινθόθεν. — (*ρ*): *φ*.

2) Basis marmorea. — E. Curtius AZ 36, 181 sq. Im 40. Rob 80. DI 3270. IvO 630. Ge 72.

ξυνὸν ⋮ Ἀθανοδόρο̄ τε | καὶ Ἀσο̄ποδόρο̄ τόδε Ϝέργον· |
χο̄̓ μὲν Ἀχαιός ⋮ ho δ' ἐξ Ἄργεος | εὐρυχόρο̄.

3) Basis marmorea. — E. Curtius AZ 33, 181, 2. Im 40. Rob 81. DI 3271. IvO 631. So 22. Bu 79.

Ἄτο̄τος ⋮ ἐποίϝε̄hε ⋮ Ἀργεῖος | κἀργειάδας ⋮ Hαγελάιδα ⋮ τἀργείο̄.

Ἄτωτος nomen Paphlagonicum (IvO). Argeades est Hageladae f. Argei n. (IvO; cf. Frickenhaus AJb 26, 29); de altera sententia cf. Kaerst Hell. 1², 165.

81 Delphis. In hemicyclio epigonorum. ca. 482 (DS). — Dedicatio. — Homolle BH 21, 301 (401). FdD III 1, 90. DS³ 28.

Ἀργεῖ|οι ἀνέθεν τἀπόλλ|ο̄νι.

82 [²50] Argis in ecclesia S. Demetrii. V. — Dedicatio. — Rose IG vet. tab. XI, 1 (e sched. Fourm). CIG 17. Im 38. Rob 78. E 936. DI 3267. IG IV 561. Ge 77.

[— ⏑⏑ — ⏑⏑ Ϝαν]|άϙο̄ν ἀνέθε̄κε. | .. ντε
Αἴσχυλλο[ς] | Θίοπος, τοῖς δαμ|οσίοις ἐν ἀέθλο|ις ⋮
τετράκι τε [σ]|πάδιον νίκε̄ κα[ὶ] | τρὶς τὸν ὁπλίτα[ν].

vs. 3 *Θίοψ* Be hPN 204. 5 *δαμοσίοις*: sed *δαμο?]hίαι* IG IV 555, 5 (Arg.), *δαμόϊοι Ἥρας* (Her.), *δαμόϊος* (Epid.) 542. 1525 (tegulae).

83 Argis. Fragmenta duo lapidis calcarii albi. *στοιχ.* ca. 450. — Foedus inter Cnosum Tylisumque civitates Cretenses per Argivos factum; cf. nr. 84. — Vollgraff BH 34, 331/54 (B). 37, 279/308 (A). DS³ 56. Cf. Nikitski žurn. min. nar. prosv. 1911, 251/66 (B); Buck ClassPh 6, 219 sq. 8, 151; Kretschmer Gl 4, 319. 7, 331 sq.

A -- *νεσε* -- | -- *ατον χο . . . . . να . .* | *[τοῖ Τυλισίο̄ι ἀδεο̄ς ἐξε̄μ]εν ξύλλεσθαι πλὰ[ν] τ|[ὰ μέρε̄ τὰ Κνο̄σίο̄ν συν]τέλλοντα ἐνς πόλιν. hότ[ι δέ κα ἐκ δυσμεν]έο̄ν hέλο̄μες συναμφότεροι, δα[σ|μο̄ι το̄ν κὰτ γ]ᾶν τὸ τρίτον μέρος ἔχεν πάντο̄ν, τ[ο̄|ν δὲ κὰτ] θάλα(σ)σαν τὰ hέμισα ἔχεν πάντο̄ν. τὰν δὲ [δ|εκ]άταν τὸνς Κνο̄σίονς ἔχεν, hότι χ' ἕλο̄μες κοι[ν|ᾶ]ι. το̄ν δὲ φαλύρο̄ν τὰ μὲν καλλ(ι)στεῖα Πυθο̄δε ἀπ[ά]γεν κοινᾶι ἀμφοτέρονς, τὰ δ' ἄλλα τοῖ Ἄ[ρει Κν]ο̄[σ]|οῖ ἀντιθέμεν κοινᾶι ἀμφοτέρονς. ἐξ[αγο̄γὰν δ' ἐ̄]|μεν Κνο̄σόθεν ἐνς Τυλισὸν κἐκ Τυλι[σο̄ Κνο̄σόνδ]|ε· α[ἰ] δὲ πέρανδε ἐξάγοι, τελίτο̄ hόσσα[περ οἱ Κν]|ό̄σιοι· τὰ δ' ἐκ Τυλισο̄ ἐξαγέσθο̄ hοπυ[ῖ κα λοίε̄. το̄]ι Ποσειδᾶνι τοῖ ἐν Ἰυτο̄ι τὸν Κνο̄σίο̄[ν ἰαρέα θύ]|εν. τᾶι Hέ̄ραι ἐν Ἑ̄ραίο̄ι θύεν βο̄ν θέλει[αν ἀμφοτ]|έρον[ς κ]οινᾶι, θύεν δὲ πρὸ ϝακινθ[ίο̄ν] . . . . | . κο . . . [κ]*

inter A et B lacuna duorum versuum.

B -- *ανον το . . . . πρ[α]|τομε̄νίαν ἄγεν κατὰ ταὐτ[ὰ] . . . . ιο ἀμ[φ]|οτέρο̄ν. χρε̄ματα δὲ με̄ 'νπιπασκέσθο̄ hο Κνό̄σιο[ς] | ἐν Τυλισο̄ι, hο δὲ Τυλίσιος ἐν Κνο̄σο̄ι hο χρέιζ[ο̄]ν. με̄δὲ χο̄ρας ἀποτάμνεσθαι με̄δατέρονς με̄δ' ἅ[π]|ανσαν ἀφαιρῖσθαι. ὄροι τᾶς γᾶς· | Hυο̄ν ὄρος καὶ Ἀ|ιετοὶ κἀρταμίτιον καὶ τὸ το̄ Ἀρχο̄ τέμενος κα[ὶ] | hο ποταμὸς κἐλ Λευκόπορον κἀγάθοια, hᾶι hύδο̄|ρ ῥεῖ το̄μβριον, καὶ Λᾶος. hῖ κα τοῖ Μαχανεῖ θύο̄μες τὸνς ϝεξέκοντα τελέονς ὄϝινς, καὶ τᾶι H(ε̄)ραι | τὸ σκέλος ϝεκάστο̄ διδόμεν το̄ θύματος. αἰ δέ συ|μπλέονες πόλιες ἐκ πολεμίο̄ν ἕλοιεν χρε̄ματα, | hοπᾶι συνγνοῖεν hοι Κνό̄σιοι καὶ τοὶ Ἀργεῖοι, | hούτο̄ ἐ̄μεν. τοῖ Ἄρει καὶ τἀφροδίται τὸν Κνό̄σιον ἰαρέα θύεν, φέρεν δὲ τὸ σκέλος ϝεκάστο̄. τὸν Ἀ|ρχὸν τὸ τέμενος ἔχεν το̄ν Ἀχάρναι. τοῖς θύονσι | ξε̄νια παρέχεν τὸνς Κνο̄σίονς, τὸνς δ' Ἀργείονς | τοῖ χοροῖ ἐν Τυλισο̄ι. αἴ κα καλε̄ι hο Κνό̄σιος πρ|εσγέαν, hέπεσθαι hοπυῖ κα δέε̄ται· καἴ χο̄ Τυλίσιος τὸν Κνό̄σιον, κατὰ ταὐτά. αἰ δὲ με̄ δοῖεν ξένι|α, βο̄λὰ ἐπαγέτο̄ ῥύτιον δέκα στατέρο̄ν αὐτίκα ἐ|πὶ κόσμος, κἐ̄ν Τυλισο̄ι κατὰ ταὐτὰ hο Κνό̄σιος. | hα στάλα ἕσστα ἐπὶ Μελάντα βασιλέος. ἀϝρέτευ|ε Λυκο̄τάδας Hυλλεύς.* (*verba sequentia altera manu exarata.*) *ἁλιαίαι ἔδοξε τᾶι το̄ν ἰαρο̄ν. ἀ(ϝρέτευε) βο̄λᾶς Ἀρχίστρατος Λυκοφρονίδας.* | *τοὶ Τυλίσιοι ποὶ τὰν στάλαν ποιγραψάνσθο̄ τάδε·* | *αἴ τις ἀφικνοῖτο Τυλισίο̄ν ἐνς Ἄργος, κατὰ ταὐτά* | *σφιν ἔστο̄ hᾶιπερ Κνο̄σίοις.*

Servata sunt aliquot vestigia dialecti Creticae, qua exemplar foederis scriptum erat: B 13 *hοι* (aliis locis *τοί*), 22 *κόσμος* (loco *-ονς*). Argivum est *ϝ* inter vocales positum: *ὄϝινς* B 10. A 9 *καλλ.*: cf. Radermacher BphW 1917, 28/30; (*ι*) deest in l. 12 *Τυλισόν*: an *Τύλισον* (nomen loci hodie est *Τύλισος*)? 13 *τελίτω*: cf. B 6 *ἀφαιρῖσθαι*, 9 *hῖ* (i. e. *εἶ* Buck). 15 *ἐν Ἰυτο̄ι*: hodie *Ἰούχτας* (prope *Ἀχράνες*). 16 *Ἑρ.*: mensis; ad *Ἑ.* cf. B 12 *ἕλοιεν*. 17 *πρὸ ϝακ.*: pridie ferias Hyacinthiorum. B 4 *ho χρ.* cum sententia praecedente iunxerunt Homolle, Nik., Wilh. (ÖJ 14, 207), Buck. 6 *ὅροι*: cf. *ὥρω* [*δύο*], *τῶν ὥρων*, *ἄλλος ὧρος*, *τὸν ὧρον* in tit. Argivo a. 369 aut 368, in quo aspiratio plurimis locis notata est (ed. Vollgraff Mn 42, 330/53); *ὅρος ⁝ Ηε|λλο̄τίο̄* V Argis (Vollgraff Mn 47, 162). 6. 7 *Ὑο̃ν*, *Ἀρχο̃* DS. 8 *κελ Λ.* i. e. *καὶ ἐνς Λ.* Buck. 8 sq. cf. ,als der snê herin smilzet' Züricher Urkundenbuch 11, 413. 9 *Μαχανεῖ* cf. DS 594 adn. 19 et ad nr. 136. 10 *Η(ε)ρ.*: *Η = hε* (DS); cf. nr. 438, 1. 19 *καἴ χο* i. e. *καὶ αἴ κα ὁ* (Nik.). 22 *ἐπὶ κόσμος*: Homolle, Nik., Wilh. (l. c. 198. 207). 23 *ἕσστα· ἐστάθη*. 24 *Μελάντα*: cf. Paus. II 19, 2(?). 25 *ἀ(ϝρ.)*: cf. ad nr. 96, 1. 27 *ποιγρ.*: cf. Buck. — Paene omnia e BH.

De rebus huius tituli similiumque cf. praeter alios Raeder, L'arbitrage international chez les Hellènes. Kristiania 1913; Tod, International Arbitration amongst the Greeks. Oxford 1913, ad quos libros hoc loco rettulisse satis habeo.

---

84 Tylisi. Lapis porus. *στοιχ.* ca. 450. — Foedus Cnosiorum et Tylisiorum Argivis mediantibus ictum; cf. nr. 83. — *Ἰ. Χατζιδάκις* EA 1914, 94/8.

(A) . . . . *παρ]εχόντο̄ τοὶ πα|[ρέντες τούτ]ο̄ν, [δ]έρματα δὲ φ|[ερέσθο̄ν οἱ Κν]ο̄hιοι πρὸτ' αὐ|τὸς . . . . ν ἐν Τυλισο̃ι ϝ[. . . . . ἑμί]ναν δὲ καὶ δι | [. . . . . σ]πονδὰς δὲ νεο̄τ|[έρας μὲ̄ τ]ίθεσθαι με̄δατέρο|[νς, αἰ μ]ὲ̄ συνδοκοῖ τõι πλέ̄θε|[ι, συνβ]άλλεσθαι δὲ τὰν τρίτ[αν αἶσ]αν τὸς Ἀργείος τᾶν ψά|[φο̄ν. ὅκα] τινὰς το̃ν εὐμενέο̄ν* (B) *δυσμενέας τιθείμεθα καὶ τ|ο̃ν δυσμενέο̄ν εὐμενέας, μὲ̄ θ|έσθαι, αἰ μὲ̄ συνδοκοῖ τõι πλέ̄θει· συνβάλλεσθαι δὲ τὸνς | ἐκ Τυλισο̃ τᾶν ψάφο̄ν τὰν τρί|ταν αἶσαν. αἰ δὲ μάχα γένοιτ|ο μὲ̄ παρέντο̄ν το̃ν ἁτέρο̄ν, σπ|ονδὰνς θέσθο̄ν τοὶ δεόμενοι πέντε ἀμέρανς. αἰ στρατήα | ἐνς[είε̄ι] ἐ̄[ν]ς τὰν γᾶν τὰν Κνο̄|hίαν, [Τυλισίονς] ὀφέ̄λεν παντ|*(C)*ὶ σθένει - - | παρεχον - - [το]ς Ἀργείο[ς - - Ἀργ]|εῖοι τοι - -|ι ἐν στρα-[τείαι - ἀμέ]|ρανς· αἰ δ[ὲ - -]|ιμεν τὰν - - [ὅ]ς κ' ἐν Τυλισ[õι - -]|εκα ϝαρθ[μιος - συνε]|πάγεσθα[ι - -]|να αἴ κεν θ -*

Pauca correxit *Α. Χ. Χατζῆς* EA 1915, 32. vs. 20 *στρατΗα* l. 21 *ἐνς.*: cf. ad nr. 179 V 36.

---

85 [[2]58] Smyrnae. Stela. Post 338. — Arbitrium Argivorum inter Cimolios et Melios. — Le Bas RA 11, 577 sq. et Voy. III 1. DI 3277. Mi 14. Hicks 150. IG XII 3, 1259. DS 428 [3]261. Bu 81. NachmG 50. Cf. Kirchh. A. 100. Buck ClassPh 8, 151. Vollgraff Mn 43, 383 sq. 44, 61/4.

θεός. | *ἔκρινε ὁ δᾶμος ὁ τῶν* | *Ἀργείων κατὰ τὸ δόκη|μα τοῦ συνεδρίου τῶν Ἑλλάνων, ὁμολογη|σάντων Μαλίων καὶ* | *Κιμωλίων*

ἐμμενὲν ἆι κα | δικάσσαιεν τοὶ | Ἀργεῖοι περὶ τᾶν [ν]άσων, Κιμωλίων | ἦμεν Πολύαιγαν, Ἑτήι|ρειαν, Λίβειαν. ἐδί|κασσαν νικῆν Κιμωλ[ί|ο]υς. ἀρήτευε Λέων [β]ωλ[ᾶ]ς σευτέρας Ποσίδα|ον· γρο[φ]εὺς βωλᾶς Πέριλ|λος Πεδίον.

vs. 4 *συνεδρ.*: concilium a Philippo Amyntae f. a. 338 constitutum (DS). 15 sqq. *ἀρ. Λέων· βωλᾶς ⟨ς⟩ Εὐτέρας κτλ.* Vollgr.: *Ποσ.*, *Πεδ.* nomina pagorum (cf. nr. 91 sq.); ‚primum locum tenet totius rei publicae vel summi magistratuum collegii praeses, cuius *φάτρα* non memoratur, secundum praeses consilii'; ante [*β*]*ωλ.* fuerit A (aut AP, APH — in *Μκβ* 1873 *ΗΞ*); *βουλᾶς σευτέρας* (i. e. *δ.*; de re Wilh. Beitr. 119)· *Ποσιδάōν γρ. β.*, *Π. πεδιōν* (i. e. *μετεών* qui adest, assessor, sec. Hoffmann) priores; defenderunt hanc totam lectionem Kretschmer Gl 10, 220, *βωλ. σευτ.* Hiller v. Gaertr. BerlBer 1919, 660.

---

86 Nemeae prope templum. Duo fragmenta lapidis calcarii. IV/III. — Dedicatio. — Cousin et Dürrbach BH 9, 349 sq. DI 3282 (= Mi 1065). 3319. IG IV 487. 488, fragmenta componenda esse statuerunt Frickenhaus et W. Müller AM 36, 28.

το]ὶ Ἀργεῖοι ἀνέθεν [τῶι Δὶ ἀπα]ρχάν· | ἴλαρχος ἐπιλέκτας Φιλ[αν]δρί(δ)ας Ὑλλέων[-], | ἰλάρχω Πεδάκριτος Κλεοσθένης Πανφυλᾶ[ν -], | ἰλάρχω Φιλέας Ὀλυμπιάδας Ὑρναθίων κυ[. -], | ἰλάρχω Δεξίστρατος (vacat).

vs. 2 (*δ*): *λ* l.; corr. Wilhelm AM 39, 183. — 4 (et 2. 3) in fine fortasse [*φ*]*υλ*[*ᾶς*]; post *Δεξ.* (vs. 5) nihil scriptum est (AM).

---

87 [²56] Argis. Anaglyphum lapidis calcarii in museo Berolinensi. — Dedicatio. — Le Bas RA 2, 691. Im 40. DI 3276. IG IV 567.

Πολυστράτα ἀνέθη|κε.

---

88 [²57] Argis. Basis marmorea. — Dedicatio. — Le Bas II 109 a. DI 3283. IG IV 577.

Προτίων | Ἀρτάμι.

---

89 Argis. Stela lapidis calcarii candidi fracta in tres partes. III. — Dedicatio aedificiorum sacrorum ad oraculum Apollinis Pythaei pertinentium. — Vollgraff BH 27, 270/7; 33, 171/5; 37, 308. Bu 82.

θεός. προμάντιες ἀνέθεν | Ἀπόλλωνι Ἀρισ[τ]εὺς Σφυρή|δας, Φιλοκράτης Ναυπλιά|δας, γροφέ[ες] Αἰσχύλος Ἀραχνάδας, Τρυγῆς Αἰθωνίδας καὶ κα|τεσκεύασσαν καὶ ἥσσαντο | ἐκ μαντήας γᾶς ὀμφαλὸν καὶ τ[ὰ]|ν περίστα[ί]ν καὶ τὸ φάργμα καὶ τὸν | βωμὸν προ[ά]γ[αγ]ον ποτ' ἀ[ϝ]ῶ καὶ πέτρινον ῥό[ο]ν καὶ τὰν α . χμ . ραν | ὑπὲρ αὐτοῦ καὶ θηαυρὸν ἐν τῶι μαν|τήωι κατεσκεύασσαν τοῖς πελα|νοῖς κλαικτὸν καὶ τὰν ὁδὸν ἠργάσ|σαντο ἅπανσαν καὶ ὀφρύαν πεδ' ἰαρὸν καὶ

τὰν ἐπιπολὰν καὶ τὸνς μ . .|νονς ἐνς τάξιν πεδάγαγον καὶ τ[ὸν]|ς κολοσσὸνς καὶ τὰν ἐπιπολὰν ὡ[μά]|λιξαν καὶ τοῖχον [π]έτρινον πὰρ τὸν | . . . λ . . ἔθεν καὶ τὰν[ς] θ[ύρα]νς τοῦ ναοῦ ὠχύρωσ̔ἀν κ[αὶ] λοπίδας καὶ ἐπιχύ|[τ]αν ἀργύρεα ἔθεν καὶ θηαὑρὸν ἐνςε|[π]ο[ή]ἁντο καὶ τὸν σ . . . αιον ὀφρύα ὑ̔πε| - - [καὶ] τὸ . . . . ον ὡ̔[μ]άλιξαν ἐν νο| - - ς καὶ δένδ[ρα] - - ἔφυσα[ν] - - αμο-

vss. 2 sqq. *Σφυρήδας, Ναυπλ.* etc.: ‚*φατρᾶν*‘ (cf. nr. 90) nomina; adhuc nota sunt nomina *φ.* Argivarum *Αἰθαλέες Αἰθωνίδαι Ἀμφιαρητεῖδαι* (Bechtel KZ 45, 58) *Ἀναιτίδαι Ἀραχνάδαι Ἀρκεῖδαι Δαϊφοντέες Δαμοιτάδαι Διϝωνυσιάδαι Δμαἰππίδαι Δωριάδαι ϝανίδαι* (Bechtel ib. 46, 374) *Ἡραέες Κερκάδαι Κλεοδαΐδαι Λυκοφρονίδαι Μόκλαι Ναυπλιάδαι Ὀλισσεῖδαι* (cf. ad nr. 122) *Παιονίδαι Ποιμωνίδαι Πωλαθέες Σμιρεῖδαι Σφυρῆδαι Τημενίδαι Ὑάδαι Φολυγάδαι* (Vollgraff NJbb 25, 306; Mn 44, 56/9). 6 *ἤ.* [*θήας*] V.; [*θ.*] delendum censet Herzog Ph 71, 11. 7. 13 *μαντήας, -ήωι*: genus scripturae III rarum; cf. Solmsen RhM 65, 326. 9 *ἀ[ϝ]ῶ*: *ϝ* etiam III Argis scriptum esse probatur titulo *Διϝὸς Πανόπτα* (BH 33, 445); contra cf. *ῥό[ο]ν* vs. 10. 15 sq. *λ|άονς*, 21 sq. *ἐνςε[κ]ό[ψ]αντο* Bechtel KZ 50, 69.

89ε Glossae e fragmento tit. Argivi IV/III *ἰάματα* Apollinis Pythaei continentis (Vollgraff BH 33, 450/5). 8 *φάϊ = φάει.* 9 *ἐν λωπίω[ι.* 12 *μαστεύων.* 14 *κοινανόντι.* 14 *οἰκείη* (· *οἰκοίη*; cf. Bechtel KZ 50, 70). 16 *π[α]ρχρῆμα.* 18 *σπαγέντος* (= *σφ.*).

---

90 Argis. Stela lapidis calcarii cani aëtomate ornata. *στοιχ.* (vss. 4—28). III (ante 251). Vo. — Honores. — Vollgraff Mn 44, 64/71. Kretschmer Gl 10, 218 sq.

Ἀλεξάνδρου Σικυωνίου. | *ἐπὶ γροφέος τᾶι βουλᾶι Θιοδέκτα, τοῖς δὲ στραταγοῖς Δαμέα, ἁλιαίαι ἔ[δοξε]* | *τελείαι, Ἀρνήου ἕκται δευτάται, ἀμβολίμωι ἐκ τᾶς τελείας.* | *ἀναγγειλάντων τῶμ πρεζβευτᾶν περὶ ὧν εὐχρήστηἑ Ἀλέ[ξαν]δρος τᾶι πόλι, ἔδοξε τῶι δάμωι· ἐπειδὴ Ἀλέξανδρος Ἀλεξ[άν]|δρου Σικυώνιος διατελεῖ ἐμ παντὶ καιρῶι εὔνοος ἐὼν τᾶι* | *πόλι τῶν Ἀργείων ἀξίως τᾶς προϋπαρχόνσας οἰκειότατος* | *τᾶι πόλι ποὶ τὰν πόλιν τῶν Σικυωνίων, πολίταν ἦμεν αὐτὸν*| *καὶ ἐκγόνονς καὶ θεαροδόκον τοῦ Διὸς τοῦ Νεμέαι καὶ τᾶς Ἥρας τ[ᾶ]ς Ἀργείας, τὸνς δὲ στραταγόνς, οἷς γράφει Δαμέας, ἀ[ν]|γράψαι ἐνς τὰνς στάλανς τὰνς ἐν τῶι ἱερῶι τοῦ Ἀπόλλωνος* | *τοῦ Λυκείου, ἷ καὶ τοὶ ἄλλοι πολῖται γεγράβανται, ἐ[ν]ς φυ|λὰν καὶ φάτραν καὶ πεντηκοστύν, ἅν κα αὐτὸς προαιρῆται, ἦ|μεν δὲ αὐτῶι καὶ προεδρίαν ἐν τοῖς ἀγῶνσι ἅπανσι, οἷς ἁ πόλις τίθητι, στεφανῶαἱ δὲ αὐτὸν καὶ εἰκόνι χαλκέαι κατστᾶ|αἱ ἐν τᾶι ἀγορᾶι, ἷ κα αὐτὸς προαιρῆται, τὸνς δὲ ἑλλανοδί|[κα]νς τῶν Νεμέων καὶ Ἡραίων τῶν ποτεχεῖ καρῦξαι ἐν τῶι ἀγῶ|[νι] τῶν Ἡραίων καὶ Νεμέων. τὸ δὲ ψάφιζμα ἐγδόμεν τὸνς στρα|[ταγὸν]ς μετὰ τοῦ ἀρχιτέκτονος ἀνγράψαι ἐνς*

στάλαν καὶ ἐν[σταᾶί ἐν τ]ῶι ἰαρῶι τοῦ Ἀπόλλωνος τοῦ Λυκείου ὅπως πᾶσι φα|[νερὰ διαμένηι] ἁ πόλις τοῖς εὐεργετοῦσι αὐτὰν καταξίανς | [τιμὰνς ἀπονέμονσα]· τὸ δὲ ἀνάλωμα διδόμεν τὸνς ταμίανς. | [ἑλέσθαι δὲ τὰν ἁλιαίαν] πέντε ἄνδρας ἐπὶ τὰν εἰκόνα, ὅττι|[νες λαβόντες κʹ δραχμὰνς π]ὰρ τῶν ταμιᾶν τῶν μετὰ γροφέα [Θιοδέκταν ἐπιμέληαν ποιησόν]ται περί τε τᾶς ἐγδόσιος | [τᾶς εἰκόνος καὶ τᾶς κατστάσιος. τοίδε] ἁιρέθεν· Ἀνθιάδας | - - - τας Πολυκράτε[ος]| - - - Πολλιάδα.

ι subscript. adscripsi. vs. 4 *Ἀρνήου*: alii menses Argivorum sunt *Ἀγυιεῖος Καρνεῖος Πάναμος* (nr. 91/2). *δεύτατος* ex Homero notum. 10 *γράφει· γραμματεύει* V. 12 *ἱ* cf. ad nr. 83 A 13. *γεγράβανται*: cf. *κεκλεβώς* nr. 74, 75, ad terminationem ion. *πεποιέανται γεγενέανται* (Eustath. ad Od 20, 106) alia. V. 15 *κατστ.*: an *καὶ στ.*? 25 *ἐ. π.* Wilhelm WienBer 183, 3, 28. Formas volgares collegit V.

---

91 Argis. Stela lapidis calcarii albi. 249/4 (Vo.) — Argivorum de Rhodiis decretum. — Vollgraff Mn 44, 219/38. Cf. Kretschmer Gl 10, 219 sq.

Ῥοδίων. | ἁλιαίαι ἔδοξε τελείαι, ἀμβολίμωι ἐκ τοῦ Ἀγυι|ήου, Καρνείου ἠνάται πράται· ἀρήτευε βουλᾶ[ς] Καλλίστρα|τος Ϝανίδας Μάνσητος· γροφεὺς βωλᾶς Τιμοκλῆς Φολυγάδας Πρόσυμνα. [θ]εός. ἐπειδὴ Ῥόδιοι συγγενέες ἐόντες τῶν Ἀργείων | ἄνδρες ἀγαθοὶ διατελόντι εἰς τὸν δᾶμον τῶν Ἀργείων | [κ]αὶ τὸνς ἄλλονς Ἕλλανας καὶ κατὰ γᾶν καὶ κατὰ θάλασ|σαν ἅπανσαν χρῆἱν παρεχόμενοι καὶ ἀποστήλαντος τοῦ | δάμου τῶν Ἀργείων πρεσβήαν ἐνς Ῥόδον ἐμέτρηἑ τάλαντα ἑκατὸν ἄτοκα ἔνς τε τὰν τῶν τειχέων ἐπισκευὰν καὶ τὰν ἵππον | ὡς ἀμπληρωθείη καὶ ἐπιμεμηνάκαντι χρόνον πολὺν ὁρῶντες | [τ]ὸνς καιρὸνς τᾶς πόλιος καὶ νῦν πρεσβήαν ἀπέστηλαν Φιλί|[α]ν Ἀγλουστράτου, Εἰρηνίδαν Εὐξένου, Ἀθανόδωρον Θρασωνίδα | ἐμφανιξόντας ὅ(τ)ι καὶ τὸν ἔμπροσθα χρόνον ὁ δᾶμος ὁ Ῥοδίων διατελεῖ εὔνοος ἐὼν τῶι δάμωι τῶν Ἀργείων καὶ τὸν λοιπὸν χρό|νον ὑπαρξεῖ τοιοῦτος ἐών, ἔδοξε τῶι δάμωι τῶν Ἀργείων στε-|φανῶἁι τὸν δᾶμον τὸν τῶν Ῥοδίων στεφάνωι χρυσέωι ἀπὸ χρυ-|σέων ἑκατὸν εὐνοίας καὶ ἀρετᾶς ἕνεκα τᾶς ἐνς τὸν δᾶμον τῶν Ἀρ|γείων καὶ τὸνς ἄλλονς Ἕλλανας· καρῦξαι δὲ τὸν στέφανον Ἑκατονβούοις τὸν ἀγωνοθέταν ἐν τῶι ἀγῶνι τῶι γυμμνικῶι, καρῦξαι δὲ | καὶ Νεμέοις τὸν ἀγωνοθέταν ἐν τῶι ἀγῶνι τῶι γυμμνικῶι, ἑλέσθαι δὲ καὶ πρεσ|βήαν τέτορας ἄνδρας ἐξ ἁπάντων, οἵ κα ἐλθόντες ἐνς Ῥόδον ἀν|αγγήλωντι τῶι δάμωι τῶν Ῥοδίων τὸ ψάφισμα καὶ τὰν εὔνοιαν | [ἔ]χων διατελεῖ ὁ δᾶμος ὁ τῶν Ἀργείων τῶι δάμωι τῶν Ῥοδίων· ἐ[πι]μεληθῆμεν δὲ τὸνς πρέσβεας τὸνς ἐλθόντας ἐνς Ῥόδον, ὡς κα|ρυχθῆι ὁ στέφανος ἐν Ῥόδωι Διονυσίοις ἐν τῶι ἀγῶνι τῶν κυκλίων | [χ]ορῶν τᾶι πράται ἀμέραι· ἀγγράψαι δὲ τὸ

δόκημα ἐν στάλαις λιθί|ναις καὶ ἀνθέμεν ἐν τῶι ἱερῶι τοῦ Ἀπόλλωνος τοῦ Λυκείου καὶ [τᾶι] | Ἥραι καὶ ἐν Νεμέαι, ἐπιμεληθῆμεν δὲ τούτων τὸν ταμίαν κα[ὶ τὸν]³⁰ς ὀγδοήκοντα, καθὰ ἔδοξε τῶι δάμωι τῶν Ἀργείων· ἀγγραψ[άντων] | δὲ καὶ ἐν Ῥόδωι τὸ ψάφισμα, ἴ κα ἀποδειξεῖ ἁ βωλὰ καὶ ὁ δᾶμος τ[ῶν] | Ῥοδίων. ἔλεξε Θίων Ποιμωνὶς Μενέδαμος Ἀσίνα.

vs. 4 *Μάνσητος* pagi nomen casu nom. aut gen. (a nom. *Μάνσης*) positum; cf. *Πρόσυμνα* vs. 4; praeter haec XII nomina pagorum e titt. Arg. nota sunt (*Ἀράχνα Ἀσίνα Κοίλα Λαγαρία Πεδίον Ποσίδαον Σελλιγών Σόλυμνα Στιχέλειον Ὕσεα ἄνω, Ὑ. κάτω, . . καιον*). V. 9 *μετρεῖν*: mutuum dare; cf. e gr. Hes. *E* 349. 396 sq. V. 11 *ἐπιμεμηνάκαντι*: cf. Archimedis *μεμενακός μεμενάκουσα*, Sapphus *ὑπαδεδρόμακε*, Pindari *γεγάκειν γεγενᾱμένον*; *η* ex aoristo sumpta (V. 244/6). 14 (*τ*) deest in l. 20 *-βου-*: cf. Be D 1, 69. 20 sq. *γυμμν.*: cf. *μεδιμμν.*, *ἱαρομμν.* nr. 108. 23 *τὰν εὔ.* i. e. *ἂν εὔ.*; an legendum est *τ. εὔ.* (*ἂν*)? V. 29 *ὀγδοήκοντα*: cf. Thuc. V 47. V. 32 *Θ. Π. Μ. Α.* i. e. Theon Menedemi f. ex phratria Poemonidarum ex pago Asina. V.

---

92 Argis. Lapis calcarius albicans quadratus. 248/4 (Vo.). — Proxenia. — Vollgraff Mn 43, 366/91.

Λίχα Πτολεμαιέος. | ἁλιαίαι ἔδοξε τελείαι, Ἀγυήιου ἠνάται δευτάται, ἀμβολίμωι ἐκ τοῦ Πανάμου· ἀρήτευε βωλᾶς | Ἀρίστανδρος Ἀριστέος Λυμά[νς Σ]ελλιγών, γροφεὺς βωλᾶς Θιότιμος Θιοκλέος Μόκλας Λαγαρία· | πρόξενον ἦμεν καὶ εὐεργέτα[ν τᾶς πό]λιος τῶν Ἀργείων καὶ θεαροδόκον τοῦ Διὸς τοῦ Νεμέαι καὶ τᾶς | Ἥρας τᾶς Ἀργείας Λίχα[ν] Ἐ . . . . . ο . ου Πτολεμαιέα ἀπὸ Βάρκης αὐτὸν καὶ ἐκγόνους, ἦμεν δέ σφιν | ἀτέλειαν καὶ ἀσυλίαν καὶ [ἀσφάλειαν αὐτοῖς καὶ] χρήμασι καὶ ἐμ πολέμωι καὶ ἐν ἰράναι καὶ κατὰ γᾶν | καὶ κατὰ [θ]άλασσαν καὶ γᾶ[ς καὶ οἰκίας ἔμπαιν καὶ προεδρ]ίαν ἐν τοῖς ἀγῶνσι οἷς ἁ πόλις τίθητι ἅπανσι. | [ἔλ]ε[ξ]ε Ὀρθαγόρας [Πυ]θίλα [Κλεοδαΐδα]ς Στιχέλειον.

Lacunae suppletae sunt e proxenia Theogenis Myndii isdem verbis concepta, quae est ab altera parte lapidis (hic vs. 7 *ἔμπαιν*); in nominibus pagorum quae sunt *Σελλ.*, *Λαγ.*, *Στιχ.*, ‚non una alterave littera erratum esse' affirmare non ausit V. *ι* subscript. adscripsi.

---

93 Epidauri. Basis lapidis calcarii. III ex. — Dedicatio. — *Καββαδίας* EA 1883, 153 sq. DI 3301. IG IV 1112.

Στράτων Θιωνὶς Ἀργεῖοι | τὸνς υἱὸνς Ἀπόλλωνι, Ἀσκλαπιῶι | εὐχάν. | Ἀθηνογένης Ἀριστομένο[υς], Λαβρέας Δαμοπείθους Ἀργεῖοι ἐποίησαν.

---

94 Argis. Stela lapidis calcarii albi. II/I. — Decretum de exarando oraculo Messeniis dato. — Vollgraff BH 33, 175 sq. DS³735.

ἐπὶ γραμματέος τῶν | συνέδρων Ἱέρωνος τοῦ | Ἐπικύδεος, | ἱερέος δὲ τοῦ Πυθαέος Δαμοσθένεος τοῦ Νικοκρά|τεος Παιονίδα, | προμαντίων δὲ Σωϊβίου τοῦ | Σωϊβίου, Ἀντιγένεος τοῦ | Πολυκράτεος Ναυπλιαδᾶν, γροφέων δὲ Θερσαγόρου τοῦ | Νικοφάεος, Φιλοκλέος τοῦ | Ξενοφάντου Δμαϊππιδᾶν, | πυροφόρου Τιμαγόρου τοῦ Χα|ριτίμου Κλεοδαΐδα, προμάντιος Φιλοκρατείας | τᾶς Λυσίωνος Αἰθαλέες, | χρησμὸς | ὁ γενόμενος τᾶι πόλει τῶν Μεσ|σανίων ἀνεγράφη κατὰ τὸ ψάφισμα τῶν ἀρχόντων καὶ συνέ|δρων, μαντευομένου Μνασιστρά|του τοῦ ἱεροφάντα περὶ τᾶς θυσί|ας καὶ τῶν μυστηρίων· | ὁ θεὸς ἔχρησε· | Μεγάλοις Θεοῖς Καρνείοις καλλιεροῦντι κα|τὰ τὰ πάτρια, λέγω δὲ καὶ Μεσ|[σανί]ο[ι]ς ἐπ[ι]τελεῖν τὰ μυστή-|[ρια] - - -.

vs. 13 *πυροφόρου*: Epidauri muneris designatio est *πυρφόρος*, verbum *πυροφορήσας* (IG IV p. 249). 16 *Αἰθ.*: exspectes *-έος* (*-είας*). 21 *Μνασίστρατος* idem esse videtur qui in titulo Messenio nr. 74, 28. 25 *καλλιεροῦντι* scil. Mnasistrato; cf. Wilhelm WienBer 175, 1, 22/4.

---

95 Argis. Lapis a. 1688 repertus; nunc in museo Veronensi. II^{p}. — Honores. — CIG 1124 (secundum Maffeium Muratoriumque comparatis Spanhemi schedis). DI 3290. IG IV 590.

ἁ πόλις ἁ τῶν Ἀργεί|ων Τ(ίτον) Στατίλιον Λαμ|πρίου υἱὸν Τιμοκράτη | Μεμμιανόν, Περσέος καὶ Διοσκούρων ἀπόγονον, | τὸν ἑλλαδάρχαν καὶ ἀρχι|ερέα διὰ βίου τῶν Ἑλλάνων, | στρατηγήσαντα τῶν Ἀχαι|ῶν [γ'], ἀγωνοθέταν Ἡραίων καὶ Νεμείων καὶ Σεβα-|στείων καὶ Νεμείων καὶ Ἀν|τινοείων ἐν Ἄργει καὶ Ἀν|τινοείων ἐν Μαντινείᾳ | καὶ Ἀσκλαπιείων ἐν Ἐπιδαύρῳ, καὶ ἀμφικτύονα καὶ | ἑλλαδάρχαν ἀμφικτυόνων | καὶ Πανέλληνα καὶ ἑλληνο|ταμίαν καὶ ἀγορανομήσαντα | καὶ στρατηγήσαντα τρὶς καὶ ταμιεύσαντα καὶ πρεσβεύσαν|τα ὑπέρ τε τᾶς πατρίδος | καὶ τῶν Ἑλλάνων πρός τε | τὰν σύγκλητον καὶ πρὸς βα|σιλέας καὶ τὰ ἄλλα καὶ λό⟨γο⟩γοις καὶ ἔργοις πολειτευσά|μενον ἄριστα καὶ φιλοτειμό|τατα, ἀρετᾶς ἕνεκα.

---

96 Dedicationes in Heraeo Argivorum repertae. V. — 1) Pars superior stelae cum aëtomate e lapide calcario factae. — Richardson AJ (I. ser.) 11, 42/8. Mi 861. IG IV 517. Richardson et Wheeler apud Waldstein, The Argive Heraeum 1 (1902), 197/202. Im 39. So 23. Bu 77. — 2) et 3) *βάσεις*. — Walter ÖJ 14 Beibl. 139/141.

1) *[h]α στάλα ⋮ καὶ hο τελαμṑ(ν) | [ἰ]αρὰ ⋮ τᾶς Hēρας ⋮ τᾶς Ἀργε|[ί]ας. ⋮ ἰαρομνάμονες ⋮ τοίδε· | Πυρϝαλίōν ⋮ Λυμὰνς ⋮ ἀϝρέτευε, | Ἀλκαμένēς ⋮ Hυλλεύς, | Ἀριστόδαμος ⋮ Hυρνάθιος, | Ἀμφίκριτος Πανφύλλας.*

2) [τ]ᾶς Ἥρας ἐ[μὶ ἱα]|ρόν· ἐκ τō hιδί[ō | Ἀ]ρχεκράτēς ⁝ Σμο[ῖος]| . ρεφίōν ⁝ Σύλιχ[ος].

3) τοὶ ἱαρομνάμονες τόν[δε] τō h[ι(π)π]ο|δρόμō ἀνέθεν ⁝ Κρίθυλο[ς ⁝ .]ϝακτο[ς] | Φιλέας ⁝ Γνᾶθις ⁝

1, 4 Πυρϝαλίων: cf. Πυρβαλίων IG IV 894, 11 (Epid. 146[a]). ἀϝρ. i. e. ἐϝρ.; cf. ὄρος Αὐκλιεία[ς] i. e. Εὐκλ. adn. ad nr. 664; ther. αὐνοίας alia, in Syra ins. et in Aegypto ἐραυνάω, delph. ἱεραύς alia (Nachmanson Eranos 11, 239. Kretschmer Gl 9, 213. Schwyzer Gl 11, 79).

---

97 Mycenis. Lamina aenea reperta in arce. VI. — Dedicatio Phrahiaridae ad locum sacrum quendam missi. — IG IV 492. Bu 75. Kern t. 8.

Φραhιαρίδας ⁝ Μυ|κανέαθεν ⁝ πὰρ Ἀ|θαναίας ⁝ ἐς πόλιος | ⁝ ἱκέτας ⁝ ἔγεντο ⁝| ἐπ' Ἀντία ⁝ καὶ Πυρ|ϝία. ⁝ εἶεν δὲ ⁝ Ἀντί|ας ⁝ καὶ Κίθιος ⁝ καἴσ|χρōν.

vs. 1 Φρ.: cf. Be hPN 457. — 3 ἐς π.: (missus est ad supplicantes civitatis) ἐξ ἀκροπόλεως (cf. Plut. Pelop. 18) IG; ἐς π. ἱ. ad urbis supplices Buck IF 25, 260 sq. 4 ἔγεντο: cf. Wackernagel Gl 7 suppl. 173/5. 6 εἶεν ‚(responsum tulit: expiatores sive arbitri) sunto' (IG); de opt. cf. Slotty 1, 77.

---

98 Mycenis. Lapis rotundus porus repertus in ruinis recentioribus inter portam leoninam et sepulcrum quod dicitur Clytaemestrae. — Decretum de cultu Persei (cf. Paus. II 18, 1). — Τσούντας EA 1892, 67 sq. IG IV 493. So[2]22. Bu 76. Cf. v. Wilamowitz Ar. & Ath. 2, 48 adn. 26.

αἰ μὲ δαμιοργία εἴē, τὸς ἱαρομνάμονας τὸς ἐς [Π]ερσē̃ το(ῖ)σι γονεῦσι κριτε̃ρας ἐμεν κὰ(τ) τὰ ϝεϝρēμένα.

αἰ μ. δ. ε. ‚nisi collegium demiurgorum est coactum' (IG). τ. ἐ. Π. ‚(ex urbanis) in Persei sacrum delegati' (IG). κὰ(τ) τὰ ϝεϝρ. ‚secundum leges supra indicatas' (IG); cf. Solmsen U 238. 240 et RhM 62, 337. (ι) deest in l.

---

99 Mycenis. Tabula lapidis calcarii. 197/5 (cf. Liv. 32, 38. 40; 34, 35. 40. Polyb. 18 (17), 17). — Honores. — Τσούντας EA 1887, 155/7. DI 3315. Mi 173. DS 271 [3]594. IG IV 497.

Προτίμου Γορτυνίου. | θεοῖς, ἀγαθᾶι τύχαι· ἁλιαίαι ἔδοξε | τελείαι τῶν Μυκανέων, Πανάμου | ὑστεραίαι πρατομηνίας, ἀρήτευε
5 δαμιοργῶν Δελφίων Τ[ι]μοκρίτου Δαϊ|φοντεύς· ἐπειδὴ ἀπ[αχ]θέντων ἐφ[ή]|βων τῶν Μυκανέων ὑπὸ Νάβιος ἐς Λ[α]κεδαίμονα ἐπολυώρηὲ Πρότιμος | Τιμάρχου Γορτύνιος καὶ τὰν ἅπαν
10 σαν σπουδὰν ἔθετο, ὡς διασωθεῖεν | τοὶ ἀπαχθέντες· δεδόχθαι τοῖς κωμέ|ταις ἐς προεδρίαν καλῖσθαι τοῖς Διονυσί|οις, καθάπερ καὶ τὸν[ς] ἄλλο[νς ε]ὐε[ργέ]|τανς, Πρότιμον [Τιμάρχου αὐτὸν καὶ ἐκγό
15 ν]ονς καὶ τὰ [ἄλλα ὑπάρχεν κτλ.

vs. 4 ἀρ. Wilhelm GöttAnz 1898, 223. 11 sq. κωμέ|ταις: cf. τᾶι κώμαι τ[ῶν Μυκανέων IG IV 498, 2; Mycenae ab Argivis dirutae neque ante III a. Chr. n. saeculum denuo habitatae κώμη erant Argivorum (IG).

c) Tituli Hermionae, Troezenis, Methanae, Epidauri (nr. 100—110).

De litteratura cf. Kirchh. A. 159 sqq.; Wiedemann Klio 8, 525 sq. 9, 365.

100 [[2]60] Hermionae. Tabula marmorea. III. — Catalogus. — Martha BH 3, 75 sq. DI 3398. IG IV 729.

A [- - - ἀποδε]δομέ|[νοι - - -] | *Σῶσος Μενητίω,* | *Ἀριστώνυμος Ἀρίστωνος,* | *Πασίμηλος Σώσω,* | *Ὀρύας Μελάνδρυος, Θαρσύτας Φιλητάδα,* | *Κρύτων Διοπείθεος,* | *Σωσίων Ἀρίστωνος,* | *Παρμενίτας Λαχάρεος,* | *Θαρσίας Ἀστώχω, Ἐτέοχλος Ὑπεράνορος,* | *Παρθεμίδας Σώσω,* | *Εὔφρων Ἀγαθόλα,* | *Ἀπτά[ρ]αιος Εὐθυμίδα,* | *Λίβυς Σηράμβω, Ἀρισ[τ]όμ[α]χος Σηράμβω,* | *Εὔθυμος Βωλαγόρα,* | *Πασίνομος Τρεύθω,* | *Ξενόδοχος Σωσίωνος,* | *Ἀστύναξ Στράτωνος, Σῶσος Πασιμήλου,* | *Ἐπίνικος Λαχάρεος,* | *Σήρ[αμβ]ος Γ. . .*

B *Σχῦρος Εὐθυμήδεος,* | *Βάρις Μάργω,* | *Πεισίνοος Κλέωνος,* | *Μάργος Ἀκέστορος, Ἔμπυλος Βω[λ]αγόρα,* | *Σωσίβιος Μ[ύλ]λω,* | *Σῶσος Ἀχαίω,* | *Ἀντίοχος Ἀδάμα,* | *Ἀρίστιππος Αἰνέτω, Ἄνανθος Τρεύθω,* | *Θεαρίων Πεισινόω,* | *Φωκύλος Κλησίππω,* | *Κίτος Ἀσπασίω,* | *Φιλόξενος Ἀνδροκλέος, Καραιὸς Ἀλκιμένεος,* | *Ἐπικύδης Δαμοκρίτω,* | *Γηρίων Στίχω,* | *Σωσίων Στίχω,* | *Σωτάδας Σωτάδα, Τιμάνωρ Πάσωνος,* | *Ἀμφιμήδης Πασκάλα.*

100g Glossae ex IG IV 742 (Hermionae, rationes aedificii cuiusdam. IV). 1 *ἐς τὰν ἀγκάθα[ρσιν* 2 *συγγρόφον* 9 *ζευγώχ[ωι* 12 *διακαλίσιος* 17 *ἐπικράνων ἀγκομιδᾶς* 20 *υθαραν* (?).

---

101 Troezene. Columna lapidis durissimi. vss. 3 et 2 dex., 1 sin. VI. — Tit. sepulcralis. — IG IV 800. Im 110. Legrand BH 24, 179/82 (cf. Wilhelm ib. 29, 416). Ge 58.

(3) *Πραξιτέλει τόδε μνᾶμα ϝίσο̄ν ποίϝε̄σε θανό[ντι·*
τ]οῦτο δ' ἑταῖροι (2) *σᾶμα χέαν, βα[ρ]έα στενάχοντες,*
ϝέργο̄ν ἀντ' ἀγ[α]θο̄ν, κἐπάμερον (1) *ἐξετέλε(σ)σαν.*

---

*ἄνπανσιν ἔ̄με̄ν ὅπο̄ κά τιλ λ|ε̄ι. ἀμπαίνε(θ)θαι δὲ κατ' ἀγορὰν καταϝε̄λμένο̄ν το̄̃μ πολιατᾶ|ν ἀπὸ το̄̃ λάο̄ ὀ̄ ἀπ' ἀγορεύοντι. — | ὁ δ' ἀμπανάμενος δότο̄ τᾶ|ι ἑταιρε̄́ιαι τᾶι ϝᾶι αὐτο̄̃ ἱαρε̄̃|ιον καὶ πρό-κοον ϝοίνο̄. — καὶ μέν κ' ἀνέλε̄ται πάντα τὰ κρε̄́|ματα καὶ με̄̀ συννε̄̃ι γνε̄́σια τ|έκνα, τέλλεμ μὲν τὰ θῖνα καὶ | τὰ ἀντρο̄́πινα τὰ το̄̃ ἀνπαναμέ|νο̄ κἀναιλε̄̃(θ)θαι, ἇ̄ιπερ τοῖς γνε̄σίοις ἔγρατται. αἰ [δ]έ κα με̄̀ | λε̄̃ι τέλλεν ἇ̄ι ἔγρατται, τὰ κ[ρ]ε̄́ματα τὸνς ἐπιβάλλοντανς ἔ̄κε|ν. αἰ δέ κ' ἐ̄̃ι γνήσ[ι]α τέκνα το̄̃ι ἀν|παναμένο̄ι, πεδὰ μὲν το̄̃ν ἐρσένο̄ν τὸν ἀμπαντόν, ἇ̄ιπερ αἱ θ|ε̄́[λε]ιαι ἀπὸ το̄̃ν ἀδελπιο̄̃ν λαν-κά|νοντι· αἰ δέ κ' ἔρσενες με̄̀ ἴ̄ο̄ν|τι, θε̄́λειαι δέ, [ϝ]ισϝόμοιρον ἔ̄*XI*[με̄ν] τὸν ἀνπαντὸν καὶ με̄̀ ἐ|πάνανκον ἔ̄με̄ν τέλλεν τ[ὰ τ|ο̄̃ ἀν]-παναμένο̄ καὶ τὰ κρε̄́μα|τ' ἀναιλ(ε̄θ)θαι ἅτι κα κατα[λίπε̄ι ὁ ἀν]-πανάμενος· πλίυι δὲ τὸν | ἀνπαντὸμ με̄̀ ἐπικο̄ρε̄ν. — [αἰ δ' | ἀπο]θάνοι ὁ ἀνπαντὸς γνε̄́σια | τέκνα με̄̀ καταλιπὄν, πὰρ τὸ[νς τ|ο̄̃ ἀν]παναμένο̄ ἐπιβάλλοντανς ἀνκο̄ρε̄ν τὰ κρε̄́ματα. αἰ δ[έ κα | λε̄̃ι] ὁ ἀνπανά-μενος, ἀποϝειπ|άθθο̄ κατ' ἀγορὰν ἀπὸ το̄̃ λά[ο̄ ὀ̄ | ἀπ' ἀ]γορεύοντι καταϝε̄λμέν|ο̄ν το̄̃ν πολιατᾶν, ἀνθέμε̄[ν δὲ δέκ]α [σ]τατε̄ρανς ἐδ δικαστ|ε̄ριον, ὁ δὲ μνάμο̄ν ὁ το̄̃ κσενίο̄ ἀποδότο̄ το̄̃ι ἀπορρε̄θέντι. | γυνὰ δὲ με̄̀ ἀμπαινέθθο̄ μεδ' | ἄνε̄βος. — κρε̄̃(θ)θαι δὲ τοῖδδε ἇ̄ι*

τάδε τὰ γράμματ' ἔγραπσε, | τõν δὲ πρόθθα ὀπᾶι τις ἔχει ἒ ἀ|μπαντυῖ ἒ πὰρ ἀμπαντõ, με̄ ἔτ' ἒ|νδικον ἔμε̄ν. — |

ἄντρōπον ὄς κ' ἄγει πρὸ δίκας, αἰεὶ ἐπιδέκε(θ)θαι. — |

τὸν δικαστάν, ὄτι μὲν κατὰ | μαίτυρανς ἔγρατται δικάδδ|εν ἒ ἀπό|μοτον, δικάδδεν ἆι ἒ|γρατται, τõν δ' ἄλλōν ὀμνύντα κρίνεν πορτὶ τὰ μōλιόμεν|α. — αἴ κ' ἀποθάνε̄ι ἄργυρον | ὀπέ̄λōν ἒ νενικαμένος, αἰ μέ|ν κα λείōντι, οἷς κ' ἐπιβάλλε̄ι | ἀναιλε̄̃(θ)θαι τὰ κρέ̄ματα, τὰν ἄταν ὑπερκατιστάμε̄ν καὶ τὸ | ἀργύριον οἷς κ' ὀπέ̄λε̄ι, ἐκόντ|ōν τὰ κρέ̄ματα· αἰ δέ κα με̄̀ λεί|ōντι, τὰ μὲν κρέ̄ματα ἐπὶ τοῖ|ς νικάσανσι ἔμε̄ν ἒ οἷς κ' ὀπέ̄λε̄ι τὸ ἀρ(γ)ύριον, ἄλλαν δὲ | με̄δεμίαν ἄταν ἔμε̄ν τοῖ|ς ἐπιβάλλονσι. ἀ[τ]ε̄̃(θ)θαι δὲ ὑ|πὲρ μ[ὲ]ν τõ [πα]τρὸς τὰ πατρõ|ια, ὑπὲ(δ) δὲ τᾶς ματρὸς τὰ ματρõια. — |

γυνὰ ἀνδρὸς ἄ κα κρίνε̄ται, | ὁ δικαστὰς ὄρκον αἴ κα δικάκ|σει, ἐν ταῖς ϝίκατι ἀμέραις ἀ|πομοσάτō παριόντος τõ δικαστᾶ, ὄτι κ' ἐπικαλε̄ῖ. προϝ[ε]ιπάτ|ō δὲ ὁ ἄρκōν τᾶ(δ) δίκας τᾶι γυνα|ικὶ καὶ τõι δικα(σ)τᾶι καὶ [τ]õι | μ[νά]μονι προτέταρτον ἀντὶ μ**XII**[αιτύρōν (*desunt sedecim vss.*) **17** ματρὶ υἰὺ⟨ι⟩ς ἒ ἀ[ν]ε̄ρ γυναικὶ | κρέ̄ματα αἰ ἔδōκε, ἆι ἔγρατ|το πρὸ τõνδε τõν γραμμάτōν, με̄ ἔνδικον ἔμε̄ν· τὸ δ' ὔστε|ρον διδόμε̄ν ἆι ἔγρατται. — |

ταῖς πατρōιόκοις αἴ κα με̄̀ | ἴōντι ὀρπανοδικασταί, ἆ|ς κ' ἄνōροι ἴōντι, κρε̄̃(θ)θαι κατὰ τὰ ἐγραμμένα. — ὀπε . . δέ κ' ἁ | πατρ[ōι]ō-κος με̄̀ ἰόντος ἐπι|βάλλοντος με̄δ' ὀρπανοδικ|αστᾶν πὰρ τᾶι ματρὶ τράπε̄|ται, τὸν πάτρōα καὶ τὸμ μάτρōα τὸνς ἐγραμμένονς τ|ὰ κρέ̄ματα καὶ τὰν ἐπικαρπί|αν ἀρτύεν ὀπᾶι κα (νύ)νανται κά|λλιστα, πρίν κ' ὀπυίε̄ται. ὀπυί|ε(θ)θαι δὲ δυōδεκαϝετία ἒ πρείγονα.

Textum dedi Solmseni paucis locis mutatum. I 2 et saepius με̄́, ἒ ante vocales quoque scripsi, quamvis ante vocales ε breve fuisse recte perspexisse mihi videretur WSchulze KZ 33, 133/7 nisus titt. nr. 181 DI 4999. 5000 (cf. Brause 200 sq.). 10 ἀνν.: cf. Ἐλευθενναίōν (Head 464). 13 μαῖτυς: in nr. 181 V 11 μαῖτυρς. 23 ἒ scripsi particulam temporalem, nisi praecedit vox aut phrasis notionis comparativae (hic ἒ scriptum est); quamquam non negem *E* temporale fluere potuisse ex *E* comparativo (Jacobsthal IF 21 suppl. 111/4). 39 sq. cf. Hermann Nb. 85 sq. 50 (α): ι l. 53 sq. ἀπ' [ἆ]ς [ἀμ. BüZ.; sed Halbh. inter π et σ duarum vel trium litterarum spatium esse et ante σ vs. 54 vestigium non α, sed potius ε litterae apparere dixit; cf. Jacobsthal l. c. 112, 2. II 1 ἄπ. ἒ.: cf. Jacobsthal l. c. 123 sq. 8 sqq. ϝοικέα ἒ ϝοικέαν: de quantitate ε voc. Brause 67 sq. 17 sq. ἀκ.: Brause 18, 1. 50 κõτι i. e. καὶ ὅτι (gen. sg.) DI. Bu; cf. III 26. 34. – III 14 (V 38) τ. κρ. δ. ‚pro re bifariam' KMeister IF 18, 158, (cf. Brause 72, 1). 29 (λ): τ l.; quamquam So in ectypo se λ legisse dixit. IV 3 ὄτι — αὐτόν: cf. Jacobsthal l. c. 27, 2. 10 an ἐπελεύσαι? Jacobsthal l. c. 120; Hermann Nb. 122. 14 sq. μ' εἴ[ε̄ C Rij Jacobsthal l. c. 92. 104 sq. Bu, με̄ [ἔι] τις KMeister IF 18, 153 So. 16 in. C Rij Bu, ἐ So. V 4 sq. ἆι ὄκ' ex quo tempore cum (Debrunner RhM

73, 362/6). 5 Αἰϑ.: cf. ad nr. 185, 1. 36 ἐνςείε̄: cf. εἶε̄ι DI 4986, 7 (et IV p. 1129) et nr. 84, 21; Schwyzer Gl 12, 7. 39 τνατ. Brause 30. 32 54 de forma τρίινς Günther IF 33, 419 sq. VI 1 διδοῖ an διδο̄ι? cf. Jacobsthal l. c. 114 sq. 15 ἆι: cf. Jacobsthal l. c. 117. 46 (ς): ν l. δυσμ.: cf. nr. 83 A 5; 84, 11 sq. 47 κελ.: cf. σῶμ[α] | ἐλεύϑερον μὴ ὠνείσϑω ὁ Μιλήσιος Φαίστιον μηδ᾽ ὁ Φαίστιος Μιλ[ή]|σιον, ἂμ μὴ κελομένον πρίαται Milet III 140 C, 54 sqq. VII 12 (ϝ): E l. 13 sq. ἀδ.: cf. Jacobsthal l. c. 71 sq. 45 δικ.: cf. Jacobsthal l. c. 38. 55 BüZ. lectionem recepi quamquam C. ante ε vestigium ο litterae apparere dixit. VIII 4 (ν): σ l. 19 (ε) deest in l. 41 ἆι C, DI, αἲ alii. 55 [πορ]τὶ κόσμ[ο]ν Bu. IX 29 in. C Bu, -ε̄ν αιο aut γιο So, αἲ ὁ DI. 36 (αρ) desunt in l.; cf. Brause 55. 39 (ν): σ l.; cf. Jacobsthal l. c. 39. 43 sq. πέραι, πέραν BüZ. alii (cf. nr. 83 A 13), πε̄́ραι, πε̄ραν C (tentamen, i. e. res piratica), Rij, Bu. 48 μεττ᾽: in aliis titt. μέστα (DI IV p. 1143). 50 ε̄́ν(δ): ε̄́να l. X 25 ἄντρ.: ad nr. 105. 413. 32 (ς): ν l. lapidarii errore, quamquam in titt. Cretensibus recentioribus (cf. nr. 188, 5. 190, 5. 191, 17) occurrit terminatio -εν (J. Schmidt KZ 36, 400/3. 414/6). 35 καταϝε̄λμ.: cf. ad nr. 177, 14 sq. XI 4 (ε̄): ι l.; retinuerunt F BüZ. So alii. 20 ἔγραψε: cf. Jacobsthal l. c. 18/21. 70. 117. 41 (γ): α l. 46 ἆι Jacobsthal l. c. 118. 52 (σ): ν l. XII 18 ἔδ.: cf. Jacobsthal l. c. 70. 32 (νυ) deest in l.

179ᵃ Ad Lethaeum flumen. βουστρ. Lapis muri orientalis. — Supplementum legis de familia herciscunda (nr. 179 col. V 50 sqq.). C. — Kohler-Ziebarth p. 35 sq. Comparetti Rendiconti acc Lincei 1918, vol. 27, 201/20. Cf. Halbherr Rendiconti acc Lincei 1902, 294. Brause H 49, 103 sq.

(*sin.*) ϑιο̄ῖ, ὀμνύμην δὲ δικα[ίο̄ς δατῆ(ϑ)ϑαι ὀνυ|μαίνοντα τὸν] Ἀπέλλο̄να καὶ τὰν Ἀϑαν|αίαν καὶ τὸν Ἑρμάον, ὁ [δὲ ὀμνύο̄ν μηδέ|να πρὸ τούτο̄ν] ἄλλον ϑιὸν ὀνυμαινέτο̄. το̄̃ δεκαστατήρο̄ καὶ πλ[ίονος τὸνς πάτ|ρο̄ανς ὅ(τ)τοι κ᾽ εἶ]εν κ᾽ υἰὺνς οἵ κ᾽ ἡβίο̄ντι | καὶ πολιατεύο̄ντι καὶ τ[ὸνς μάτρο̄ανς κ᾽ | υἰὺνς οἵ κ᾽ ἡβίο̄]ντι ὀμνύμην πάντανς | [ϝ]ιν αὐτο̄̃ι ϝέκαστον ἐπαριό[μενον κ᾽ ἐπιόρκονς κακίστο̄ι] ὀλέτρο̄ι ἐκσόλλυ(ϑ)ϑαι τὸ[ν|ς] μαίτυρανς αὐτὸν ϝέκαστ[τον ἐπαριόμε|νον, τὸνς δὲ ἄλλ]ονς οἵ κ᾽ ἡβίο̄ντι κἠς το̄̃ α[ὐ|τ]ο̄ πατρὸς ἴο̄ντι κ᾽ ἀδαιτηὶ [παρίο̄ντι, ὀμνύ|μην ἦ μὰν ἁϑρ]όονς αὐτὸν ϝέκαστο[ν | ἐπαριόμενον].

Litteratura eadem quae in tit. MA 3 nr. 153 (DI 4999) C. vs. 1 ϑιοί an ϑιο̄̃ι? C. 12 κἠς i. e. καὶ ἐς (ἐξ) 13 αδ. i. e. ἀδαιτεί C.

---

180 Ad Lethaeum flumen. Lapis. βουστρ. — Lex de pignoribus capiendis. — Halbherr AJ II ser. 1, 222/4. DI 4992 A II. Rij II p. 328.

(*dex*) [ὅ]πλα ἀ[ν]δρὸ[ς] | ἐλευϑέρο̄ ὅττ᾽ [ἐ]νς πόλεμο(ν) | ἴσκει, πλὰν ϝε̄́μας κἀνπιδε̄|μας, ἱστός, ἔ̄ρια, κε̄ρίϑεκνα ϝεργαλε̄ῖα, σιδάρια, ἄρατ|ρον, δυγὸν βοο̄̃ν, κάπετον, μ|ύλανς, ὄνον ἀλέταν, ἐ(κ)ς ἀν|δρε̄ίο̄ ὅ(τ)τ᾽ ὁ ἀρκὸς παρέκει | κατ᾽ ἀνδρε̄̃ιον, εὐνὰ ἀνδρὸς καὶ γυναικό[ς], ... ϑε . οο| - - .

vs. 1 in. scil. exempta sunt a pigneratione ... 2 [ἐ]νς: cf. Brause 212. ἔνς πολέμō KMeister IF 18, 139 (?). 4 ϝέμας: cf. ἡμάτιον DI IV p. 1133. κερ. i. e. χερίθεκνα, χειρίτεχνα Brause 192. 5 ἄρατρον: cf. her. ἀράσοντι nr. 62, 133, rhod. τ]ὸ δὲ ἐναράτιον IG XII 1, 924, 20 (III[a]), menses locr. Ἀράτυος, epid. Πραράτιος (nr. 108 g, 2; e προ-α.); cf. Schwyzer Gl 12, 1 sq. 7 (κ): π l.

181 Ad Lethaeum flumen. Lapides muri septemtrionalis. *βουστρ.* — Leges. — Comparetti Mus. it. 1, 277 sq. (I. II). 2, 593/628 (III—VII). MA 3 nr. 152. Rij 18. DI 4998. Kohler-Ziebarth p. 28/31. Cf. praeterea RMEMeister RhM 59, 568/70 (ad II).

I - - - [ἐπὶ τō]|(*sin.*)ι ἀδι[κη]θέντι ἤμην, | [αἴ] κα λῆι, τὸ [ϝὸν] αὐτ|ō δόμην, τὸ δὲ κήνō ἔκεν. αἴ κά ϝοι μὴ λῆι | δέκσαθθαι, τὸ ἁπλ(ό)ο|ν τεισῆται. αἰ δέ | κα μὴ ἐπιδίηται τὸ π|αρōθέν, ἢ μὴ ἐπελεύσει τὸ τετνακός, ἢ μὴ | δείκσει ᾇι ἔγρ(α)τται, | μὲ ἔνδικον ἤ(μ)ην. αἰ | δέ κα σῦς καρταῖπο|ς παρόσει ἢ κατασκένηι, τόν τε σῦν ἐπὶ τōι | πάσσται ἤμην ὃ κ' ἦι τ|ὸ καρταῖπος, καὶ το (**II**) - - - ε ... | (*sin.*) ται τὸ ϝίσϝον κατασ|τασεῖ. ἵππον δὲ κ[ὴ]μ|ί[ο]νον κ' ὄνον τὸ μὲν νυνατὸν ἐπιδίε(θ)θαι | ᾇι ἔγραττα· αἰ δέ κα | τετνάκηι ἢ μὴ νυν|ατὸν (ε)ἴη ἐπιδίεθθαι, | καλῆν ἀντὶ μαιτύ[ρ]ōν δυōν ἐν ταῖς πέν|τε, ᾇι δεικσεῖ ὀπῆ κ' | ἦι, κὀρκιότερον ἤμη|ν αὐτὸν καὶ τὸνς μα|ίτυρανς, αἰ ἐπεδίετο ἢ ἐπήλευσε ἢ ἐκάλη | δεικσίōν. κύνανς | ἀπαμπαιομένο[νς?] (**III**) - - - [αἰ μέν κ' ἀμπό]|(*sin.*)τεροι ἕπōν[ται] οἱ ἀ[(λ)λ]|οῖοι, μ[ὲ] ἔνδικον ἤμ|ην. αἰ δέ κα μ[ὲ] ἀμπότεροι, ὁ [δεκσάμ]ενος τὰ|ν ἁπλόον [τ]ι[μὰ]ν κατα-|στασ[εῖ]. αἴ κα τετ|ράπος ἢ ὄνν[ι]θα παρ|καταθ[ε]μένōι ἢ χρησάμενος ἢ [ἀλ]λᾶι δε|κσάμ[ενο]ς μὴ νυνατ|ὸς εἴη αὐτ[ὸν ἀ]ποδόμ|ην, τὸ ἁ[πλ]όον κατασ|τασεῖ. αἰ δ[έ κ' ἐ]πὶ τᾶι δίκαι [μō]λίōν ἐκσαν-|νήσεται, δι[πλ]εῖ κατ|αστᾶσ[αι κ]αὶ θέμημ πόλι (**IV**) - - - (*dex.*) περονσ ....|δοντι τετραπλεῖ. | ὅτι δέ κά τις αὐτὸν | ἀποδōι σōμελές, τὸ ἁπλόον καταστασεῖ. | τὸν δὲ ϝοικέα τὸν ἐπ|ιδιόμενον μὴ ἀποδό|θθαι μήτε ναεύοντα | μήτ' ἤ κ' ἀπέλθηι τō ἐνιαυτō. αἰ δέ κα κοσμί|οντος ἦι ὁ ἐπιδιόμε|νος, μὴ ἀποδό(θ)θαι ᾇς κ|α κοσμῆι μηδ' ἤ κ' ἀπέ|λθηι τō ἐνιαυτō. αἰ δέ κα πρὸ τō κρόνō ἀπο|δōται, νικήθθō. ἀμπὶ | δὲ τὸν κρόνον ὀμνύ(**V**)[ντα κρίνεν τὸν δικαστάν] - - | .. ιτισασ .. ν . α[ἰ δέ] | (*sin.*) κα μὴ ὀμόσει, τὸ ἁπλ|(ό)ον καταστασεῖ. | αἰ δέ κα κελομένō ὅι κα παρῆι, ϝεργάδδ|ηται ἢ πέρηι, ἄπατον | ἤμην. αἰ δὲ πōνίοι μ|ὴ κελομένō, τὸν δικασστὰν ὀμνύντα κρίνεν, αἰ μὲ ἀποπōν|ίοι μαῖτυρς. ἀλλό|τριον δ' αἴ τί κ' ἀδικ|(ή)σει ὁ κατακείμεν|ος, αὐτὸν ἀτῆ(θ)θαι. αἰ δέ κα μὲ ἔκηι ὅπō κατα|στασεῖ, ὁ νικάσανς | κ' ὁ καταθέμενος (**VI**) - - | .... ε . ο ... [πλί]|(*dex.*)οδ δὲ μή. αἰ δέ τις | [τ]ὸν κατακείμεν|ον ἀδικήσει, ὁ καταθέμενος μōλησε|ῖ καὶ πρακσῆται τ|ὰς τιμὰνς ᾇι ἐλευθέ|ρō, κ' ὅτι κ' ἐσπράκσ|εται

τὰνν ἡμίναν ἔκεν τὸν κατακείμ|ενον, τὰν δὲ τὸν κατ|αθέμενον. αἰ δέ κ' ὁ κα|ταθέμενος μὴ λῆι | μο̄λῆν, ἢ κ' ἀποδο̄ι τὸ ὀπήλο̄μα, αὐτὸς μο̄λήτο̄. αἰ δέ τί κ' ὁ κατακεί(**VII**)*[μενος] -- | --αται κ|(sin.)ρή-ματα ἐπὶ [ν]αὸν ἐπι|διόμεν[ον ἢ] ἐπελεύσ|αντα ἢ θ......στα. [α]λλο ...α... πεπᾶ(θ)θαι | τουτον......ια...|...ε..... τὸμ πριά-μ|ενον [τοῖς μεμπ]ο[μέν|οις] τ[ο̄ν] χρημάτο̄ν τὰν ἄτα[ν] κατ[ι]σστά-[μ]ην, ᾱ|[ι] ϝεκάστο̄ ἔγρατται, κ|αὶ τὸν ἄνδρ' αὐτ[ὸν] ἐπὶ | το[ῖ]ς [μ]εμπομένοις τ|ο̄ν χρημάτο̄ν ἤμην, αἴ κα μὴ περαιόσει ἢ κα πρία-|ται ἐν ταῖς τριάκοντ' ἀμέ|ραις. αἰ δέ κα συνγνο̄ντι τ|ᾶν δέκ' ἀμερᾶν μὴ περαιο̄[σ|ῆ]ν, ἀνδοκὰν δὲ καὶ ....*

I. II de bestiis a bestiis violatis; III de bestiis alteri commissis; IV de servis fugitivis (cf. nr. 179 col. I)?; V. VI de nexu; VII de damnis a servo illatis. I 6 et V 3 (*ο*) deest in l. 8 *ἐπιδ.* aor. aut ipf.; cf. Jacobsthal IF 21 suppl. 9. I 11 (*α*): *ι* l. 12 (*μ*): *ν* l. II 8 (*ε*)*ἴη*: an *ῆι⟨η⟩*? cf. Jacobsthal l. c. 106. 11 *ᾱ* notione finali Jacobsthal l. c. 122. III 7 *αἴ κα* c. opt.: cf. Jacobsthal l. c. 90sqq. V 4 *κελ.* cf. nr. 182, 2. V 8 (*η*): *ε* l.

---

182 Ad Lethaeum flumen. *βουστρ.* (Brause). Lapis muri orientalis. — Lex de servis pignori datis. — Kohler-Ziebarth p. 34 sq. Cf. Halbherr Rendiconti acc Lincei 1901, 294; Brause H 49, 102sq.

... αἴ κ' ἀδική|σει δο̄λος ἢ δόλα, ὅτι μέν [κα κατ|αθ]εμένο̄ κε-λομένο̄ ἁμάρτη|ι, το̄ι καταθεμένο̄ι τὰν δίκαν | ἤμην, ὅτι δέ κ' αὐτὸς πρὸ ϝιαυτο̄, το̄ι ἀρκαίο̄ι πάσται τὰν δίκ|αν ἤμην, το̄ι δὲ καταθεμέ-νο̄ι μ|ή. αἰ δέ κα νικαθῆι ὁ καθένς, ἀπ|οδότο̄ το̄ι καταθεμένο̄ι ὅτι κ' | ὀπήληι. αἰ δ(έ) κα τὸν κατακείμενον ἀδικήσει ἄλλος, αἰ μέν | κ' ἀνπότεροι μο̄λίοντες νικά|σοντι, τὰν ἡμίναν ϝεκάτερο|ς ἑκσίοντι, αἰ δέ κ' ὁ ἅτερος μ|ὴ λῆι, ὁ ἅτερος μο̄λίο̄ν αἰ κα νικάσει αὐτὸς ἑκσεῖ. αἰ δέ κ' ἀ|π[α]νῆται ὁ κατακείμενος, δικ|ακσάτο̄ ὀμόσαι τὸν καταθέμε|νον μήτ' αὐτὸν αἴτιον (ἤ)μην μήτ|ε σὺν ἄλλο̄ι μήτ' ἐπ' ἄλλο̄ι ϝισάμην. αἴ κ' ἐναποθάνηι, δεικσάτο̄ | ἀντὶ μαιτύρο̄ν δυο̄ν. αἰ δέ κα μὴ ὀμόσει ᾱι ἔ|γρα(τ)ται ἢ μὴ δείκσει, | [τ]ὰν ἁπλόον τιμὰν κατα|στασεῖ· αἰ δέ κ' αὐτὸν α[ἰ]τιῆται ναὶ ἀποδό(θ)θαι ἢ | ἀπο-κρύπσαι, αἴ κα νικ|αθῆι, τὰν ἁπλόον τ|ιμὰν διπλεῖ κατα|στασεῖ, αἰ δέ κα ναεύηι, ἐμπανία δεικσάτ|ο̄.

vs. 7 *καθένς*: in aliis titt. *καταθένς*. 9 *ὀπήληι* Br., *ὄπη λῆι* K.-Z. (*ε*): *η* l. 15 *ἀπ.* i. e. *ἀφανῆται* Br. 18 (*η*): *ε* l.; cf. nr. 181 V 8; aliter Be D 1, 40. 19 *ϝισ.*: cf. W Schulze KZ 45, 241. Wackernagel GöttNachr 1914, 102; *ἴσαντι* nr. 190, 11. 21 *ᾱι ἔ.* Br., *αει|αϝαται* K.-Z., *αει|σϝαται* W Schulze, in lapide probabiliter *αειγραται* Br.

182ᵃ In fundamento portae septemtrionalis odei. *βουστρ. στοιχ.* V/IV (?). — Decretum de pestilentiae remediis. — Comparetti Annuario 3, 196/202.

(*dex.*) παρέ]χεν δὲ τῶι Τ[ραλ]λίωι Ἀρεί[ωνι . . . | . . . . . . λαν καὶ πα[ντ]ερμείαν ἐξεττ[ραμ|μέν?]αν καὶ σιδαρί[σ]κον καὶ δεῖ[νον ἐπὶ | ταῖς οὐ]λοσφαίρα[ις] κ' ἰήρια καθάρ[σια κ' ἔκ]πινα καὶ φοιν[ίκ]ιον καὶ ϝο[ῖνον Ἄν|δριον κ]αὶ Καναστ[ραῖ]ον δριωτόν, κ' [ὥς ϝ|οῖν]ον κ' ἰαρώματ[α χ]έϝοι δύο σαλ[ίας ἰαρ|ωμάτων] κ' αὐφίτων, [καὶ] φιαλίσκαν. κ[αὶ τ|αῦτα] καὶ θύματα [ὅκα] πρείγονα [δεήσετ]αι, παρέχ]εν ἄμ' ἀμφ[ότε]ρα. κ' ἢ δ' ἐν πάνι [ἦι, ἰα]ρέα καὶ κοσυβ[άτ]αν παρέχε[ν οἱ τὰ θύ|ματα κ' ἰα]ρώματα (ἐ)[πὶ τ]ῶν χόννων αλη . .

vs. 1 Tralles inclutum erat medicorum seminarium C. 5 ἰήρια = ἰατήρια C. 8 ἰαρ. = ἀρώματα C. (scribendum videtur κ(α)ὶ ἀρ.; fortasse est κί loco formae καί; καί et κί iuxta occurrunt in tit. Beroeensi aet. Nervae imp. Ἀρχ Δελτ 2, 148).

---

183 Ad scalas magnas fori. Stela. III. — Foedus Gortyniorum et Latiorum. — Demargne BH 27, 219/26. DI IV p. 1032sq.

C -- μωλ[η--] | --ομεν ὁ δικατ-- | --ς τῶι κόσμωι ἐπὶ-- | -[τō] ἐπισταμένō [κόσ]μō, τός κα αὐτὸς ἔληται δικαστάνς· ὅτεῖος δέ κα κόσμος | μὴ βέρδηι κατὰ τὰ γεγρα(μ)μένα, ἀποτει|σάτω πὰρ τὸν τίταν ἀργυρίω διακοσίος στατῆρας (*in margine*) | ἕκαστος ὁ κόσμος· μωλῆν τὸν λείοντα | κῆχεν τὰν ἡμίναν, τὰν δὲ ἡμίναν τᾶι πόλι· τιμαῖς δὲ χρησιόμεθα ταῖς ἐς τō δια|γράμματος τō τῶν Κρηταιέων ἆι ἑκάσ|των ἔγραπται· κατὰ τὰ αὐτὰ δὲ καὶ οἱ ὑ|πόβοικοι ὑπεχόντων τὸ δίκαιον τοῖς Λα|τίοις Γόρτυνι· ἀναγ[ρα]ψάντων δὲ βεκάτεροι ἐν βρυταν[είωι τὰ] ἠγραμμένα.

E fragmentis A (cf. Wilhelm ÖJ 14, 213sq.) B: A 2 ἔ]βαδε (K Meister IF 18, 188) 3 ἐπὶ τῶν σὺν Ὁμάρωι (cf. Wil., Il. u. Homer 371sq.) 4 τ]ὰς σπονδὰνς ἄγεν 9 ἀδικιόμενος 11sq. αἰλε|[θέντες B 19 νίκαμα. — C 6 βέρδηι Latiorum fuisse videtur, in titt. Gortyniis ϝήροντι [ϝ]ηρόντων DI 4987 a 2, 5013 II 10; cf. πῆριξ· πέρδιξ. Κρῆτες. Hes. Brause 119sq. 16 βρυτ.: cf. Brause 207sq.

---

184 Prope *Μητρόπολι*. Tabula lapidis calcarii. III. — Manumissio servi publici. — Halbherr AJ II ser. 1, 168sq. DI 5007. Rij 30, 46.

[θ]ιοί. ἀπελάγ(α)σ(α)ν ἁ πόλις | οἱ Γορτύνιοι ἐλεύθερον | ἐπὶ τᾶς Ἀρχήιας κορμιόντων | οἱ σὺν Ἀρχεμ(ά)χωι | τῶι Γάστριος Με . ιμον | (*intervallo unius vs.*) ἐ|λεύθερον.

vs. 1sq. eadem constructio nr. 193, 129sq. 679, 2. vs. 3 Ἀρχ. Bechtel Gött Nachr 1920, 251sq., provocans ad ἐπὶ τᾶς Καμ. nr. 200, 1; ἀρχ. priores.

---

185 Gortyne. Lapis portam heroi efficiens. — III ex. aut II in. — Catalogus cosmorum. — de Sanctis MA 18, 240/1. DI IV p. 1035sq.

ἐπὶ τῶν Αἰθαλέων κορμιόντων | τῶν σὺν Ἐράσωνι τῶ Ἀντι|φάτα· ἐκόσμιον οἵδε· Ἐράσων | Ἀντιφάτα Ἁγήσανδρος Μω[ρ]αύ[τ]α,

Ἄμ(ν)ατος Ἀριστοφόω, Ἑρτα|ῖος Κρίω ἰαροργός, Ἄμνατος Σοάρ|χω. Μέ[γ]υλλος Διογνήτω, Ἐπιχαρμ|ίδας Ἀριστοδάμω, Ἀρτύας Ἀντ|άυχιος .... αμαρνάτιος Δαμαγόρα, Σωτάδας Κλεαινέτω, Κύ|δανς Νεμονηΐω.

vs. 1 *Αἰθ.*: cf. nr. 179 V 5; gentium et collegiorum nomina praeter nota Dorica *Αἰσχεῖς Ἑρταῖοι Ἐχανορεῖς Κρανσοπεῖοι Κυδαντεῖοι* (DI IV p. 1194); cf. Deiters [ad nr. 198] p. 37 sq. 4 *Ἀντιφάτα*: cf. Be Lex. 53. 5 (*ν*): *τ* l. *Ἀριστοφόω*: cf. Bechtel H 43, 644; Brause 90 (*Στάρτοφος* Therae DI 4706, 87 ib. 185). 6 sq. *Ἑρτ.* Brause 106 sq.

186 Lapis Pythii. II. — Foedus Gortyniorum et Lappaeorum. — Haussoullier BH 9, 6/9. Mi 17. DI 5018. Bleckm 2.

A *ἀγαθᾶι θύχαι. κορμιόντων Γόρτυνι μὲν ἐπὶ τᾶς Ἀρχήιας τῶ[ν] | σὺν Εὐρύττονι τ[ῶ] Μενοντίδα, Λάππαι δ' ἐπὶ τῶν σὺν Ἄρχω[νι] | τῶ Ἀντιόχω, τά[δε] συνέθεντο Γορτύνιοι καὶ Λαππαῖοι, συν|μαχησῆν ἀλλάλοις τὸν ἅπαντα χρόνον ἁπλόως κἀδόλως, κἠψῆθθαι τὸν Λαππαῖον [τ]οῖς Γορτυνίοις καὶ πολέμω χ[ἰ]|ρήνας ὁπυῖ κα παρκαλίωντι Γορτύνιοι, καὶ τὸν αὐτὸν φίλον κἠ|χθρὸν ἑξῆν τοῖς Γορτυνίοις· καἴ τίς κα πολεμῆ τοῖς Γορτυνίοις | ἢ φρώριον ἢ λιμένας καταλαμβάνη ἢ χώρας ἀποτάμνηται, βοαθιόν|των οἱ Λαππαῖοι τοῖς Γορτυνίοις καὶ κατὰ γᾶν καὶ κατὰ θάλαθθαν παντὶ σθένει ἐς τὸ δυνατόν· κατὰ τὰ αὐτὰ δὲ καἴ τίς κα τοῖς Λαπ|παίοις πολεμῆ ἢ ἀποτάμνηται χώρας ἃς ἔχοντες πορτῆνθον | ἐς τὰν πορτὶ Γορτυνίονς φιλίαν καὶ συ[μ]μαχίαν, ἢ φρώρια ἢ λιμέ|νας καταλαμβάνηται, βοαθιόντων οἱ Γορτύνιοι τοῖς Λαππαίοις | καὶ κατὰ γᾶν καὶ κατὰ θάλαθθαν ἀπροφασίστως παντὶ σθένει ἐς τὸ δυνατόν. ἐξαγωγὰν δ' ἦμεν τῶι τε Γορτυνίωι Λάπ|παθεν καὶ τῶι Λαππαίωι Γορτύναθεν πάντων, κατὰ γᾶν μὲν | ἀτελεί, κατὰ θάλαθθαν δὲ καταβάλλοντανς τέλη κατὰ τὸνς | νόμονς τὸνς ϝεκατέρη κειμένονς ὑπὲρ τῶν ἐνλιμενίων. | ὀμοσάντων δ' οἱ μὲν Γορτύνιοι τοῖς Λαππαίοις οἱ ἄνδρες επιον| - -.*

B - - *[ἐπ]ιορκίοιμι, ἐμμάνι[ανς - - | - - τὸνς θιὸ]νς πάντανς καὶ [πάνσανς] - | - - εὐορκίοντι ἀξίαν - -.*

A 2 *τῶ*: cf. ad nr. 195, 2 sqq. De Lappae nomine Brause 168. 5 *χιρ.*: de aspiratione transcriptionibus coptica et phoenicia probatis Bechtel GöttNachr 1920, 255 sq.; Loewenthal KZ 50, 40; addidit boeot. *Ηιράνα* in catalogo V Thebis reperto (Wilhelm Urkunden dramat. Aufführungen 246) Be D 1, 47. 11 *ἃς* KMeister IF 18, 56. Vollgraff BH 34, 350; ἇς priores. *πορτῆνθον* Brause 174 sq., *-ῆνθον* H. B 1 *ἐμμάνι.* Brause l. c.; -ε- H; cf. ad nr. 38.

187 Lapis inaedificatus basilicae Christianae. 181/68. — Proxenia. — de Sanctis MA 18, 319/22. DI IV p. 1036.

Πτολεμαῖον Πτολεμαίω | τὸν ἀδευφιὸν Πτολεμαίω | τῶ ἐπὶ Κύπρωι στραταγῶ | καὶ Νουμή|νιον Ἡρακλειοδώρω | Ἀλεξανδρεῖανς καὶ Πεδε(σί)στρατον Ἁγήτορος Λακε|δαιμόνιον Γορτυνίων προξή-|νονς ἦμεν αὐτὸνς καὶ ἐκγόνονς.

Specimina breviorum proxeniae formularum aet. rec. usitatarum DI 5028. *Πεδε(σί)στρ.* Be Namenst 42.

b) Tituli aliarum civitatum Cretae mediae (nr. 188—196).

188 [²127] Tei. In muro templi Bacchi sacri. 201 (H.) — Decretum Rhauciorum de asylo Teio. — CIG 3051 (sec. Chishull Ant. Asiat.). Le Bas III 63. Mi 53. DI 5167.

Ῥαυκίων. | ἔδοξεν Ῥαυκίων τοῖς κόσμοις καὶ τᾶι πόλει· ἐπειδὴ παραγε|νόμενοι πρεσβευταὶ παρὰ τῶ δάμω⟨ι⟩ τῶ Τηΐων πορτὶ Ῥω|κίονς, Ἀπολλόδοτος Ἀστυάνακτος, Κωλώτας Ἑκατωνύμου, ἐπελ-θ⟨ι⟩όντεν ἐπὶ τὰν ἐκκλησίαν, ἐνεφάνιξαν τάν τε | οἰκειότατα τὰν ὑπάρχουσαν Ῥαυκίοις ποθ' αὐτὸνς | καὶ περὶ τᾶς ἀσυλίας τᾶς τε πόλεος καὶ τᾶς χώρας πα|ρεκάλεσαν, ἔτι δὲ καὶ τῶ παρ' Ἀντιόχω τῶ βασιλέος πρει|γευτᾶ Ἁγησάνδρω παρακαλέσαντος μετὰ πάνσ⟨σ⟩α(ς) σπουδᾶ[ς] καὶ φιλοτιμία[ς], ὁμοίως δὲ καὶ τῶν παρ' ἁμῶν | πρεισγευτᾶν ἐμφανιξάντων τὰν ὑμ[ὰ]ν εὔνοι[άν τε κ]αὶ | προθυμίαν· δεδόχθαι Ῥαυκίων τοῖς [κόσμοι]ς [καὶ τᾶι] πό|λει ἀποκρίνασθαι Τ[η]ΐοι[ς], ὅτι ἅ τε καθ[ιάρωσι]ς [τῶι Δι]ονύ|σωι τᾶς πόλεος καὶ τᾶς χώρας αὐτοῖς ἅ τε ἀσυλία καὶ τἆλλα ἔνδοξα καὶ τίμια παρ' [ἁμῶν ὑπάρξει αὐτοῖς - -] | νῦν τε καὶ τὸν ἄλλον χρόνον πάντα.

De tempore prioris legationis Teiorum cf. Holleaux Klio 13, 137/59; Pomtow ad DS³ 563/4. Ad priorem legationem nr. 188. 203. 331. 387 referuntur, ad (triginta aut etiam pluribus annis) posteriorem nr. 190. 204. — vs. 4 *Ῥωκ.*: aliter delph. *αὐσωτόν* (DI IV p. 188). 5 *ἐπελθ.*: cf. ad nr. 179 X 52. 9 (ς): ν l. 11 *πρεισγ.*: forma e genuina *πρειγ.* (vs. 8) et volgari *πρεσβ.* (vs. 3) a lapidario Teio(?) conflata (Brause 176 sec. Prellwitz). *ὑμ[ὰ]ν* KMeister IF 18, 200.

189 Delphis. Lapis quadrangulus. ca. 185/75. — Litterae Vaxiorum ad Aetolos missae. — Haussoullier BH 6, 460,6. DI 5151. DS ³622B.

Ϝαξίων οἱ κόσμοι καὶ ἁ πόλις Αἰτωλῶ[ν συνέδροις] καὶ τῶι στρα|ταγῶι καὶ τῶι ἱππάρχαι χαίρειν. γινώ[σκε]τε Ἐράτωνα πολί-|ταν ἁμὸν ἰόντα, ἐκπλεύσαντα δὲ ἐπὶ στ[ρ]ατ[ε]ίαν εἰς Κύπρον | καὶ λαβόντα γυναῖκα τεκνοποιήσασθαι υ[ἱ]οὺς δύο, Ἐπικλῆν καὶ Εὐαγόραν. συνέβα δὲ ἀποθανόντος τῶ Ἐράτωνος ἐν τᾶι | Κύπρωι αἰχμαλώτως γενέσθαι τὸνς πε[ρ]ὶ τὸν Ἐπικλῆν καὶ | τὰμ ματέρα αὐτῶν καὶ πραθῆμεν τὸν Ἐπικλῆν εἰς Ἄμφισσαν· | καταβαλὼν δὲ τὰ λύτρα

ὁ Ἐπικλῆς οἰκε[ῖ π]αρ' ὑμὲ ἐν Ἀμφίσσαι, | πολίτας ἰὼν ἁμὸς αὐτός τε κα[ὶ τ]ὰ τέκ[να αὐ]τῶ Ἐρασ[ιφῶ?]ν [καὶ] Τιμῶναξ καὶ θυγάτηρ Μελίτα. [καλῶς ὦν π]οιη(σ)εῖτε φροντίδ|δοντες, ὅπᾶι, εἴ τίς κα ἀδικῆ α[ὐτώς, κω]λύηται ὑφ' ὑμίων [καὶ κοι]|νᾶι καὶ ἰδίαι, ἁ δὲ κοινοπολι[τείας] ἀΐδια ὑπάρχη ἀν[αγραφά].

vs. 10 (σ) deest in l.; ποιηεῖτε DS.

190 [^{2}129] Tei; cf. ad nr. 188. (ca. 170) — Cnosiorum decretum de asylo Teio. — CIG 3053. Le Bas III 81. Mi 65. DI 5136.

Κνωσίων. | ἔδοξε Κνωσίων τοῖς κόσμοις καὶ τᾶι πόλει· ἐπει|δὴ Ἡρόδοτος Μηνοδότω καὶ Μενεκλῆς Διονυσίω, | ἀποσταλθέντες πρεγγευταὶ πὰρ Τηΐων πορτὶ τὰς ἐν Κρήται πόλιας καὶ διατρίψαντεν τὸν πλεῖσ|τον χρόνον ἐν τᾶι ἁμᾶι πόλει, οὐ μόνον τὰν ἀπὸ τᾶς | ἀναστροφᾶς εὐταξίαν ἀπεδείξαντο, ἀλλὰ καὶ ἐπε|δείξατο Μενεκλῆς μετὰ κιθάρας πλεονάκις τά τε | Τιμοθέω καὶ Πολυίδω καὶ τῶν ἁμῶν ἀρχαίων ποιητᾶν καλῶς καὶ ὡς προσῆκεν ἀνδρὶ πεπαιδευμέ|νωι· ὅπᾶι ὦν ἴσαντι Τήιοι, ὅτι ἁ πόλις ἀποδέδεκται | τὸς τοιούτος τῶν ἀνδρῶν, δεδόχθαι ἐπαινέσαι | τάν τε τῶν Τηΐων πόλιν ἐπὶ τῶ τοιούτος ἄνδρας | πέμψαι, ὁμοίως δὲ καὶ τὸς πρεγγευτάς, Ἡρόδοτον καὶ Μενεκλῆν, ὅτι καλῶς καὶ εὐτάκτως ἐνδεδα|μήκαντι· τὸς δὲ κόσμος δόμεν ἀντίγραφον τῶδε | τῶ ψαφίσματος, σφραγίξαντας τᾶι δαμοσίαι σφρα|γῖδι, ἀποκομίσαι Ἡροδότωι καὶ Μενεκλεῖ πρὸς Τηΐος, | ἵν' ἐπιγνῶντι καὶ αἰεί ποκα πρόνοιαν ποΐωνται τῶν τοιούτων ἀνδρῶν.

vs. 11 ἴσᾶντι coni. ὡς νύνᾶται nr. 179 VIII 20.

191 [^{2}132] Deli. Stela marmorea. Post 167 (DI). — Cnosiorum decretum de honoribus Dioscuridae grammatico tribuendis. — Homolle BH 4, 352/63. DS 722 ^{3}721. Mi 447. DI 5150.

ἔδοξεν Κνωσίων τοῖς κόσμοις καὶ τᾶι πόλι. ἐπειδὴ | Διοσκουρίδης Διοσκουρίδου καθ' ὑοθεσίαν δὲ Ἀσκλη|πιοδώρου Ταρσεὺς γραμματικὸς διὰ τὰν εὔνοιαν ἃν | ἔχει πορτὶ τὰν ἁμὰν πόλιν συνταξάμενος ἐγκώμιον κατὰ τὸν ποιητὰν ὑπὲρ τῶ ἁμῶ ἔθνιος ἀπήστελ|κε Μυρῖνον Διονυσίω Ἀμισηνὸν ποιητὰν ἐπῶν καὶ με|λῶν τὸν αὐτοσαυτῶ μαθετάν, διαθησιόμενον τὰ | πεπραγματευμένα ὑπ' αὐτῶ· ὑπὲρ ὧμ Μυρῖνος πα|ραγενόμενος παρ' ἁμὲ καὶ ἐπελθὼν ἐπί τε τὸς κόσμος καὶ τὰν ἐκκλησίαν, ἐμφανία κατέστασε διὰ τᾶν ἀκρο|α[σίω]ν τὰν τῶ ἀνδρὸς φιλοπονίαν τάν τε περὶ τὸ | ἐπιτάδουμα εὐεξίαν, ὁμοίως δὲ καὶ τὰν εὔνοιαν ἃν | ἔχει πορτὶ τὰν πόλιν, ἀνανεώμενος αὐτ(ὸ)ς τὰν προγο|νικὰν ἀρετάν, δι' ἐγγράφω ἐπ[έδει]ξε, καὶ τοῦτο πεδὰ πλίονος σπουδᾶς καὶ φιλοτ[ιμί]ας τὸν ἀπολογισ|μὸν

πο(ι)ιόμενος, καθὼς ἐπέβαλλ[ε] ὑπὲρ ἰδίω παιδε[υ]|τᾶ· ἐφ᾽ ὧν καὶ τὸ πλῆθος τῶν πολιτᾶν, ἀκούσαντεν | τὰ πεπραγματευμένα καὶ τὰν [ὅ]λαν αἵρεσιν τῶ ἀν|δρός, ἃν ἔχων τυγχάνει εἰς τὰν ἁμὰν πόλιν, ἀπεδέξατο μεγάλως· ὅπᾶι ὦν καὶ ἁ πόλις τῶν Κνωσίων | φαίνηται εὐχάριστος ἰόνσα καὶ τὸς καλὸς κἀγα|θὸς τῶν ἀνδρῶν ἀποδεχομένα καὶ τιμίονσα | τάς τε καταξίανς χάριτανς ἀπιδιδόνσα τοῖς | εὐεργετῆν αὐτὰν προαιριομένοις καὶ φανερὰν καθιστάνσα ἐς πάντας ἀνθρώπος⟨ος⟩, ἃν ἔχει διά|λαμψιν ὑπὲρ τῶν εὐνόως διακειμένων πορ|τ᾽ αὐτάν, δεδόχθαι τᾶι πόλι· ἐπαινέσαι Διοσκουρί|δην Διοσκουρίδου καθ᾽ ὑοθεσίαν δὲ Ἀσκληπι|οδώρου ἐπὶ τοῖς πεπραγματευμένοις ὑπ᾽ αὐτῶ καὶ τᾶι προαιρέσει ἃν ἔχων τυγχάνει ἐς τὰν | ἁμὰν πόλιν. ἦμεν δὲ αὐτὸν καὶ πρόξενον | καὶ πολίταν τᾶς ἁμᾶς πόλεος, αὐτὸν καὶ ἐσγό|νος, καὶ πεδέχεν θίνων καὶ ἀνθρωπίνων | πάντων ὧν καὶ αὐτοὶ Κνώσιοι πεδέχοντι· ἦμεν δὲ αὐτοῖς καὶ ἔγκτησιν γᾶς καὶ ο(ἰ)κίας καὶ | ἀσφάλειαν πολέμω καὶ εἰρήνας καὶ καταπλέον|σι ἐς τὸς Κνωσίων λιμένας καὶ ἐκπλέονσι, αὐ|τοῖς καὶ χρήμασι τοῖς τούτων ἀσυλεὶ καὶ ἀσπον|δεί. ὅπᾶι δὲ καὶ τοῖς ἐπιγινομένοις ἀείμναστος ὑπάρχηι ἁ τᾶς πόλεος ἐκτενὴς προαίρεσις | καὶ φανερὰ ἦι ἁ εὔνοια τοῖς γνησίως καὶ ἐνδόξως | τῶν καλλίστων ἐπιταδουμάτων προεστακόσι | καὶ τ(ὰν) πορτ᾽ αὐτὰν εὔνοιαν αὔξεν προαιριο|μένοις, ἀναγράψαι τόδε τὸ ψάφισμα ἐς στάλαν λιθίναν καὶ ἀνθέμεν ἐς τὸ ἱερὸν τῶ Ἀπέλ|λωνος τῶ Δελφιδίω. αἰτήσαθθαι δὲ καὶ τόπον | Ἀθηναίων τὸνς ἐν Δάλωι κατοικίοντας καὶ θέ|μεν ἐν τῶι ἱερῷ τῶ Ἀπέλλωνος λαβόντας τὸν | ἐπιφανέστατον τόπον· γράψαι δὲ περὶ τούτων τὰμ πόλιν πορτὶ Ἀθηναίος τὸς ἐν Δάλοι κατοι|κίοντας καὶ πορτὶ τὸν Ταρσέ(ω)ν δᾶμον, ὑποτά|ξαντας τὸ ἀντίγραφον τῶδε τῶ ψαφίσματος. | αἱρέθη ἐπὶ τᾶς ἀναθέσιος τᾶς στάλας Μακκιάδων Θαρυμάχω καὶ Λεόντιος Κλυμενίδα.

Post 100 Brause 21. vs. 2 *Διοσκ.*: cf. B Keil AM 20, 441, 2. 13 (*ο*) DS.: *ω* l. 16 (*ι*): *ρ* l. 25 ⟨*ος*⟩, *ἃν* Wilh.; *ὅσαν* priores. 35 (*ι*): *σ* l. 43 *τ*[*ὰν*) aut *τοῖς* (*τὰν*) Wilh.; *τοῖς* l. 51 (*ω*): *ο* l. De formis *μαθετ.* vs. 7 et *προαιρ.* vs. 43 cf. Kieckers IF 27, 82. 108.

192 In vico *Κάλαμι* prope *Ἁγίαν Βαρβάραν*. Marmor. — Dedicatio. — de Sanctis MA 18, 346/8. DI IV p. 1036.

Ἑ]ρταῖος Ἀμνά|του Κωρῆσι τοῖς | πρὸ καρταιπό|δων ἀρὰν καὶ | [χα]ρι[σ]τήιον.

vs. 5 *χαρ.*: cf. DI IV p. 1169. De Curetibus cf. ABS 15, 308/65.

193 [²121] Dreri; nunc Constantinopoli. Stela marmorea a quattuor lateribus inscripta. III ex. aut II in. — Iusiurandum epheborum. — Rangabé Antiq. hell. 1855 nr. 2477. Vischer KlSchr 2, 104/15. Dethier WienBer

30, 431/68. Halbherr Mus. it. 3, 657/68. Mi 23. DS 463 [3]527. DI 4952. So 34. Bu 113. Cf. Danielsson Epigraphica (Upsala un. årsskrift 1890), 1/27. 64 sq.

(A) θεός. τύχα. | ἀγαθᾶι τύχαι. | ἐπὶ τῶν Αἰθαλέ|ων κοσμιόντων τῶν σὺγ Κυίαι καὶ | Κεφάλωι Πυρωι|πίωι Βισίωνος, | γραμματέος | δὲ Φιλίππου, | τάδε ὤμοσαν ἀγελάοι παν|άζωστοι ἑκα|τὸν ὀγδοή|κοντα· ὀμνύω | τὰν Ἑστίαν τὰν ἐμ πρυτανείωι | καὶ τὸν Δῆνα τὸν | Ἀγοραῖον καὶ τὸν Δῆ|να τὸν Ταλλαῖον καὶ τὸν Ἀπέλλωνα | τὸν Δελφίνιον καὶ | τὰν Ἀθαναίαν τὰν | πολιοῦχον καὶ τὸν | Ἀπέλλωνα τὸν Ποίτιον καὶ τὰν Λατοῦν καὶ τὰν | Ἄρτεμιν καὶ τὸν Ἄρεα | καὶ τὰν Ἀφορδίταν καὶ | τὸν Ἑρμᾶν καὶ τὸν Ἅλιον | καὶ τὰν Βριτόμαρ(τι)ν καὶ τὸμ Φοίνικα καὶ τὰν | Ἀμφι[ώ]ναν καὶ τὰγ Γᾶν | καὶ τὸν Οὐρανὸν καὶ | ἥρωας καὶ ἡρωάσσας | καὶ κράνας καὶ ποταμοὺς καὶ θεοὺς πάντας | καὶ πάσας· μὴ μὰν ἐγώ | ποκα τοῖς Λυττίοις | καλῶς φρονησεῖν | μήτε τέχναι μήτε μαχανᾶι μήτε ἐν νυκτὶ | μήτε πεδ' ἀμέραν. καὶ | σπευσίω, ὅτι κα δύναμαι, | κακὸν τᾶι πόλει τᾶι τῶν | Λυττίων. (B) δικᾶν δὲ καὶ πρ[αξί]ων μηθὲν ἔνορκον | ἤ(μ)ην. καὶ τέλομαι | φιλοδρήριος καὶ | φιλοκνώσιος | καὶ μήτε τὰμ πόλιν προδωσεῖν | τὰν τῶν Δρηρίων | μήτε οὐρεῖα τὰ | τῶν Δρηρίων | μηδὲ τὰ τῶγ Κν[ω]σίων, μηδὲ ἄν|δρας τοῖς πο|λεμίοις προδω|σεῖν μήτε Δρη|ρίους μήτε Κνωσίους· μηδὲ στά|σιος ἀρξεῖν, καὶ | τῶι στασίζοντι | ἀντίος τέλομαι, | μηδὲ συνωμοσίας συναξεῖν | μήτε ἐμ πόλει | μήτε ἔξοι τᾶς πόλεως, μήτε | ἄλλωι συντέλεσθαι· εἰ δέ τινάς | κα πύθωμαι συ|νομνύοντας, | ἐξαγγελίω τοῦ | κόσμου τοῖς πλίασιν. εἰ δὲ τάδε | μὴ κατέχοιμι, | τούς (τ)έ μοι θεούς, | τοὺς ὤμοσα, ἐμ|μάνιας ἤμη⟨ι⟩ν πάντας τε καὶ πά|σας καὶ κακίστῳ | ὀλέθρωι ἐξόλλυ|σθαι αὐτός τε | καὶ χρήϊα τἀμά, καὶ μήτε μοι γᾶν | καρπὸν φέρειν (C) [μήτε μοι γ]υναῖκας | [τίκτει]ν κατὰ φύ|[σιν μήτ]ε πάματα· [εὐορκί]οντι δέ μοι | [τοὺς] θεούς, τοὺς | [ὤμοσα], ἱλέους ἤμεν | [καὶ πολ]λὰ κἀγαθὰ | δι[δό]μ[ε]ν. ὀμνύω δὲ τὸς αὐτὸς θεούς· | ἦ μὰν ἐγὼ τὸγ κόσ|μον, αἴ κα μὴ ἐξορ|κίξοντι τὰν ἀγέ|λαν τοὺς τόκα ἐγδυομένους τὸν | αὐτὸν ὅρκον, τόν|περ ἁμὲς ὀμωμό|καμες, ἐμβαλεῖν | ἐς τὰν βωλάν, ἇι κα ἀποστᾶντι, | τοῦ μηνὸς τοῦ Κο|μυνοκαρίου ἢ τοῦ | Ἀλιαίου· ἁ δὲ β[ω]λὰ | πραξάντων ἕκαστον τὸν κοσμί|οντα στατῆρας | πεντακοσίους, | ἀφ' ἇς κα ἐμβάληι ἀμέρας, ἐν τριμήνωι. | αἰ δὲ λισσὸς εἴη⟨ι⟩, | ἀγγραψάντων | ἐς Δελφίνιον, | ὅσσα κα μὴ πράξωντι χρήματα, | τοὔνομα ἐπὶ πατρὸς | καὶ τὸ πλῆθος τοῦ ἀρ|γυρίου ἐξονομαίνον|τες· ὅτι δέ κα πράξοντι, ταῖς ἑταιρείαισιν | δασσάσθωσαν ταῖς | ἐμ πόλει, καὶ αἴ πεὶ | τινεν οὐρεύωντι Δρήριοι. (D) αἰ δὲ μὴ πρά[ξαι]εν ἁ βωλά, αὔ[τοὶ] | τὰ διπλόα ἀ[ποτει]|σάντων, πρα[ξάν]|των δὲ οἱ ἐρευταὶ | οἱ

τῶν ἀνθρωπίνων καὶ δασσάσθωσαν | ταῖς ἑταιρείαισιν | κατὰ ταὐτά.

τάδε ὑπομνάμα|τα τᾶς Δρηρίας χώρας τᾶς ἀρχαίας τοῖς | ἐπιγινομένοις ἀζώ|στοις. τόν τε ὅρ|κον ὀμνύμεν | καὶ κατέχειν. καὶ οἱ Μιλάτιοι | ἐπεβώλευσαν | ἐν τᾶι νέαι νε|μονηίαι τᾶι πόλει τᾶι τῶν Δρηρίων ἕνεκα τᾶς | χώρας τᾶς ἁ|μᾶς, τᾶς ἀμφιμαχόμεθα. | νικατὴρ τᾶς ἀγέλας | - - | καὶ ἐλαίαν ἕ|καστον φυτεύ|ειν καὶ τεθραμμέναν ἀποδεῖ|ξαι· ὃς δέ κα μὴ | [φ]υτευσεῖ, ἀπ[ο-|]τεισεῖ στατῆρας πεν|τήκοντα.

Tit. redintegratus e multo antiquiore *βουστρ.* scripto (DI). vs. 1 Inter verba *ϑ.* et *τ.* est signum disiunctionis Ξ. 6 *Π. Β.*: *Β.* gen. nominis viri, non mensis (DS); cf. Brause 50. 10 sq. *π.* Lipsius LpzAbh 27, 409: *πάν(τες) ἄζωστοι* Hermann. 15. 22 *Ἑστίαν, Δελφίνιον*: in aliis titt. Cret. *Ἱστία Δελφίδιος* (DI IV p. 1172); cf. Brause 73. 24 *Ποίτιος* Brause 13. 32 sq. 29 *(τι)*: *π* l.; vix - *π(ι)ν*; cf. DI IV p. 1172. 1203; G Meyer gr. Gr. ³235. 37 De Lyttiis Cnosiorum hostibus cf. Pol. IV 54 (DS). 46 *(μ)*: *η* l. 52 *οὐρεῖα* Brause 117. 64 *(μ)*: *λ* l. 77 *γε* l. DS; sed cf. nr. 198, 23. vs. 78 sq.: cf. ad nr. 38; *ἤμη⟨ι⟩ν* Brause 133, 2. 97 sq. 124 *πράξοντι*: coni. brevi vocali insignem Blass (DI) etiam vs. 119 sq. scripsit. 99 sq. cf. *τὰν ἀγέ]λαν τὰν τόκα ἐσδυομέναν* DI 5100, 18; *ἐγδύεσθαι· ἐξιέναι* Haussoullier RPh 18, 467; Lipsius l. c., de armis et cingulo, parte vestitus deponenda DS. 104 *ἆι* scil. *ἀμέραι* DI, *αἰ* alii. 106 sq. *τ. μ. Κ. κτλ.* intra mensem C. aut H. (accusationem fieri necesse est). Maiuri Rendiconti acc Lincei 19 (1910), 121. 107 *Ἁλιδίου (ὡς Δελφιδίου)*, cf. DI 5120, 3 voluit Maiuri l. c. 125. 127 sq. cf. Jacobsthal IF 21 suppl. 89. Post 155 vs. unus a lapidario deletus est.

---

194 Istrone. Lapis. — Aedificia sacra privato sumptu Latiorum aedificata. — Halbherr Mus. it. 3, 641/4. DI 5056.

Δ]αμάτ[ρι]ος Κίλικος καὶ ἁ σύ[μβιος] | αὐτῶ Εὐνομία ἐπὶ τῶι ἀφιδρύματι τὸν ναὸ|ν τῶ Ἄρεος καὶ τᾶς Ἀφροδίτας ἐποίησαν, ἐπεσκεύωσαν δὲ καὶ τὸν λάκκον καὶ τὸν περίπατον καὶ τῶι δικαίωι τὰς χειάς. καὶ ἀπὸ μέριος | τὸν χορὸν ἔχουσαν Δαμάτριος Κίλικος, Πο|λύτιμος Θαρσυφάνιος, Θίων Δαμοχάριος, | Ἀντιπάτας Πύρωνος, Θιοκλῆς Φύλα|κος, Ἐνίπας Μναστίωνος, Τύμων Κορύπτα, Πάγων Πάγωνος τῶ Θιο|φείδιος, Πάγων Εὐθύφρονος.

Latiorum esse tit. Brause 14, 1 e nominibus conclusit. vs. 5 sq. *ὁ δίκαιος* serpens templi mansueta videtur. DI; *ἀπὸ μ.* pro sua parte quisque. Mus. it.; *χορὸν*: cf. nr. 197, 68. *ἔχουσαν* a verbo *χοϝω*. Mus. it. (cf. Brause 16, 3).

---

195 Deli. Stela marmoris candidi. II ex. - Latii et Olontii Cnosiis mandant arbitrium controversiarum. — Dürrbach et Jardé BH 29, 204/9. DI IV p. 1034 sq.

ἀγαθᾶι τύχαι. ἐπὶ τῶν Αἰθαλέων κοσμιόντων Κνωσοῖ μὲν τῶν | σὺν Κύδαντι [τ]ῶ Κύδαντος μηνὸς Ἐλχανίω, Λατοῖ δὲ ἐπὶ

τῶν | σὺν Διοκλεῖ τῶ Ἡρώδα μηνὸς Βακινθίω, ἐν δὲ Ὀλόντι τῶν
σὺν Τη|λεμάχω τῶ Γνώμιος μηνὸ[ς] Ἀ . . . νίω, πρειγευσάντων
Κνωσίων τᾶς πόλιος ἐπί τε τὰν τῶν Λατίων πόλιν καὶ ἐπὶ τὰν
τῶν Ὀλοντί|ων καὶ παρακαλεσάντων τὰμ μὲν ἐνεστακυῖαν πορτ᾽
ἀλλάλους | διαφορὰν καὶ ἀμειξίανς ἆραι, περὶ δὲ τῶν ἀμφιλλεγο-
μένων | πόλι πορτὶ πόλιν δόμεν αὐτοῖς τὰν ἐπιτροπάν.

ἔδοξε Λατίοις καὶ Ὀλοντίοις ἐπακολουθῆσαι καθὼς παρακα-
λίοντι Κνώσιοι· καὶ ἔδωκαν [τ]ὰν ἐπιτροπὰν πάντα περὶ | πάντων·
κρινόντων δ᾽ ἁ πόλις τῶν Κνωσίων οἵ κα ἐπὶ Κύδαν|τος κοσμί-
ωντι ἐν δεκαμήν[ωι] ἅ κα αὐτοῖς δοκῆ δίκαια ἦμεν· | τὰ δὲ κρι-
θέντα καὶ ἀναγραφέ[ντα] ὑπὸ τῶν Κνωσίων βέβαι[α] | καὶ κύρια
ἦμεν ἐς τὸν ἅπαντα [χρό]νον, καὶ μηκέτι ὑπολείπεσθαι αὐτοῖς
ἔγκλημα μηθὲμ [παρ]ευρέσει μηδεμιᾶι· καὶ ἀν|γραφήτω τὰ εὐδοκη-
μένα κα . . . . εντα Κνωσοῖ μὲν ἐν τ[ῶι] | ἱαρῶι τῶ Ἀπόλλωνος τῶ
Δελφι[δίω] καὶ ἐν τῶι ἱαρῷ τῶ Ἄρεος | [τῶι] Δέρα ἐν στάλαι,
Λατοῖ δὲ ἐν [τῶι] ἱαρῶι τᾶς Ἐλευθυίας, ἐ[ν δὲ | Ὀλόντ]ι ἐν τῶι
ἱαρῷ τῶ Ζηνὸς τῶ [Ταλλ]αίω, ἐν δὲ [Δ]ά[λωι ἐν τῶι ἱαρῶι τῶ
Ἀπόλλω]νος· δό[ντων] δὲ Λάτιοι [καὶ Ὀλόν|τιοι τούτω τῶ ἐν-
γρόφω ἑκά]τερο[ι χέρα] τᾶι τῶ[ν Κνωσίων πόλι | καὶ αὐτοσαυτοῖς
ὑπὲρ δὲ] το[ῦδε τῶ ἐνγρό]φω ἐ[ς Δᾶλον ἀποστη|λάντων κτλ.].

vs. 2 sqq. *τῶ* gen. loco dat. *τῶι*; cf. Jacobsthal IF 21 suppl. 138 sq.; Brause
20 sq. — *Ἐλχ.*: cf. *Βελχάνια* Lytti BH 13, 61 sqq., *ϝελχανος ϝευκανος* (Phaesti
Brause 48). 3 *Βακ.* cf. Brause 12 sq.; Kretschmer Wiener Eranos 1909, 118/21
KMeister Die homerische Kunstsprache (1921) 197, *πρὸ ϝακ.* nr. 83 A 17. — 3.
Ὀλόντι Ὀλοντίων: cf. Brause 110 sqq. 51 (*Βολόεντι* DI 5075, 39). 7 *ἁ* - ⟨ς⟩ *ὃ*
Wilhelm BH 29, 577; quamquam est *ἤραντας* DI 5015, 8. 17 sq. cf. *ἐν τῶι ἱαρῶ*
τῷ Δέραι DI 5149, 13. — Cf. tit. ^{2}120 = DI 5149.

196 Ex urbe *Λατοῦς πρὸς Καμάραι.* Tabula lapidis calcarii. ca. 100. —
Dedicatio. — *Ξανθουδίδης* EA 1908, 225/9. DI IV p. 1041 sq.

θιοί. ἀγαθᾶ[ι τύ]χαι. | ἐπὶ τῶν Ὑλλέων κοσμιόντων τῶν σὺν
Κυδάννωι τῶ Ἐνίπαντος Βέργιος τῶ Εὐαγόρω, | Λαττύγω τῶ Δα
μοχάριος, Πορθεσίλα τῶ Ἀντιπάτα, | Φείδωνος τῶ Δάλλω, Πορ
θεσίλα τῶ Κλη[σ]ίππω, | Κλητωνύμω τῶ Μναστοκλεῖος, γραμμα
τέος | Μνάστωνος τῶ Μναστοκλεῖος ἁ πόλις | τᾶι Ἀθαναίαι τᾶ
Λεραμίτι καὶ τᾶι Ἐλευθυίαι | τὸς ναὸς καὶ τὸν περίβολον ᾠκο
δόμησε.

vs. 3 *Βεργ.*: cf. Brause 51. 4 sq. *Πορθ.*: cf. Fick-B. 240; Solmsen U. 94 s
S *Λεραμίτι*: *τῆι ἐν Λέραι* (cf. nr. 195, 18)?

2. Tituli Cretae orientalis (nr. 197—201).

197 Itani. Cippus marmoris candidi. III in. — Foedus Hierapytniorum et Prasiorum. — AJReinach REGr 24, 378/91. DI IV p. 1204 sq.

- - - | *διαθέμε|νος τὰ ἴδια | ἑκάτερος | ἑκατέρη, ὅ[ς] κα ἦι ἔνφυ|λος καὶ οὕ|τω πολιτ|ευέσθω μ|[ε]τέχων καὶ θίνων κ|αὶ ἀνθρωπί|νων πάντ|ων, παραιτ|ησάμενος τὰν αὐτῶ π|όλιν· ἐς ὁπ|οτέραν δέ | κα πόλιν ἕρ|πηι πολιτεύσων, δια[ψ]|αφιζέσθ[ω]|ν ἐν κυρ[ία]|ι ἐκκλησία|ι, πότερ[ον δ]οκεῖ πολ[ιτεί]|αν δε[δόσθ]|αι ἢ μή· κα[ὶ α]|ἴ κα ἀντίθ[ε]|τοι ψᾶφοι [γ]ένωνται τ|ρεῖς, μὴ ἔσ|τω πολίτ|[ας]. ἐπινομὰ | [δ' ἔ]στω τῶ[ι τε] Ἱεραπ|[υτνί]ωι ἐν τ|[ᾶι Πρ]αισίαι, | [χ]ῶρι τῶν τ|[ε]μενέων τῶν ἐν Ἀρ|δανιτοι κ|αὶ ἐν Δαρο[ι,] | καὶ τῶι Πρ|αισίωι ἐν τᾶι Ἱεραπ|υτνίαι, ἀ|[σ]ινέας ἐόν|[τας, ὥ]ς δὲ κα[τ|ελθ]όντας | [ἑ]κατέρος ἐς | τὰν ἰδίαν· | αἴ δέ κα λῆι ὁ | [Ἱ]εραπύτνι|[ο]ς αὐλοστατε͂ν ἐν τᾶ[ι] | Πραισίαι, σ|υνκριτὰν [ἐ]|χέτω Πράι|σιον· ὡσαύτως δὲ καὶ [ὁ] | Πράισιος α[ἴ] | κα λῆι αὐλ|οστατε͂ν ἐ|ν ταῖ Ἱεραπυτνίαι, συν|κριτὰν ἐχέ|τω Ἱεραπύ|τνιον· χορὸ|ς δὲ καὶ δρόμος συνκοί|νος ἦμεν ἑ|[κα]τέροις τ[ο|ῖ]ς τε Ἱεραπυ|τνίοις ἐμ Π[ρ]αίσωι καὶ τ|οῖς Πραισί[οι|ς] ἐν Ἱερα[πύ|τ]ναι· δι[κ]|αστὰν . εδ . .*

vs. 27 sq. an *καἴ* i. e. *καὶ αἰ*? 45 sqq. restituit Fraenkel (DI); *ὡς δὲ κ.* i. e. ea condicione ut redeant in terras suas, ne maneant(?). 53 *Πράισιον*: nomen erat *Πρᾶισος* (aut *-ός*), hodie *'ς τοὺς Πρασσούς*; cf. v. Wilamowitz H 40, 151 sq. 54 sq. 62 sq. *αὐλοστατε͂ν* DI. 78 *δι[κ]|αστὰν*? DI; *δι . . . \ σταν* l. [45 sqq. melius *ἀ. ἐόν[τα]ς δὲ κα[θέ(ρ)π]οντας* Wilhelm WienBer 183, 3, 19/21].

---

198 [²116] Hierapytnae. Lapis. II (paullo post 146/5 D.). — Hierapytniorum foedus cum cleruchis ictum. — CIG 2555 (secundum Gruterum aliorumque apographa). DI 5039. Deiters De Cretensium titt. publ. quaest. epigraph. Diss. Bonn. (Jenae 1904) p. 18/25.

(*initium supplevit* Deit.) - - *ων | [- - τ]ὰν δ' ἰσοπο|[λιτείαν - ἐς πάντα τὸν χρόν?]ον, ἀγγραψάντων | [δὲ καὶ τὰν συνθήκαν ταύταν ἐς] στάλας λιθίνας τρεῖς κ[αὶ ἀνθέντων τὰν μὲν οἱ ἐπίπαντες ἐ|ν Ἱεραπύτναι ἐν τῶι ἱερῶι τᾶς Ἀθανα[ί|ας τᾶς πολιάδος, τὰν] δὲ ἄλλαν οἱ κατοικόντες Ἱεραπύτνιοι | [Πραισοῖ?] ἐν τῶι ἱερῶι τῶ Ἀσκλαπιῶ, τὰν δὲ τρίταν κοινᾶι | [Ὠλεροῖ] ἐν τῶι ἱερῶι τᾶς Ἀθαναίας. αἰ δέ τί κα δόξηι βωλευομέ|[νο]ις ἐπὶ τῶι κοινᾶι συμφέροντι ἐπιδιορθῶσαι ἢ ἐξελὲν ἢ ἐνβαλέν, (ὅτι μὲν ἐξέλοιμεν,) μὴ ἔνορκον ἔστω· ὅτι δὲ ἐ[γ]γράψαιμεν, ἔνορκόν τε ἔστω καὶ | ἔνθινον. ὅρκος· ὀμνύω τὰν Ἑστίαν καὶ Τῆνα Ὀράτριον καὶ Τῆνα | Δικταῖον καὶ Ἥραν καὶ Ἀθαναίαν Ὠλερίαν καὶ Ἀθαναίαν πολιάδα | καὶ Ἀθαναίαν Σαμωνίαν καὶ Ἀπόλλωνα Πύτιον καὶ Λατὼ καὶ Ἄρ[τε]|μιν καὶ Ἄρεα καὶ Ἀφροδίταν καὶ Κωρῆτας καὶ Νύμφας καὶ τὸς Κυρβάν-*

τας καὶ θεὸς πάντας καὶ πάσας· ἦ μὰν ἐγὼ εὐνοησῶ τοῖς ἐπί|πασι Ἱεραπυτνίοις τὸν ἅπαντα χρόνον ἁπλόως καὶ ἀδόλως, καὶ | τὸν αὐτὸν φίλον καὶ ἐχθρὸν ἑξῶ καὶ πολεμησῶ ἀπὸ χώρας παντὶ | σθένει, υἷ κα οἱ ἐπίπαντες Ἱεραπύτνιοι, καὶ τὸ δίκαιον δωσῶ καὶ | ἐμμενῶ ἐν τοῖς συγκειμένοις καὶ οὐ κακοτεχνησῶ οὐθὲν τῶν ἐν τᾶιδε τᾶι ἰσοπολιτείαι γεγραμμένων οὔτε λόγωι οὔτε ἔργωι | οὐδὲ ἄλλωι ἐπιτραψῶ ἑκὼν καὶ γινώσκων παρευρέσει οὐδεμιᾶι | οὐδὲ τρόπωι οὐθενί. αἰ δέ τι ἐπιορκήσαιμι τῶν ὤμοσα ἢ τῶν συνε|θέμαν, τός τε θεὸς τὸς ὤμοσα ἐμμάνιας ἦμεν καὶ ἐξόλλυσθαι | κακίστωι ὀλέθρωι καὶ μήτε γᾶν μήτε δένδρεα καρπὸς φέρεν μήτε γυναῖκας τίκτεν κατὰ φύσιν, τῶι τε πολέμωι νικε͂σθαι. εὐορ|κῶσι δὲ ἁμὶν τός τε θεὸς ἱλέος ἦμεν καὶ γίνεσθαι πάντα ἀγαθά.

De nomine Hierapytnae cf. Brause 32; in nummo 400/350 *Ιραπυ* (Head 468). vs. 10 verba *ὅτι κτλ.* addidit D., collatis DI 5041, 6. *μὴ ἔ. ἔ.* *iam* ne iurata sunto (D.); cf. *μὴ ἔναρον ἔστω μηδὲ ἔνορκον . . . ἐναρόν τε καὶ ἔνορκον* Itani, II (DI IV p. 1207 nr. 39, 6sq.). 11 *Τῆνα* D.; in nummo aet. Caes. legitur *Τὰν Κρηταγενὴς Ἱερα(πυτνίων)* Head 469.

---

199 [²118] Hierapytnae. Tabula marmorea. III ex. — Foedus Hierapytniorum et Magnetum. — Le Bas* RPh 1 (I. ser.), 264. Naber Mn 1 (1852), 114/8. Mi 30. DI 5042.

[θε]ός. | ἔδοξεν Ἱαραπυτνίων τοῖς κόσμοις τοῖς σὺν Ἀλεξάνδρωι καὶ τ(ᾶι) πόλι, Μαγνήτων ἀποστηλάντων | πρεσβευτὰς Θεόδοτον Ἀντιόχω καὶ Ἀριστόμαχον Ἀριστοκλέος καὶ ἀ|νανεωμένων τὰν πατρίαν οἰκειότατα καὶ φιλίαν καὶ ἀξιώντων τὰ γεγραμμένα παρ' αὐτοῖς Κρησὶν τίμια καὶ παρ' ἁμὶν ἀναγραφῆμεν κατὰ τὰ αὐτὸ Μά||[γν]ησι καὶ θέμεν ἐν ἱαρῶι, ἀγαθᾶι τύχαι καὶ ἐπὶ σωτηρίαι Ἱαραπυτνίων καὶ Μαγνήτων, ἀν||[αγράψαι] τὸς κόσμος ἐς στάλαν λιθίναν· Μάγνησιν ἀτέλειαν καὶ προεδρίαν κ[αὶ ἐπι|γαμίαν] καὶ ἔνκτησιν καὶ θείων καὶ ἀνθρωπίνων μετοχὰν καὶ ἐσαγωγὰν κ[αὶ ἐξ|αγωγὰν] ὑπάρχεν κατὰ τὰ ἀρχαῖα, καὶ θέμεν τὰν στάλαν ἐν τῶι ἱαρῶι [τᾶς] Ἀθαναίας τᾶς πολιάδος. εἰ δέ τίς κα ἀδικηθῆι Μάγνης ἐν Ἱαραπύτναι, [δό]||μεν αὐτῶι τὸ δίκαιον καθάπερ καὶ τοῖς προξένοις. ἐπαινέσαι δὲ Μάγν[η|τας], διότι διαφυλάσσοντι τὰ παρ δεδομένα ὑπὸ τῶν προγόνων καὶ ἐπὶ πλέο[ν αὔ]||ξοντι, καὶ τὸ πρεσβευτάς, ὅτι οἰκήιως καὶ φιλοτίμως διελέχθεν καὶ παρ[εκάλε]||σα ἀξίως Μαγνήτων καὶ Ἱαραπυτνίων, καλέσαι τε τὸς πρεσβευτὰς [ἐ πρυ]τανῆιον καὶ δόμεν αὐτοῖς ξένια ἀργυρίω μνᾶν καὶ παρπέμψα μετ' ἀ[σφα]||λείας, υἷ κα βώλωνται. οἱ κόσμοι πάντες ἐπεστάτον.

In eadem tabula scripta sunt foedera Hierapytniorum cum Rhodiis (nr. 28 et Lyctiis (²117 = DI 5041) icta.

200 In sacro Dictaeo. Tabula calcaria. II p. post. — Sacra ab Hierapytniis restituta. — Ξανθουδίδης ΕΑ 1908, 196/207. DI IV p. 1038.

ἐπὶ τᾶς Καμιρίδος κοσμόντων | τῶν σὺμ Βουάῳ τῶ Ἀμφέροντος | ἐπεμελήθεν ἐν τῶι ἱερῶι τῶ | [Τ]ηνὸς Δικταίω τὰ ἀρχαῖα [ἀ-]γάλματα θαραπεύσαντες | [προ]ςεπισκευῶσαι καὶ χρυσῶ|[σαι] Ἀθαναίαν Ἄρτεμιν Ἄτλαν|[τα τ]ὰς Σφίγγας ἀστραγαλίσ|[αι] ἐπὶ τῶν ὑποποδίων καὶ . . . . (ο)ιδα Δία Ἥρας πρόσωπον | [Λατῶ]ν καὶ Νίκαν ἀναγράψαι. | [οἵδ' ἐκ]όσμιον· Βούαος Ἀμφέ|[ροντος Ἀκ]άσσων Βραμισαλ- | -ς Εὐρυκάρτεος -Εὐρυκάρτεος | -υθεος | -ς Μοιρίλ[ω].

vs. 2 cf. ad nr. 195, 2. 5 *θαραπ.*: cf. W Schulze KZ 42, 206. 6 [*προ*]*ς*. Wilh. 12 *σ*(*μ*) priores, *μ* in imagine.

201 Itani. Stela lapidis cani. ca. 267. — Proxenia. — Halbherr Mus. it. 3, 568/70. Mi 444. DI 5059. Ditt Or 45.

θεο[ί]. | κόσμου γνώμα. ἔδοξ[εν Ἰτα]|νίων τᾶι βουλᾶι καὶ τᾶι ἐ[κ]|κλησίαι· ἐπειδὴ Πάτροκλ[ος] Πάτρωνος Μακεδών, ἀπο[σ]|ταλεὶς ὑπὸ βασιλέος Πτο|λεμαίου στραταγὸς ἐς | Κρήταν, ἀνὴρ ἀγαθὸς καὶ δί|καιος ἐγένετο περὶ τὰν τῶν Ἰτανίων πόλιν, καὶ πολλὰ | συνήργησε τοῖς Ἰτανίοις, ὅ|πως τά τε κατὰ τὰν πόλιν ἀσ|φαλέως ἔχηι, πολιτευομέ|νων τῶν Ἰτανίων κατὰ τοὺς νόμους, καὶ τὰν χώραν μετὰ | πάσας ἀσφαλείας νέμωνται, | δεδόχθαι τοῖς Ἰτανίοις ποιή[σ]ασθαι αὐτὸν πρόξενον | [καὶ εὐεργέταν καὶ αὐτὸν καὶ ἐκγόνους].

3. Tituli Cretae occidentalis (nr. 202—205).

202 Polyrrhene. Basis calcaria rotunda. BC IV/III, A III/II redintegratus. — Dedicationes. — Myres JHSt 16, 183sq. Savignoni MA 11, 333/6. DI 5117.

A *ἐπὶ δαμιοργῶν ἁ πόλις | ἐπεσκεύασαν | ἐπὶ Σωκράτεος Στρατοκύδεος, | Βουλαγόρας Ὀρούα, Ἄνδροιτος Ἀριστίωνος, | Θεόδωρος Σώσω, Ἀνδροκλῆς Σώσω.*

B *ἐπὶ δαμιοργῶν Ὀνάσανδρος Παρμένοντος, | Οἰωνικλῆς Ἀσκύδα, | Ὀρύας Πίθω.*

C *Τασκαιννάδας Σώσω, | Θάλης Μενεδάμω.* (*a dextra*) *ἐπὶ Αἰγύλω ἱαριτεύοντος. | Καλλίκριτος ἐποίησε.*

A 4 *Ὀρούα*: in B et in aliis titt. *Ὀρύας* Brause 11. C *Τασκ.*: cf. nr. 17.

203 [^{2}124] Tei; cf. ad nr. 188 (ca. 201). — Cydoniatarum decretum de asylo Teio. — CIG 3055 (vss. 1 et 2). Le Bas III 64. Mi 54. DI 5168.

Κυδωνιατᾶν. | Κυδωνιατᾶν ἁ πόλις καὶ οἱ ἄρχοντες Τηΐων τᾶι βωλ[ᾶι] | καὶ τῶι δάμωι χαίρειν. ἐπειδὴ [Τήι]οι φίλοι καὶ συγγενεῖς |

ὑπάρχοντες διὰ προγόνων τᾶι πόλει ψάφισμα καὶ πρεσβευτὰς ἀπεστάλκαντι Ἀπολλόδοτον καὶ Κωλώταν, οἳ | ἐπελθόντες ἐπὶ τὰν ἐκκλησίαν τό τε ψάφισμ(α) ἀπέδω|καν καὶ αὐτοὶ διελέγην ἀκολούθως τοῖς γεγραμμένοις, | τὰν ἐκτενεστάταν σπουδὰν καὶ φιλοτιμίαν ποιόμε|νοι περὶ τῶ γενέσθαι τὰν καθιάρωσιν τῶι Διονύσωι τᾶς τε πόλιος καὶ τᾶς χώρας τᾶς Τηΐων καὶ τὰν ἀσυλίαν, ἔτι | δὲ καὶ τἆλλα τὰ ὑπάρχοντα αὐτοῖς ἔνδοξα καὶ τίμια εἰς | τὸν θεὸν ψαφιξαμένος καὶ αὐτὸς συναύξεν καὶ αἰεί τι|νος ἀγαθῶ παραιτίος γενέσθαι τῶι δάμωι, καὶ ὅτι ταῦτα | ποιήσαντες ἀκόλουθα πράξομεν τᾶι τε [συγγενείαι καὶ τᾶι] ποτὶ τὸ θεῖον εὐσεβείαι καὶ τὰ μέγιστα χαρι[ξόμεθα τῶι] | δάμωι· ἀποκρίνασθαι Τηΐοις φίλοις καὶ οἰκεί[οις ὑπάρχονσι], | ὅτι τὸν Διόνυσον καὶ αὐτοὶ σεβόμεθα καὶ τὸν Τηΐω[ν δᾶμον] | συγγενέα ὄντα ἀσπαζόμεθα καὶ ἐπαινῶμεν, δ[ι]ό[τι κα]|λῶς καὶ ἐνδόξως καὶ καταξίως τῶ⟨ι⟩ θεῶ⟨ι⟩ προεστάκαντι· ἕνεκα ὧν καὶ παρ' ἁμῶν τὰ καλὰ καὶ τίμια δίδοται τῶι θεῶι, | καὶ Τηΐων τάν τε πόλιν καὶ τὰν χώραν ἀνίεμεν ἱερὰν καὶ | ἄσυλον νῦν τε καὶ εἰς τὸν ἄλλον χρόνον πάντα καὶ πει[ρα]|σώμεθα αἰεί τινος ἀγαθῶ παραίτιοι γίνεσθαι τῶι δάμωι | καὶ κοινᾶι καὶ ἰδίαι. εἰ καί τινες ἄγωντι Τηΐος ἢ τὸς κατοικόντας παρ' αὐτοῖς, οἱ κόσμοι καὶ ἄλλος ὁ λῶν Κυδωνια|τᾶν ἢ Τηΐων ἀφελόμενοι καὶ διδόντες τοῖς ἀδικη|μένοις κύριοι ἔστωσαν. ἔρρωσθε.

vs. 6 (α) deest in l. 14 *καὶ τ.* Wilh. 24 *εἰ καί τινες*: exspectes *εἴ τινές κα* (DI).

---

204 [²128] Tei; cf. ad nr. 188 (ca. 170). — Apteraeorum decretum de asylo Teio. — Le Bas III 75. Mi 61. DI 5181.

Ἀπτεραίων. | Ἀπτεραίων οἱ κόσμοι καὶ ἁ πόλις Τη|ΐων τᾶι βωλᾶι καὶ τῶι δάμωι χαίρειν. | παραγενόμενοι οἱ παρ' ὑμέων πρεγγευταί, Ἡρόδοτος Μηνοδότω Μενεκλῆς | Διονυσίω, τό τε ψάφισμα ἀπέδω|καν, ἐν ὧι ἐγράψατε ἀνανεώσασθαι | τάν τε συγγένειαν καὶ τὰν πρου|πάρχωσαν φιλίαν τά τε δεδομένα τίμια ὑπὸ τᾶς ἁμᾶς πόλεως ἐν τοῖς | πρότερον χρόνοις καὶ τὰν καθιέρωσιν | τᾶς πόλιος καὶ τᾶς χώρας τῶι Διονύ|σωι, παρεκαλεῖτε δὲ καὶ ἀναγράψαι | τὸ πρότερον δόγμα ἐν ὁποίῳ κα κρίνωμεν ἱερῶι, διελέγη(σ)αν (δὲ) καὶ οἱ παρ' ὑ|μῶν πρεγγευταὶ ἀκολούθως τοῖς ἐν | τῶι ψαφίσματι ἀποφαίνοντες τάν | τε πόλιν εὐσεβῶς διακειμέναν | πρὸς πάντας τὸς θεός, μάλιστα δὲ πρὸς τὸν Διόνυσον ὄντ(α) ἀρχαγέταν | τᾶς πόλεως, ὧι καὶ καθιερῶσθαι συν|βέβακε τάν τε πόλιν καὶ τὰν χώραν, | ὑπέρ τε τῶν λοιπῶν πᾶσαν σπου|δὰν καὶ φιλοτιμίαν πο[ι]τάγοντες διελέγην· διὸ καὶ δεδόχθαι ἀποκρίνασθαι | τῶι δάμωι τῶι Ἀπτεραίων Τηΐοις | οὖσιν συγγενέσι καὶ φίλοις, διό|τι ἔν τ…

τοῖς πρότερον χρόνοις τυγ|χάνομεν εὐσεβῶς διακείμενοι ποτὶ πάντας τὸς θεός θ' ἡμῶν [μάλιστα δὲ] | καὶ τὸν Διόνυσον, δι' ὃν καὶ πρότερον τάν | τε ἀσυλίαν ὑμῖν ἐδώκαμεν καὶ καθι|ερώσαμεν τὰν χώραν καὶ τὰν πόλιν, | τετηρηκότες δὲ τὰ προδεδομένα ὑμῖν φιλάνθρωπα μέχρι τοῦ νῦν, πειρά|ξομεν καὶ εἰς τὸν λοιπὸν χρόνον | διαφυλάσσειν ἀν(α)νεωσάμενοι ἃ | παρεκαλεῖτε διὰ τοῦ ψαφίσματος, καὶ | οὐκ ἀδικέομεν Τηΐος συγγενέας καὶ φίλος ὑπάρχοντας οὔτε πολέμου | οὔτ' εἰράνας καθότι οὔτε πρότερον, | πειράξομεν δὲ καί, ἐάν τινες ἀδικῶν|τι Τηΐος ἢ κατὰ κοινὸν ἢ κατ' ἰδίαν ἢ κα|τὰ γᾶν ἢ κατὰ θάλασσαν ἐόντας ἱαρὸς καὶ ἀσύ(λ)ος, βοαθεῖν αὐτοῖς καθότι | ἂν ὦμεν δυνατοί. καὶ ἐάν τινες ὁρμι|όμενοι ἐξ Ἀπτέρας ἀδικήσωντι Τη|ΐος, εἶναι αὐτὸς ἐνόχος τῶι τῆς ἱερο|συλίας νόμωι. ἀγγραψάτωσαν δὲ καὶ Τήιοι τὰν ἀνανέωσιν ἐς τὸ ἱερὸν | τῶ Διονύσω, ὅπως φανερὰ ᾖ πᾶσι τοῖς | Ἕλλησι ἡ τῶν Ἀπτεραίων εὐσέβεια | πρὸς πάντας τὸς θεός. ἀναγραψῶμεν | δὲ καὶ ἁμὲν τό τε πρότερον δόγμα καὶ τὰν ἀνανέωσιν ἐς τὸ ἱερὸν τὸ | τᾶς Ἀρτέμιδος τᾶς Ἀπτέρας. ἐκαλέσα|μεν δὲ καὶ ἐπὶ ξένια τοὺς πρεγγευτὰς | [ἐπὶ τὰ]ν κοινὰν ἑ[στίαν]. ἔρρωσθε.

De nomine Apt. cf. KMeister IF 18, 150. vs. 15 (*σ*): *ν* l.; (*δὲ*) deest in l. 20 (*α*) deest in l. 30 suppl. Wilh. 37 (*α*): *ε* l. 45 (*λ*): *α* l.

---

205 [²131] Apterae. Lapis. ca. 150. — Proxenia. — CIG 2558. Haussoullier BH 3, 431. Mi 446. DI 4945.

ἀγαθᾶι τύχαι. ἔδοξε τ[ᾶι β]ωλᾶι | καὶ τῶι δάμωι· Κλησθ[έν]ης Σώ|σω εἶπε· Ἀντίοχον καὶ Ἀγαθοκλ|ῆν Σωσιγένεος Ἱεροπολίτας προξένος ἦμεν αὐτὸς καὶ | ἔγγονα, ὑπάρχεν δὲ αὐτοῖς καὶ | ἰσοπολιτείαν καὶ γᾶς καὶ οἰκίας | ἔνκτησιν καὶ ἀτέλειαν εἰς|άγωσι καὶ ἐξάγωσι καὶ κατὰ γᾶν καὶ κατὰ θάλασσαν καὶ ἐν | πολέμῳ καὶ ἐν εἰρήνᾳ ἀσυλὶ καὶ | ἀσπονδί.

---

206 Magnesiae ad Maeandrum. Paullo ante 200. — Cretum foederis decretum commenticium; cf. nr. 128. — Kern Gründungsgeschichte von M. (1894), 14. Sakolowski Mythographi graeci II 1 p. XXIV. Mi 438. IvM 20.

πα[ρ]ὰ τοῦ κοινοῦ τῶν Κρητῶν· | [ἔ]δοξεν Κ[ρ]ηταιέων τῶι κοινῶι συνελ|[θ]ουσᾶν [τ]ᾶμ πολίων πασᾶν ἐς Βίλκω|να ἐς τὸ ἱε[ρ]ὸν τῶ Ἀπέλλωνος τῶ Βιλκωνίω, ἁγουμένων Γορτυνίων ἐπὶ | κόσμω⟨ι⟩ Κύδαντος τῶ Κυννίω· ἐπει|δὴ Μάγνητες οἰκεῖοί ἐντι καὶ φίλοι Κρη|ταιέων πάντων, ἔδοξεν δέ τισιν αὐ|τῶν ἐς τὰν Ἀσίαν ἀποικίαν στείλασθαι, ὑπάρχειν Μάγνησιν πᾶσιν οἰκειότατα | καὶ φιλίαν ἀγήρατον καὶ ἐμ πρυτανεί|ωι σίτησιν, καὶ εἰςάγουσιν καὶ

ἐξάγουσιν ἀτέ|λειαν εἶμεν ἀσυλεὶ καὶ ἀσπονδεὶ κατὰ πᾶ|σαγ Κρήταγ καὶ ἔγκτησιν καὶ πολιτείαν, δόμεν δὲ αὐτοῖς ἀποπλέουσιν ἑκάστα[μ] | πόλιν ἀργυρίω τέσσαρα τάλαντα κα[ὶ σῖ]|τομ πεπονημένον καὶ ἱερεῖα ὅσ' ἂν θέ[λω|σ]ιν [α]ὐ[τ]οὶ εἰς θυσίαν, [π]ροπέμψαι [δὲ] | αὐτοὺς μέχρι εἰς τὰν Ἀσίαν ταῖς μακραῖς ναυσὶν καὶ συμπέμψαι αὐτοῖς τοξό|τας εἰς πεντακοσίους ἄνδρας, προ|πέμψαι δὲ καὶ ἀσπάσασθαι αὐτοὺς καὶ | ἄνδρας καὶ παῖδας καὶ γυναῖκας καθ' ἁ|λικίαν καὶ τοὺς ἱερεῖς καὶ τὰς ἱερείας· τὸ δὲ ψάφισμα τόδε εἰστάλαν λιθίναν | ἀναγράψαντας ἀναθέμεν εἰς τὸ ἱερὸν τῶ | Ἀ[πέλ]λωνος τῶ Βιλκωνίω, δόμεν δὲ καὶ Λευ|[κίππωι τ]ῶι Λυκίωι τῶι καθαγεμόνι γενομένωι εἰς τὰν Ἀσί|[αν Κρήτα]ς πάσας πόλεις ἀργυρίω τάλαντον· τὸ δὲ ψά[φισμα τ]ὸ ἐπὶ ἱερέως Ἀγαιμένιος τῶ Λ[απ]παίω - -.

Specimen dialecti Creticae facticiae; cf. nr. 174 et v. Wilamowitz H 30, 190 (IvM). vs. 3 *Βίλκων*: locus ignotus Cretae; cf. *Βιλκωνίου* vs. 27 et *Ἐλχανίου* nr. 195, 2. 27 *Λευκ.*: ille qui Magnesiam condiderat (IvM).

206g Ex aliis titt. Cretensibus (cf. DI IV p. 1103 sqq.). *ἀβλοπία* (cf. *καταβλάπεθαι*). *ἀμεϝύσασθαι*. *ἀμφεληλεύθεν*. *ἀντάτας*. *ἀπαμίαι* (EA 1914, 226 nr. 4, 20; cf. *ἀφαμιῶται*? Fick KZ 42, 288; Bechtel GöttNachr 1920, 252). *ἀτιτάλτας*. *αὐταμεριν*. *δεδαισμένον* (cf. *καρποδαισταί*). *δέφυρα*. *δηράς*. *δίαλσις*. *ἐσπράττας*. *ἐντιτός*. *ἐπόττας*. *ἐσπρεμμίττεν*. *εὐάμερος* (f.). *εὐνομία* (cf. *συνευνομιῶται*). *ϝαρήν*. *βώιαν* (= *ὤιαν*). *καταλοβεύς* (cf. *Θορύσταρτος*). *κίαται* (= *κέαται*). *κραύρ[ας?]*. *τὸν κριθθὸν* (?) *κοῖλον*. *οἶις*, *οἶιν*. *οἰκετήιαν*. *ὀπυστιῖ*(*ὀπυίω*). *παρλελόνβηι*. *πέλεθρα*. *περιαμπάξ*. *περιαμπέτιξ*, *-ις* (*περιαππ.*). *ῥᾶχος* *στανύω*. *τελίσκω*. *τιτουϝέσθō* *τιτοϝτός* *τιτύϝος*. *τριῶδελον*. *τὰ τρίτρα*. *ψάφιγμα*, *-ιμμα*. *ψίνοντος* (scil. *μηνός*. Teni, II; Gortyniorum decr. IG XII 5, 2, 867) *ὦρος*. Nomina Graeca fluviorum: *Ἀγκαίας* *Ἀκάμας* *Κυμαῖος* *Τηλεφίλας* *Φαραγγίτας*, locorum *Ἀχερδόεις* *Ἱππάγρα* *Καταβαθμός* *Μολοχᾶς* *Πλυμών* *Πρυμνίτισσα* *Ῥιγρᾶν* (gen. pl.) *Σπινόεις* *Στιώτιον* *Συωνία*(?). Mensum nomina (cf. Deiters [ad nr. 198] p. 38 sq.; Maiuri Rendiconti acc Lincei 1910 [19], 109/29): Cnosiorum *Ἐλχάνιος* *Καρνῆιος* *Καρ[ά]νιος* (M.) *Κορώνιος* *Νεκύσιος* *Σπέρμιος*, Gortyniorum *Ἀμυκλαῖος* *Λεσχανόριος* (cf. *Λεσχανάσιος* nr. 654, 29), Latiorum *.αρ.ωβιάριο* *Βακίνθιος* *Θερμολαῖος* *Θεσμοφόριος* *Θιοδαίσιος*, Olontiorum *Ἀπελλαῖος* *Δελφίνιο* *Ἐλευσύνιος* *Ἡραῖος*, Dreriorum *Ἀλιαῖος* *Κομνοκάριος*, Apteraeorum *Δικτυνναῖος* Hierapytniorum *Ἱμάλιος*, Prasiorum *Διονύσιος*, Priansiorum (*Πριανσιέων* Hea 476) *Δρομῆιος*.

VII. Tituli Melii et Theraei cum Cyrenaicis (nr. 207—237)

De litteratura cf. Kirchh. A. 60/74; Wiedemann Klio 8, 525. 9, 365. — I aliquot titt. vetustioribus soni *ο*, *ō* (= att. *ου*) a sono *ω* distinguuntur; certe Me C = *ο*, *ō*, O = *ω* (nr. 208. 210 AB), haud ita certe Therae O = *ο*, *ō*, ⊙ = (nr. 214/5); cf. ad nr. 769 sqq.

1. Tituli Melii (nr. 207—213).

207 [[2]133] Columna marmoris Parii; olim Venetiis in museo Naniano. VI p. pr. — Dedicatio. — Post Italos editores (Zanetti 1755 aliosque) CIG 3. Im 14. Rob 7. E 740. Ricci MA 2, 270/76. IG XII 3, 1075. DI 4871. Mi 1171. Kern t. 4. Ge 19. Cf. AA 18 (1903), 29sq. (imago columnae); Elter RhM 66, 212/5; Bannier BphW 1914, 1437/40.

παῖ Διός, Ἐκπhάντōι δέκσαι τόδ' ἀμενπhὲς ἄγαλμα·
σοὶ γὰρ ἐπευκhόμενος τοῦτ' ἐτέλεσσε γρόπhōν.

γρ. (cf. nr. 209) de sculpenda columna (Boeckh) *χαράττων* aut de pingendo anathemate (Studniczka; IG); *Γρ.* post alios Elter.

---

208 [[2]135, 2] Basis s. ara lapidis nigri vulcanii. VI. — Dedicatio. — Post Turner (1820) CIG 2434. Im 16. BritM 336. IG XII 3, 1076. DI 4873.

Δαμοκρέων | ἀνέθηκε.

---

209 [[2]134] Fragmenta duo columnae marmoris Parii Olympiae reperta. V in. — Dedicatio. — Kirchh. AZ 36, 143 sq. (a). Purgold ib. 39, 86 (b). IGA 12 et add. IvO 272. DI 4872. Cf. Kirchh. A. 74, 1.

Θρασυμάχō παῖδες τō Μαλίō — ⏑ ⏑ — ⏓ |
τōι Δὶ Δάιαλκος καὶ ⏑ ⏑ — με ἀ[νέθεν]. |
γρόφōν ἐποίε̄ Μάλιος Καγō[⏑κλ]ε̄ς.

vs. 2 — ⏑ ⏑ — *με ἀ[νέθε̄καν]* IvO.

---

210 Tituli sepulcrales. De aetate cf. Kirchh. A. 71 sqq. — Im. 14/6.

A [[2]135, 1. 3/8]. VI. — IG XII 3, 1128. 1130. 1132/3. 1166. 1138/40. DI 4889. 4891. 4892a. 4893/4. 4899/4901. Kern t. 4. 5.

1) *Ἀρι||στο|βία | Βōλοκρ|[άτε|ος].* — 2) *Ἀρχι|ῶι Ἀγ|αθοκ|λέος.* — 3) *Εὔδ|αμο|ς Λά|μπω|νος.* — 4) *Ἐχετ|ίμα | Λυσ|ι . . . .* — 5) *Θεο[ν]|νὼ Δα|τίμ|[ō]* IGA (*Θεο(β)ōλα Τιμ[οκ]ρ - -* IG). — 6) *Ὀρθ|όλα | Λυκ|όφρ|ο-νος.* — 7) *Σμί|θων | Ἀνδ|ραπό|μπō.* — 8) *Τυχα|ρέτα | Βρου|κίων|ος.*

B [[2]136, 1/3] V. — IG XII 3, 1153/4. 1156. 1161. DI 4911/2. 4914. 4918.

1) *Δαμ|αγό|ρα Τ|εμβ|ρια|ίō.* — 2) *Ε[ὐ]ερ|γέτα|ς Ἀλε|ξιπό|[λ]ιος.* — 3) *Μέλ|[ι]ππ|ος Ε|ὐχέ|λα.* — 4) *Ἀγλ|ῶν.*

4 cf. Fick-B. 42sq.

C [[2]137, 1. 2. 3] litteratura Ionica; paullo post bellum Peloponnesiacum. — IG XII 3, 1176/7. 1179/81. 1184. 1186. DI 4927/8. 4930/2. 4935. 4937.

1) *Ἀκουσα|γόρας | Στρόμβιος.* — 2) *Ἀνδ|ροπε|ίθης | Κυδ|ίμō.* — 3) *Εὔφρ|ις Εὐ|ρυφι|λίδ[α].* — 4) *Ἐξακ|έστα|ς Φι|λίō.* — 5) *Κλιό|νφας.* — 6) *Σωκλείδας Κόπριος.* — 7) *Χαιρ|εσὶς | Ἐρίφō.*

5 Ad *Κλιόνφας* affert Hiller v. G. *Ἐπόνφε̄ς | Ἀθε̄ναῖος | Πανδιονίδος φυλε̄ς | Κυθε̄ρριος* IG XII 3, 1187 (416/04[a]), Epomphem Melium fuisse statuens Attica civitate donatum: cf. Fick-B. 224.

211 [²138] Basis statuae. IV. — Dedicatio. — Tissot BH 2, 522. IG XII 3, 1096. DI 4879.

Θεοδωρίδας Λαιστράτō | Ποσειδᾶνι.

---

212 [²139] Tabula marmoris albi. II/I. — Honores. — Brest BH 3, 256. IG XII 3, 1084. DI 4875.

Ἐπιάναξ Ἁγησιμένου | τὰν αὑτοῦ γυ|ναῖκα | καὶ Ὀνόμαρχος Ἐπιάνα|κτος τὰν ματέρα Θεύκλει|αν Ἀσκλαπιῷ καὶ Ὑγείαι.

---

213 [²140] Basis magna marmoris albi. ca. 150. — Honores. — *Πιττάκης* EA 1859, nr. 3507. IG XII 3, 1097. DI 4883.

ὁ δᾶμος ὁ Μαλίων ἐτίμασεν | τὰν Ῥώμαν εἰκόνι χαλκέαι | καὶ στεφάνωι χρυσέωι | ἀρετᾶς ἕνεκεν καὶ εὐερ|γεσίας τᾶς εἰς αὑτόν. Infra: Πολιάνθης Σωκράτευς | ἐποίησε.

Πολ.: cf. DS 305.

---

2. Tituli Theraei cum Cyrenaicis (nr. 214—237).

a) Tituli Theraei (nr. 214—228).

Ad nr. 214—219 cf. Im 1—6. De vi litterarum *H* et *E* in titt. Ther. antiquissimis quae eadem est atque in titt. vetustissimis Cretensibus (supra p. 80 VI) egit Bechtel GöttNachr 1920, 249/51.

214 Nomina hominum in rupibus inscripta. Sin., sed ductu interdum dex. circumflexo. Antiquissima VII. — IG XII 3, 536/7. 540. 543/4. 591 et suppl. p. 307 sqq. DI 4787/8. 4790. 4792/3. 4805.

1) [²145] *Πhειδι(π)πίδας ὤιπhε.* — *Τιμαγόρας καὶ Ἐνπhέρης καὶ ἐγὢιπh[ομες].* — *Ἔνπυλος τάδε* (*scil.* *ἐνεϝόπτετο*). — *πόρνος* (*dex. alia manu supra additum*). — *Ἐνπεδοκλῆς ἐνεϝόπτετο τάδε ϝώρκhε̄το μὰ τὸν Ἀπό(λ)λω* (*dex.*)

2) [²144] [*μὰ τὸν*] .... *καὶ τὸν Δελπhίνιον Η Κρίμων τε̄δε ὤιπhε παῖδα, Βαθυκλέος ἀδελπhεόν.*

3) *Λαϙυδίδας ἀγαθός.* — *Εὔμηλος ἄριστος* (*cetera incerta*).

4) *Βάρβακς ὀρκhε̄στά[ς] τε ἀγαθὸς* (*cetera incerta*) — *Ἀστύοϙhο* (*dex.*) — Ge 3. — 5) [²141, 5] *Θhαρυμάκhας ἀγαθός.* — 6) [²146, 7] *Πσήι* — 7) *Παλεύς.*

5 *Θhα(ρ)ρ.*: sed cf. Hiller v. G. KZ 50, 12; Be D 1, 40.

---

215 Tituli sepulcrales. 1—5 sin., 6—10 dex. VII p. post. (Kirchh.) — IG XII 3, 762/5. 769. 1608 (suppl.). 787. 799 (= 1612 suppl.). 1613 (suppl.). 812 DI 4808/11. 4816. 4818. 4821. 4824.

1) [²142] Stela a quattuor lateribus inscripta. — Ῥεκσάνωρ. Ἀρχhαγέτας (dex.). Προκλῆς (dex.). Κλεαγόρας. Περαιεύς.. — Ἀγλῶν. Περίλας. Μάληϙος. — Λεοντίδας (dex.). — Ὀρθοκλῆς (dex.)

2) [²141, 9] Πρακσίλαι με Θhαρύμαϙhος ἐποίε̄. — 3) [²141, 2] Βάρων. — Ἐπάγατος ἐποίε̄. — 4) [²141, 8] Κριτοπhύλο̄. — 5) [²141, 1] Ἅβρο̄νός ΗΕμι. — 6) Λᾶρϙhος. — 7) [²146, 3] Θαρυπτόλεμος. — 8) [²146, 8] ϙοί[ρα]νος. — 9) Χηρίας. — 10) Βάκαλος.

1 Ῥ. ἀ. IG; cf. Wackernagel Gl 7 suppl. 213. Μαλ.: cf. nr. 417, 1. 672. 2. 7 cf. Θα(ρ)ρῆς IG XII 3, 573 et nr. 214, 5. 3 Cf. Ἐμβάρης IG XII 3, 437 (IG), Ἐμβάραι FdD III 1, 315; Be hPN 92. 5 ηεμι: cf. ηελασε (nr. 301, 9; GMeyer gr. Gr.³ § 486, 2; Kretschmer AM 21, 431. IG). 10 Cf. βάκηλος gallus Magnae Matris (Kretschmer. IG).

216 Nomina, deorum praecipue, quorum maior pars rupi ipsi inscripta est prope templum Apollinis Carnei. — IG XII 3, 356. 359/61. 1371 (suppl.). 370/1 (6; suppl. 1311/2). 1313 suppl. (7). 404. 425. DI 4713. 4716/8. 4723. 4727/8 (6). 4733 (8). 4734.

1) Ἀπό(λ)λο̄ν. — 2) Διόσϙο̄ροι. — 3) Κhίρο̄ν. — 4) Λοχ(h)αία Δαμία. — 5) Γ]αιάοχος. — 6) [²141, 3] Ηερμᾶς ἄριστος. — ϙόρας. Κ(h)άριτες. — 7) Ζηύς (alias Ζεύς). — 8) Ηικέσ[ιος]. — 9) Ζε̄νό[ς].

4. 6 (h) desunt in l. 4 Damia et Auxesia Epidauriorum (in titt. Μνία καὶ Ἀζοσία, Αὐξ., apud Hdt V 82 Δαμίη καὶ Αὐξησίη): cf. λοχαῖος σῖτος· ὁ βαθύς. Wil. (IG). 5 cf. nr. 12, 9. 7 cf. Jacobsohn KZ 43, 43.

217 [²146, 6] Lapis niger vulcanius formae ovalis. — Im 5. IG XII 3, 449. DI 4735. Ge 18.

Εὐμάστας με ἄηρεν ἀπὸ χθονὸς hο Κριτοβόλο̄.

Cf. lapidem Bybonis nr. 420 (IG). Εὐ. Be hPN 295.

218 Lapis niger vulcanius formae ovalis. Ante 600. — Hiller v. G. H 36, 113 sq. IG XII 3 suppl. 1638. DI IV p. 798. 807.

Ημ[ιστα]|τῆρος ⁝ ΗΕνατον.

Ημ. = hημ. (DI); ad hένατον cf. nr. 323 D 7 et Bechtel GöttNachr 1920, 253; h e praecedentibus numeralibus ἕκτος ἕβδομος (ὄγδοος) translata; aliter est ηε in nr. 215, 5.

219 In rupe incisus. VI/V. — Tit. sacralis. — Hiller v. G. H 36, 134/9. IG XII 3 suppl. 1324. Im 6. DI IV p. 794. So 31. Bu 107. Cf. Nilsson Griech. Feste 1906, 125 sq.

Ἀγλο̄τέλης πράτισ|τος ἀγορὰν hικάδι |
Κα[ρ]νῆια θεο̄ν δεί|πν[ι]ξεν hο̄νιπαντίδα |
καὶ Λακαρτο̄ς.

ἀγορὰν (i. e. Ἀγορῆια cena dei qualis Agoreis datur; cf. nr. 220), θέο̄ν Ν.; ἀγορὰν θεο̄ν Studniczka alii. hο.: hο Ἐ.

220 Ante portam specus qui nunc est ecclesia, in ipsa rupe incisus. IV. — Lex sacra. — Weil AM 2, 65. IG XII 3, 452. DI 4772. Bu 108.

Ἀρταμιτίο̄ τετάρται | πεδ' ἰκάδα θυσέοντι | ἱαρόν, Ἀγορήιοις δὲ | [δ]εῖπνογ καὶ ἱα[ρ]ὰ πρὸ το̄ σαμήιο̄.

---

221 Stela marmoris albi. IV. — Lex sacra. — Goettling Bull. Inst. 1841, 57 sq. CIG 2465f (add.). Mi 715. IG XII 3, 436. DI 4765. DS 630 [3]1032. LS 2, 128. So 32. Bu 109. Laum Stiftungen in der griech. und röm. Antike (1914) II nr. 42; cf. ib. I p. 62.

οὖροι ⁝ γᾶς | θεῶν ματρί. | θεὸς ἀγαθᾶι τ|ύχαι ἀγαθοῦ δαίμονος. θυσία | Ἀρχίνου· τῶι ἔτ|ει τῶι πρατίστ|ωι θύσοντι βοῦ|ν καὶ πυρῶν ἐγ μεδίμνου ⁝ καὶ | κριθᾶν ἐγ δύο μ|εδίμνων καὶ οἴνο|ν μετρητὰν καὶ ἄλλα | ἐπάργματα ὧν αἱ ὧραι φέρουσιν, μηνὸς Ἀρτε|μισίου πέμπται ἱσταμ|ένου καὶ μηνὸς Ὑακινθίο|υ πέμπται ἱσταμένου.

Cf. [[2]147] *οὖροι Ἀθαναίας* IG XII 3, 411. DI 4755; *Οὔριον ἄνω* nomen loci in agrorum commentario aetatis recentissimae IG XII 3, 345, 11 (ib. vs. 6 *Ποσιδάνιν*).

---

222 In saxo prope templum Apollinis. Litt. Ionica. — Lex sacra. — Post Hogg (1856) Weil AM 2, 73. IG XII 3, 378. DI 4742.

Ὑλλέων | Νύμφαι. | δοιαί (*scil. sacrificia*)· *οὐκ ἀποφορά* (cf. nr. 251 *saepius*).

---

223 In rupe prope laconicum quod est in epheborum gymnasio. IV/III. — IG XII 3 suppl. 1316. DI IV p. 795. DS[3] 1036.

Ζεὺς Μηλί|χιος τῶν | περὶ Πολύ|ξενο|ν.

---

224 Lapis calcarius caeruleus rudis. III(?). — IG XII 3 suppl. 158 DI IV p. 796.

μὴ πιβῆν.

Cf. *μὴ θίν|γανε* IG XII 3, 451; *ἄβατον* ib. 453/5; *ἄβατον ἡρώισ|σας Φερβώλας* ib. suppl. 1626.

---

225 Basis cylindrata. III/II. — Dedicatio. — IG XII 3, 489. DI 477

Καρτιδάμας Γοργώπα καὶ | Ἐνιπαγόρεια Εὐαγόρα | τὸν υἱὸ Εὐαγόραν | θεοῖς.

---

226 Stela lapidis calcarii. III/II. — Honores. — IG XII 3, 322. DI 469

vs 3 *-θήσωντι τὰ γεγενημένα -- | με .... λαβόντες τόδε τ ψάφισμα παρὰ τοῦ | γραμματέος διαπεμψάσθων Κνιδίων προστα[τ]αις καὶ [τῶ]ι δάμωι [σφ]ραγιξαμένων τῶν ταμι|ᾶν τᾶι [δαμ]οσία σφραγῖδι· ὁ δὲ κ[ο]μί[ζ]ων τὸ ψάφισμα | τὸ πα[ρ]' ἁμέ]ων παρακαλείτω Κνιδίος συγγε|νεῖς ὄντας καὶ φίλος καὶ εὔνο[υ]ς τοῦ δάμου*

ἀναγορεῦσαι [τὸν σ]τέφανον καὶ τὰς τιμὰς Διονυσίων ἐν τ[ῶ]ι πράτωι ἀγῶνι τῶι μουσικῶι, | [κ]αὶ ἀπ[ο]δε[ῖξα]ι τόπ[ο]ν τὸν ἐπιταδειότατον | καὶ ἐπιφανέστατον, ἐς ὃν ἀνατεθησεῦνται | ΑΛΑΙ.. ΛΕ... ἀναγραφησεῦντ[ι α]ἱ δεδομέ|ναι τιμαὶ ὑπὸ Θηραίων Ἀν[δ]ροθέμι, ὅπως εἰδῆσ[ωντι] οἱ Κνίδιοι, ὅτι τὸς αὐτὸν εὐεργετεῦντας | καὶ ἐν παντὶ καιρῶι ἀπόδειξιν ποιευμένος | τᾶς ποτ' αὐτὸν εὐνοίας ἔω[θε] ὁ δᾶμος εὐεργε|τέν. ἀναγραψάντων δὲ καὶ οἱ ἔφοροι τόδε τὸ ψά|φισμα ἐστάλαν λιθίναν καὶ θέντων ἐς τὸ ἱαρὸν τοῦ Ἀπόλλωνος τοῦ Πυθίου. τὰ δὲ ἐς ταῦτ[α] | ἀναλώματα δόντων οἱ ταμίαι ἀπὸ τᾶν θεσίων.

Initium suppl. Wilh.: [*ὅπως δὲ καὶ Κνίδιοι παρακολου*]*θ*. vs. 12sq. de formis *ἀνατ.*, *ἀναγρ.* Wackernagel Gl 7 suppl. 216.

---

227 [²2148] Quattuor tabulae marmoris fusci, quae partes erant basis amplae; Veronae in museo Maffeiano. ca. 200. — ,Testamentum Epictetae'. — Post Gruterum (1707) Maffeiumque CIG 2448. BKeil H 23, 289/302. Ricci MA 2, 69/158. Rij 24 A. IG XII 3, 330 (et suppl. p. 285). Mi 1001. DI 4706. Laum Stiftungen in der griech. und röm. Antike (1914) II nr. 43 (cf. I p. 68/70. 214 sq. etc.). Cf. P-W 6, 123/6.

A (*nomina statuis subscripta*) Ἀνδραγόρας Φοίνικος. Ἐπικτήτα Γρ[ί]ννου. Κρατησίλοχος Φοίνικος.

B (*testamentum Epictetae*) I ἐπὶ ἐφόρων τῶν σὺν Φοιβοτέλει | τάδε διέθετο νοοῦσα καὶ φρονοῦσα Ἐπικτήτα | Γρίννου μετὰ κυρίου Ὑπερείδους τοῦ Θρα|συλέοντος, συνευαρεστούσας καὶ τᾶς θυγατρὸς Ἐπιτελείας τᾶς Φοίνικος. εἴη μέν μοι ὑγιαι|νούσαι καὶ σωιζομέναι τὰ ἴδια διοικέν· εἰ δέ τί κα | γένηται περί με τῶν ἀνθρωπίνων, ἀπολείπω | κατὰ τὰν γεγενημέναν μοι ὑπὸ τοῦ ἀνδρὸς | Φοίνικος ἐντολὰν τοῦ καὶ κατασκευαξαμένου τὸ Μουσεῖον ὑπὲρ τοῦ μεταλλαχότος ἁμῶν | υἱοῦ Κρατησιλόχου καὶ ἀγαγόντος τὰ ζῶια | καὶ τὸς ἀνδριάντας ἑαυτοῦ τε καὶ Κρατησι|λόχου καὶ τὰ ἡρῶια καὶ ἐνευξαμένου, ὥστε | κατασκευάξαι με τὸ Μουσεῖον καὶ θέμεν τάς τε Μούσας καὶ τὸς ἀνδριάντας καὶ τὰ ἡρῶια· | μετὰ δὲ δύο ἔτη τοῦ ἀπολελειμμένου ἔτι | μου υἱοῦ Ἀνδραγόρα μεταλλάσσοντος τὸν | βίον καὶ ἐντειλαμένου ἐπιτελῆ με ποιῆσαι | τὰν τοῦ πατρὸς αὐτοῦ Φοίνικος ἐντολὰν καὶ θέμεν καὶ ὑπὲρ αὐτοῦ ὡς καὶ ὑπὲρ τοῦ πατρὸς | καὶ τοῦ ἀδελφοῦ τόν τε ἀνδριάντα καὶ τὸ ἡ|ρῶιον καὶ συναγαγὲν κοινὸν ἀνδρείου τῶν συγ|γενῶν καὶ δόμεν τῶι κοινῶι τοῦ ἀνδρείου δρα|χμὰς τρισχιλίας πόθοδον, ἀφ' οὗ συναχθησοῦντι· ἐπιτετέλεκεῖα οὖν καὶ ἑστακεῖα πάν|τα κατὰ τὰς ἐκείνων ἐντολὰς καὶ τὸ κοινεῖ⟨ν⟩|ον συναγαγοχεῖα τῶν συγγενῶν, ὧν καὶ τὰ ὀνό|ματα ὑπογέγραπται, ὥστε συνάγεσθαι τὸ κοι|νὸν ἐν τῶι Μου-

σείωι, δίδωμι δραχμὰς τρισχιλίας τῶι προδεδηλωμένωι κοινῶι τοῦ ἀνδρεί|ου τῶν συγγενῶν, ὥστε ὀφείλεσθαι αὐτὰς ἐπὶ | τοῖς ὑπάρχουσί μου αὐτοκτήτοις χωρίοις τοῖς | II ἐμ Μελαιναῖ[ς - - - κλα]|ρονόμων κα[ὶ - - - -]χου. ἀπολείπω δὲ τὸ Μο(υ)σεῖον [καὶ τὸ τέμενος] | τῶν ἡρώιων τᾶι θυγατρί μου Ἐπ[ιτελείαι, ὥσ]|τε παραλαβοῦσαν αὐτὰν καὶ τὰ[ν πόθοδον τῶν] | ἄλλων μοι ὑπαρχόντων τελὲν κα[θ' ἕκα-σ]|τον ἔτος ἐμ μηνὶ Ἐλευσυνίωι δραχμὰ[ς δια]κοσίας δέκα τῶι κοινῶι τοῦ ἀνδρείου [οὗ συν]|αγάγοχα τῶν συγγενῶν. μὴ ἐχέτω δ[ὲ ἐξου]|σίαν μηθεὶς μήτε ἀποδόσθαι τὸ Μουσεῖον [μή]|τε τὸ τέμενος τῶν ἡρώιων μηδὲ τῶν ἀγαλ|μάτων τῶν ἐν τῶι Μουσείωι μηδὲ τῶν ἐν τῶι τεμένει τῶν ἡρώιων μηθὲν μήτε κατα|θέμεν μήτε διαλλάξασθαι μήτε ἐξαλλο|τριῶσαι τρόπωι μηθενὶ μηδὲ παρευρέσει | μηδεμιᾶι μηδὲ ἐνοικοδομῆσαι ἐν τῶι τε|μένει μηθέν, εἴ κα μή τις στοὰν οἰκοδομῆσαι προαιρεῖται, μηδὲ χρῆσαι τὸ Μουσεῖον μηθενί, | εἴ κα μή τις τῶν ἐξ Ἐπιτελείας γάμον ποιῇ· | εἰ δὲ μή, κωλυέσθω ὑπὸ τοῦ κοινοῦ, καὶ κύρι|ον ἔστω τὸ κοινὸν κωλῦον τὸν τούτων τι ποι|οῦντα. μὴ ἐχέτω δὲ ἐξουσίαν μηδὲ ἐξενέγκαι τῶν ἐν τῶι Μουσείωι ὄντων μηθέν· εἰ δὲ μή, | κωλυέσθω ὑπὸ τοῦ κοινοῦ τῶν συγγενῶν, | καὶ κύριον ἔστω κωλῦον. τὰν δὲ ἱερατείαν τᾶν | Μουσᾶν καὶ τῶν ἡρώιων ἐχέτω ὁ τᾶς θυγα|τρός μου υἱὸς Ἀνδραγόρας, εἰ δέ τί κα πάθῃ οὗτος, ἀεὶ ὁ πρεσβύτατος ἐκ τοῦ γένους τοῦ Ἐπι|τελείας. ὁ δὲ ἀνδρεῖος τῶν συγγενῶν συν|αγέσθω ἐν τῶι Μουσείωι καθ' ἕκαστον ἔτος | ἐμ μηνὶ Δελφινίωι, λαμβάνων παρὰ τῶν δι|αδόχων μου τὰς διακοσίας δέκα δραχμάς, ἁμέρας τρεῖς ἀποδείξας ἐπιμηνίος ἐξ αὐ|τῶν, καὶ θυέτω τᾶι μὲν ἐννεακαιδεκάται | ταῖς Μούσαις, τᾶι δὲ εἰκάδι τοῖς ἥρωσιν ⟨Φοι⟩ | III Φοίνικι καὶ Ἐπικτήται, τᾶι δὲ ἀμφεικάδι | Κρατησιλόχωι καὶ Ἀνδραγόραι. εἰ δέ κα μὴ ἀπο⟨ι⟩δῶι Ἐπιτέλεια [ε]ἴ οἱ κλαρονόμοι αὐτᾶς ἐν τῶι Ἐ|λευσυνίωι μηνὶ τῶι ἀνδρείωι τῶν συγγενῶν | τὰς διακοσίας δέκα δραχμάς, ἔστω ἁ καρπεία | τῶν προδεδηλωμένων χωρίων τῶν ἐμ Μελαι|ναῖς τοῦ κοινοῦ τοῦ ἀνδρείου τῶν συγγενῶν ποτὶ τὰς διακοσίας δραχμάς· εἰ δέ κα προαιρῶνται | τὰν ἀσφάλειαν [δ]όμεν οἱ διάδοχοί μετ τῶι κοινῶι | τοῦ ἀνδρείου τᾶν τρισχιλιᾶν δραχμᾶν καὶ ἐς ἄλλα χωρία, ἐξουσίαν ἐχόντων διδόντες ἀσφαλεῖς | τὰς ὑποθήκας. τῶν δὲ συγγενῶν, ὧν συναγάγοχα, ὀνόματα τάδ' ἐστὶ τὰ ὑπογεγραμμένα· | Ὑπερείδης Θρασυλέοντος, Ἀντισθένης Ἰσοκλεῦς | κατὰ δὲ [υ]ἱοθεσίαν Γρίννου, Ἀριστόδαμος Ἰσοκλεῦς, Τιμήσιος Πραξιτέλους, Εὐαγόρας Προκλείδα, | Προκλείδας Εὐ[α]γόρα, Καρτιδάμας Προκλείδα, Ἁγνο(σ)θένης Καρτιδάμα, Προκλείδας Ἀλκιμέδοντος, Βωλακράτης Ἀγλωσθένους, Ἀρχίνικος Γοργώπα, | Στάρτοφο

Βω[λ]ακράτους, Γοργώπας Ἀρχινίκου, | Γοργώπας Ἐχεστράτου, Γοργώπας Καρτιδάμα, | Ἀγαθόστρατος [Κ]ρατησιλόχου, Μόλλις Πολυμήδευς, Καρτιδάμας κα[ὶ] Κρατησίλοχος καὶ Δίων | καὶ Δωροκλε[ί]δας οἱ Ἀγαθοστράτου, | Ἵμερτος Ἱμε(ρ)ο[φ]ῶντος, Κρίτος Τεισάνορος, | Πολύνικος κ[αὶ] Εὐαγόρας οἱ Σωτέλους. | πορευέσθωσ[αν] δὲ καὶ αἱ τούτοις συνοικοῦσαι γυναῖκες καὶ τὰ τ[έ]κνα αὐτῶν, τὰ μὲν θήλεια ἕως | κα ᾖ ὑπὸ τὸν πα[τ]έρα, τὰ δὲ ἄρσενα καὶ ἐν ἁλικίαι γε|νόμενα καὶ τὰ ἐκ τούτων κατὰ τὰ αὐτά· πορευέσθων δὲ καὶ αἱ ἐπίκλαροι καὶ οἱ συνοικοῦντες αὐ|ταῖς καὶ τὰ ἐκ τα[υ]τᾶν τέκνα κατὰ τὰ αὐτὰ τοῖς προγεγραμμένοις· πορευέσθω δὲ καὶ ἁ ὁμώνυμός | μου Ἐπικτήτα καὶ ἁ θυγάτηρ μου Ἐπιτέλεια καὶ | αἱ Γοργώπα θυ[γ]ατέρες Μνασὼ καὶ Αἰνησίππα | καὶ αἱ Θρασυλέοντος θυγατέρες Βασιλοδίκα | καὶ Τελεσίππ[α]. καὶ Καλλιδίκα ἁ Ἰσοκλεῦς καὶ οἱ ταύταις συνοικοῦντες, πορευέσθω δὲ καὶ ἁ Ἀρι|στάρχου θυγάτηρ Ἐπιτέ(λ)εια, καὶ τὰ ἐκ ταυτᾶν τέκνα. | μάρτυρες Χαρ - - - Εὐαγόρας Προκλείδα, | Ἀντισθένης [Ἰσοκλεῦς κατὰ δὲ υἱοθεσίαν Γρίννου].

C (*lex collegii cui nomen erat ἀνδρεῖος*) IV *ἐπὶ ἐφόρων τῶν σὺν Ἱμέρτωι, Διοσθύου. ἐπειδὴ Ἐπικτήτα Γρίννου μετὰ κυρίου τοῦ τᾶς | θυγατρὸς ἀνδρὸς Ὑπερείδους τοῦ Θρασυλέον|τος, συνευαρεστούσας καὶ τᾶς θυγατρὸς αὐ|τᾶς Ἐπιτελείας, ἐπιδέδωκε ἐς θυσίαν ταῖς | Μούσαις καὶ τοῖς ἥρωσι καὶ ἐς ἀνδρείου τῶν συγγενῶν συναγωγὰν κατὰ διαθήκαν δραχμὰς | τρισχιλίας, ἐς ἃς καὶ λαμβάνεν καθ᾽ ἕκαστον | ἔτος παρὰ τῶν διαδόχων αὐτᾶς δραχμὰς δι|ακοσίας δέκα, ὥστε γίνεσθαι τὰν συναγω|γὰν ἐπ᾽ ἁμέρας τρεῖς ἐν τῶι Μουσείωι, ὧι αὐτὰ κατεσκεύακε ὑπέρ τε τοῦ ἀνδρὸς αὐτᾶς Φοί|νικος καὶ αὐτᾶς καὶ τῶν υ[ἱῶ]ν Κρατησιλόχου | καὶ Ἀνδραγόρα, καὶ θύεν τὸ[ν μ]ὲν τὰν πράταν ἐπι|μηνιεύοντα ταῖς Μούσαι[ς, τὸ]ν δὲ τὰν δευτέ|ραν τοῖς ἥρωσι Φοίνικι καὶ [Ἐπικ]τήται, τὸν δὲ τὰν τρίταν τοῖς ἥρωσι Κρατ[η]σιλόχωι καὶ Ἀν|δραγόραι· ἀγαθᾶι τύχαι δεδόχθαι τάν τε ἐπαγ|γελίαν ἀποδέξαθαι αὐτᾶς καὶ ποιεῖσθαι ⟨τὰν⟩ | τὰν συναγωγὰν ἀπὸ τοῦ πράτου ἀλείμματος, | καὶ ἐπιχεῖσθαι πάντας ἀπὸ δείπνου ἐπὶ τὸ πρᾶτον ποτείριον τᾶν τε Μουσᾶν καὶ Φοίνικος καὶ Ἐπι|κτήτας καὶ Κρατησιλόχου καὶ Ἀνδραγόρα. τὰν | δὲ συναγωγὰν τοῦ ἀνδρείου τῶν συγγενῶν | γίνεσθαι ἐμ μηνὶ Δελφινίωι ἐν τῶι Μουσείωι κα|θ᾽ ἕκαστον ἔτος ἁμέρας τρεῖς, καὶ λειτουργὲν ἅπαξ ἀνὰ πρεσβύτατα δωρεὰν πάντας, ὁμοί|ως δὲ καὶ τὸς ἐκ τούτων γενομένος καὶ παρα|γινομένος ἐς τὸ κοινεῖον λειτουργέν, γενο|μένος ἐκ τῶν ἐφήβων, τὰν πράταν ἐπιμηνιεί|αν δωρεάν· παρεξοῦντι δὲ οἱ δωρεὰν ἐπιμηνιεύοντες οἶνον ξενικὸν*

ἱκανὸν δόκιμον ἕως | τριῶν πινόντων, στεφάνος, μουσικόν, μύρον· | εἰ δέ κά τις μὴ ἐπιμηνιεύσηι κατὰ τὰ γεγραμμέ|να, ἀποτεισάτω τῶι κοινῶι δραχμὰς ἑκατὸν καὶ | πρασσέσθω ὑπὸ τοῦ [κατα]τυγχάνοντος ἀρτυτῆρος κατὰ [τὸς] νόμος, καὶ μὴ μετεχέτω τοῦ | κοινοῦ ἐς ὅ [κα ἐκ]τείσῃ. ἐπὶ δὲ ταῦτα τὰ ἔτη | τὰν πίπτο[υσαν] πόθοδον τῶι κοινῶι ὁ κατα|τυγχάνω[ν] ἀρ[τυ]τὴρ πράξας ἀποδιδότω ἐπὶ | σύλλογον, καὶ ἐγδανειζέσθω ὑπὸ τῶν αἱρεθέντων ἐγ[δ]ανειστᾶν ἐπὶ ὑποθήκαις ἐγγαί|οις ἀξιοχρέοις χῶρι τοῦ ἀφαιρουμένου ἐς | τὰς θυσίας ταῖς τε Μούσαις καὶ τοῖς ἥρωσι | κατὰ τὰν δι[α]θήκαν· ἀφαιρούντων δὲ καὶ συλ|λογευτικὸν μὴ πλεῖον δραχμᾶν δέκα πέντε. εἰ δέ κα ἐγ δωρεᾶς ἐπιμήνιοι μηκέτ᾽ ὦντι, | δεξοῦντ[αι] κατὰ τὸ ἑξὰν ἀνὰ πρεσβύτατα | πάντες οἱ [π]αραγινόμενοι, καθὼς γέγραπται | καὶ τὸς δωρεὰν δεχομένος, καὶ λαμψοῦνται παρὰ τοῦ ἀρτυτῆρος δραχμὰς πεντήκοντα | πρὸ τοῦ τὰν σύνοδον ἦμεν πρὸ ἀμερᾶν δέ|κα· εἰ δέ κα μὴ δέξηται λαβών, ἀποτεισάτω | δραχμὰς ἑκατὸν πεντήκοντα, καὶ πραξά|τω αὐτὸν [ὁ] ἀρτυτήρ, καὶ ἐνεχύραστος [ἔ]σ|τω αὐτῶι κατὰ τὸς νόμος· ἐς ὅ δέ κα ἐκτείσῃ, μὴ μετ[ε]χέτω τοῦ κοινοῦ· ἐπιμ[η]νιευσά|τω δὲ κατ᾽ αὐτὸν ὁ ἀρτυτὴρ καὶ κομισάσθω | ἀπὸ τᾶν ποθόδων πρᾶτος. τὸ δὲ δεῖπνον | γινέσθω, [ὥ]ς κα δόξει τῶι κοινῶι καὶ ἀφ᾽ ὅ|σου κα δό[ξ]ει. ὁ δὲ ἀρτυτήρ, εἴ κα μὴ ἐξοδιάξει τοῖς ἐπιμηνίοις κατὰ τὰ γεγραμμένα, ὁ | μὲν ἐπιμήνιος πάντως δεχέσθω καὶ θυ|έτω τὰν ἐ[π]ιβάλλουσαν αὐτῶι θυσίαν, ὁ δὲ | ἀρτυτὴρ ὧι κα μὴ ἐξοδιάξει ἐπιμηνίωι ὀφει|λέτω δρα[χ]μὰς ἑκατὸν πεντήκοντα, καὶ ἁ πρᾶξις ἔστω τῶι μὴ λαβόντι κατὰ τοῦ ἀρτυ|τῆρος κατ᾽ [ἐ]νεχυρασίαν κατὰ τὸς νόμος, καὶ | μὴ μετεχ[έ]τω τοῦ κοινοῦ, ἐς ὅ κα ἐκτείσῃ. θυ|έτω δὲ ὁ [μὲ]ν τὰν πράταν ἐπιμηνιεύων ἀμέ|ραν ταῖς Μ[ο]ύσαις ἱερεῖον καὶ ἱερά, ἐλλύτας ἐκ πυρῶν [χο]ινίκων πέντε καὶ τυροῦ καπυ|VIροῦ στατῆρος· παρεξεῖ δὲ καὶ στεφά[νο]ς τοῖς | θεοῖς καὶ τὰ λοιπὰ τὰ ποτὶ τὰν θυσί[αν π]άντα· | ἀπὸ δὲ τούτων καρπωσεῖ τοῖς θεο[ῖς] τά τε ἐ|κ τοῦ ἱερείου νενομισμένα ἱερὰ καὶ ἐ[λλύ]ταν. ὁ δὲ τὰν δευτέραν τοῖς ἥρωσι Φοίνικ[ι κ]αὶ Ἐπι|κτήται ἱερεῖον καὶ ἱερά, ἐλλύτας ἐκ π[υ]ρῶν χοι|νίκων πέντε καὶ τυροῦ καπυροῦ στατῆρος· | παρεξεῖ δὲ καὶ στεφάνος τοῖς ἥρωσ[ι] καὶ τὰ λοι|πὰ τὰ ποτὶ τὰν θυσίαν πάντα καὶ καρπωσεῖ τάτε ἐκ τοῦ ἱερείου νομιζόμενα ἱερὰ κ[α]ὶ ἐλλύ|ταν καὶ ἄρτον καὶ πάρακα καὶ ὀψάρια τ[ρί]α. ὁ δὲ | τὰν τρίταν θυσεῖ τοῖς ἥρωσι Κρατησι[λό]χωι καὶ Ἀνδραγόραι κατὰ τὰ αὐτά, καθὰ γέγρ[απ]ται θύ|εν Φοίνικ[ι] καὶ Ἐπικτήται. οἱ δὲ ἐπιμήν[ιοι] θύοντες τὰς θυσίας ταύτας ἀποδωσο[ῦ]ντι τῶι | κοινῶι τός τε ἐλλύτας πάντας κ[α]ὶ τῶν | σπλάγχνων τὰ ἡμίση, τὰ δὲ λοιπὰ ἑξοῦντι |

αὐτοί· ὁ⟨ι⟩ δὲ ἀρτυτὴρ διελεῖ τὰ ἱερὰ τ[ο]ῖς παροῦ|σι. εἰ δέ κα ἡ ἐπιμηνιεία δωρεάν, πω[λ]είτω ὁ ἐπίσσοφος, ὅστις θυσεῖ τὰς θυσίας [τ]αύτας, | κατὰ τὰ γεγραμμένα· ὅσου δέ κα ἀπ[ο]δῶται, ὁ | ἀρτυτὴρ ἐξοδιαζέτω. αἱρείσθω δ[ὲ] τὸ κοινὸν | καὶ ἐπίσσοφον· ὁ δὲ αἱρεθεὶς συναγέτω σύλ|λογον καθ᾽ ἐνιαυτὸν ἐν τᾶι δευτέρ[αι] ἁμέραι. καὶ προνοείσθω πάντων τῶν κατὰ τὸ κοινὸν, | ὅπως διοικῆται τὰ γεγραμμένα ἔν τε τᾶι δια|θήκαι καὶ τῶι νόμωι, καὶ ἐνγραφέτω τός τε | ἐπιμηνίος καὶ τὸν ἀρτυτῆρα ἀνὰ πρεσβύτα|τα καὶ ἐπίσσοφον καὶ ἐγδανειστάς, καὶ εἴ κά τις μὴ ἐπιμηνιεύσῃ, ὀφείλοντα τ[ὸ] ἐκ τοῦ νό|μου ἐπίτιμον, καὶ εἴ τί κα ἄλλο αὐτῶ[ι ἐ]πιβάλ|λει ἐγγράφεν κατὰ τὸν νόμον εἲ τὰν [δι]αθήκαν | καὶ τὰ δόξαντα τῶι κοινῶι· γραφέτω δὲ καὶ τὰν | ἔσοδον καὶ ἔξοδον τὰν γινομέναν [ἐ]π᾽ αὐτοῦ, καὶ εἴ τί κα ἄλλο ὀφείλειται τῶι κοιν[ῶι]· εἰ δέ κα | μὴ ποεῖ τὰ ποτιτεταγμένα, ὀφειλ[έτ]ω τῶι κοι|VIIνῶι δραχμὰς τριακοσίας, καὶ τοῦ κοινοῦ | μὴ μετεχέτω, ἐς ὅ κα ἐκτείσῃ, καὶ πρακτὸς | ἔστω ὑπὸ τῶν αἱρεθέντων ἀνδρῶν ὑπὸ τοῦ κοινοῦ κατ᾽ ἐνεχυρασίαν κατὰ τὸς νό|μος. ὁ δὲ ἀρτυτὴρ ὁ αἱρεθεὶς πραξεῖ τὰ ὀ|φειλόμενα τῶι κοινῶι κατά τε τὰν διαθή|καν καὶ τὰ λοιπὰ πάντα τὰ παραγραφέντα | αὐτῶι ὑπὸ τοῦ ἐπισσόφου, καὶ ἐξοδιαξεῖ τοῖς τε ἐπιμηνίοις τὰ γεγραμμένα ἐν | τοῖς νόμοις καὶ τὸ συλλογευτικὸν καὶ | τὰ ἐς τὰς θυσίας, ὅκα κα μὴ ὦντι πραταί, | καὶ εἴ τί κα ἄλλο δόξει τῶι κοινῶι· τὰ δὲ λοι|πὰ ἀποδωσεῖ ἐπὶ σύλλογον· εἰ δέ κα μὴ ἐξοδιάξει τι τῶν γεγραμμένων εἲ τὰ πε|ρισσὰ χρήματα μὴ ἀποδῶ ἐπὶ σύλλογον, | ὀφειλέτω, ὅ κα τούτων μὴ ποήσει, δι|πλοῦν τῶι κοινῶι τὸ χρῆμα, καὶ ἐγγραφέ|τω αὐτὸν ὁ ἐπίσσοφος ἐς τὰ τοῦ κοινοῦ γράμματα, ὅ κα μὴ ποήσει τούτων ὀφεί|λοντα διπλοῦν· καὶ τοῦ κοινοῦ στερέσθω, | ἐς ὅ κα ἐκτείσει, καὶ πρακτὸς ἔστω ὑπὸ | τῶν αἱρεθέντων ἀνδρῶν ἀπὸ ἐνεχυρα|σίας κατὰ τὸς νόμος· τοῖς δὲ ἐπιμηνίοις εἴ κα μὴ ἐξοδιάξει, ἔστω κατ᾽ αὐτοῦ τὰ γε-|γραμμένα ἐν τῶι νόμωι. ὅπως δὲ πάντα | διοικεῖται κατά τε τὰν διαθήκαν καὶ τὸν | νόμον καὶ τὰ δόξαντα τῶι κοινῶι δυνα|τῶς ἐς πάντα τὸν χρόνον, αἱρείσθω τὸ κοινόν, εἴ κά τινες μὴ ποιῶντι τὰ κατὰ | τὸν νόμον εἲ τὰν διαθήκαν εἲ τὰ δόξαν|τα, ἄνδρας ὅσος κα δόξει, οἵτινες πάντα | πραξοῦντι, καθότι κα δόξει τῶι κοινῶι· | καὶ ἐγγραφέτω καὶ τὰν τούτων αἵρεσιν ὁ ἐπίσσοφος· εἰ δέ κα ὁ ἐπίσσοφος μὴ προ|αιρεῖται ἐγγράφεν, παραχρῆμα τὸ κοινὸν ἀ|ποδεικνύ]τω ἄνδρα τὸν ἐγγραψοῦντα· ὁ δὲ | VIII αἱρεθεὶς γραφέτω πάντα τὰ δόξαντα | τῶι κοινῶι. ἃ δέ κα δόξει τοῖς πλείοσι τοῦ κοινοῦ, ταῦτα κύρια ἔστω, πλὰν ὑπὲρ δια|λύσεως· ὑπὲρ δὲ τούτου μὴ ἐχέτω ἐξου|σίαν μηθεὶς μήτε εἶπαι μήτε γράψαι, ὡς δε|εισῆ

διαλῦσαι τὸ κοινὸν εἴ τὰς θυσίας τὰς | προγεγραμμένας εἴ τῶν τοῦ κοινοῦ τι κακῶσαι ἢ διελέσθαι ἢ τοῦ ἀρχαίου τι κα|ταχρήσασθαι· εἰ δέ τίς κα εἴπει ἢ γράψει, | τό τε ῥηθὲν ἢ γραφὲν ἄκυρον ἔστω, καὶ ὁ | εἴπας ἢ γράψας στερέσθω τοῦ κοινοῦ καὶ ὀ|φειλ[έ]τω αὐτῶι δραχμὰς πεντακοσίας καὶ πρακτὸς ἔστω καὶ ἀπὸ ἐνεχυρασίας | κατὰ τὸς νόμος ὑπὸ τοῦ χρήζοντος τῶν | συγγενῶν. ὅπως δὲ ἐπίσσοφός τε ἀπο|δειχθῇ καὶ ὁ αἱρεθεὶς ἐγγράφει πάντα τὰ | κατὰ τὸν νόμον, συναχθήτω σύλλογος ἐπὶ ἐφόρων τῶν σὺν Ἱμέρτωι, μηνὸς Διοσ|θύου δεκάται, καὶ αἱρεθήτω ἐπίσσοφος· | οὗτος δὲ ἐγγραφέτω τά τε κατὰ τὸν | νόμον πάντα, προνοειθήτω δὲ καὶ ὅ|πως ὁ νόμος ἀναγραφῇ καὶ ἁ διαθήκα ἐς τε τὰν ὑπόβασιν τῶν ἀγαλμάτων τῶν | ἐν τῶι Μουσείωι, καὶ ἐς δέλτον ξυλογραφηθεῖ, κατασκευωθῇ δὲ καὶ γλωσσόκο|μον, ἐς ὃ ἐμβαλοῦμες τὰ τοῦ κοινοῦ | γράμματα, καὶ ὅπως αἱρεθεῖ ἀνὴρ γραμ|ματοφύλαξ, ὅστις παραλαβὼν δι' ἀ(πο)λό⟨ι⟩|γου παρὰ τοῦ ἐπισσόφου τάν τε δέλτον | ἔχουσαν τὸν νόμον καὶ τὰν διαθήκαν ἐ|ξυλογραφημέναν καὶ τὸ γλωσσόκομον | καὶ τὰ ἐν αὐτῶι βυβλία φυλαξεῖ, ἐς ὅ κα δόξει τῶι κοινῶι, καὶ οἰσεῖ ἐπὶ τὸς συλ|λόγος· εἰ δέ κα ἄλλον ἕληται τὸ κοινὸν | γραμματοφύλακα, ἀποδωσεῖ τῶι αἱρε|θέντι μετ' αὐτὸν ἐν συλλόγωι δι' ἀπολόγου.

A Nomina supra col. I et II, IV et V, VI et VII scripta sunt; ubi nomina Phoenicis patrisque eius scripta fuerint, nescitur. B 10 ζῷια imagines Musarum CIG. 22 (cf. 62) ἀνδρείου scil. συλλόγου DI. 24 sq. συναχθ.: cf. fut. pass. nr. 226, 12. 13. 140 sq. ἕως τρ. π.: cf. μέχρι γὰρ τριῶν δεῖν φασι τιμᾶν τοὺς θεούς Antiphan. fr. 78 Kock. Rij. 156 ἐξάν BeL 128. 159 λαμψοῦνται: cf. W Schulze Orthographica (Marpurgi Chatt. 1894) p. XV. 164 ἐς ὅ: dial. Ion. vestigium (Solmsen IF 31, 450). 179 ἱερεῖον sacrum, ἱερά dona sacra. LS. Laum. 253 αἱρεθείς: forma genuina -θές IG XII 3, 320, 14, cf. ἱαρές nr. 236. 257 δεεισῇ i. e. δεησεῖ DI. 281 sq. Wilh. Beitr. 256; διὰ λοιποῦ priores. 288 ἀπόλογος· ἀπολογισμός. Wilh.

228 Fragmenta duo stelae marmoris caerulei. II in. — Decretum τοῦ κοινοῦ τοῦ Ἀνθιστῆρος i. e. Bacchi aut herois Bacchi similis. — Ross IG in nr. 198. IG XII 3, 329. DI 4705.

ἔδοξ]ε τῶι κοιν[ῶ]ι τοῦ Ἀνθισ|[τ]ῆρος τοῦ πυθοχρήστου· ἐ|[π]ειδὴ Ἀργέα ἁ Δίωνος φιλό|δοξος οὖσα καὶ δηλομένα τᾶς ἰδίας καλοκαγαθίας μνάμαν ἀ|πολείπεν ἐς πάντα τὸν χρόν[ο]ν ἐπαγ|γέλλεται τῶι κοινῶι δραχμὰ[ς] πε[ν]|τακοσίας, ὥστε ἐπάγεσθαι ἀ[εὶ τὰν] | ἑβδόμαν αὐτᾶς τε καὶ τᾶς θυγα[τρὸς Ἰσ]θμιῶς κατὰ κοινόν, δεδόχθαι ἀπ[οδε]|ξαμένος τὰν ἐπαγγελίαν τὸ μ[ὲν ἀρ]|γύριον ἐγδανεῖσαι τὸς ἐπισκό[πος] | Δίωνα καὶ Μελέιππον ἐπὶ ὑπ[οθέμα]|τι ἀξιόχρεωι, ἀπὸ δὲ τοῦ πίπ[τοντος] διαφόρου συνάγεσθαι τὰν [συναγω|γὰ]ν κατὰ τ[ὰ γε]γρα[μμένα] - -

b) Tituli Cyrenaici (nr. 229—237).

De Cyrenaeorum originibus cf. Gercke H 41, 447/59; LMalten, Kyrene. Berol. 1911; de dialecto ad nr. 237.

229 [^{2}149] Olympiae in lapide calcario thesauri Cyrenaeorum. VI. — Purgold AZ 39, 180. Im 7. IvO 246. DI 4838.

ϙυρα[ναῖοι . . . . ἀνέθεν].

In nummis est *K* (530/480), *Κυρα* (480/31). Head 866. 868.

---

230 Vulci. Vas Arcesilae. VI. — Kr. V. § 8. Cf. Kirchh. A. 65 sq.

Ἀρκεσίλας. ιοφορτος (vel σ-). [στ]αθμός (sin.). ἱρμοφόρος. σλιφομαχος. ορυξο (sin.). φύλακος. μαεν.

---

231 Stelae sepulcrales (1. 4. 5. 6. 9) et sarcophagi (2. 3). IV/III. — (De Cou et) Robinson AJ II ser. 17, 157 sqq. nr. 17. 22. 23. 36. 37. 38. 43. 48. 41.

1) *Ἀριστέας | Ἀριμνάστō.* — 2) *Λάρα.* — 3) *Νευσσίς.* — 4) *Θεύδωρος | Ἰάσονος.* — 5) *Εὔανδρος | Δροσίω.* — 6) *Σιδώνιος | Σελυμαίω.* — 7) (*lapis marm.*) *Ταχακλεῦς.* — 8) (*basis marm.*) *Κυρβασίας | Πράτιος.* — 9) *μὴ ἀνοίγεν.*

---

232 Tabula marmorea. IV. — Catalogus. — *Smith and Porcher, History of the recent Discoveries at Cyrene. Lond. 1864 p. 110 sqq. nr. 18. DI 4837.

(1^{a}) *Εὐβάτας Τελεσάν⟨ν⟩δρω,* | (2^{a}) *Ἠρίλοχος Στράτητος,* | (3^{a}) *Ἁγήσαρχος Κλέωνος,* | (1^{b}) *Ἀλεξίμαχος Αἰγλ[άνορος],* | (2^{b}) *Ἐτυμοκλῆς Ἀριστ-,* | (3^{b}) *Δαμόκοσμος Θε-,* | (4) *τελεσφορέντες τὰν ο-* (*vel ϑ-*).

2^{a} *Ἠ.*: Be hPN 195. 4 *τελ.*: cf. *τελεσφορίην* Call. h. 2, 78 (Vollgraff Mn 42, 417).

---

233 Tabula marmorea. IV. — Dedicatio. — *Smith and Porcher nr. 3. DI 4840.

Πολιάνθης Ἀνάξιος | τὸμ πατέρα Ἄναξιν | Ζευξιμάχω τῶι Ἀπόλλωνι | δεκάταν ἀνέθηκε.

---

234 [^{2}151] Lapis marmoreus. IV/III. — Catalogus lochagorum. — *Smith and Porcher nr. 6. Mi 644. DI 4833.

- - - | [λ]οχαγοὶ τεθ[ρί]π[πων]· | Μναστοκλῆς Βαθυκλεῦς, | Πίθακος Ἀριστωνύμω, | Ἀρισταγόρας Φιλοκώμω, Ἀριστοφάνης Κλευμένευς, | Δαμασίστρατος Καλλίππω, | Ἀριστόπολις Εὐρυπτολέμω. | λοχαγοὶ μονίππων· | Ἀριστοκλῆς Στεφάνω, Ὑξαν Εὐπτολέμω, | Στράτων Κάρνιος, | Πρᾶξις Θευχρήστω, | Πρατομήδης Φιλίππω. |

τριακατιάρχαι· Πολυκλῆς Μελανίππω τῶ Ἀριστάνδρω, | Ἀριστοφάνης Παρα[ι]|βάτα, | Καλλίμαχος Ἀννικέριος, | Βαθυκλῆς Νικοστράτω, | Ἰάσων Δαϊμένευς, Πρῶρος Κύκνω, | Θαλίαρχος Εὐρυπτολέμω, | Κλέων Χάρωνος, | Λῦσις Ἐπικλεῦς, | Φίλων Ἀννικέριος, Ἠρίλοχος Ε[ὐ]βάτα, | Καλλίστρατος (Ἀ)ριστωνύμω, | Νίκανδρος Ἀλε(ξ)άνδρω, | Χάρων Ἰάσονος, | Νικόδαμος Θα..α.ιος, Ὀνυμοκλῆς Πολυκλεῦς, | Ἱππόδαμος Φιλο[δάμ?]ω. λοχαγοὶ πεζῶν· | Πολυάρατος Παρατ..ος, | Φιλοκλῆς Θευ-, Ἀντίπατρος Πολ[υάνακτ]ος, | Πασέας Ἱπποδ[άμω], | Χαιρεσίλας Ἀν[αξ]αγόρα⟨ς⟩, | Ψάφων Ἀγλωμ[ά]χω, | Εὐκλῆς Θευχρήστω, Σίφυρος Πιθάκω, | Φίλων Θευχρήστω, | Τιμῶχος Πολυτίμω, | Περίανδρος Θρασυλλίωνος, | Θεύδωρος Καλλιμάχω, Φρασσαμενὸς Ἀριστοτέλε[υς], | Ἄναξις Δαμώνακτος, | Πράταρχος Ὀνυμάρχω, | Τιμόλας Πιθάκω, | Θεύμανδρος Λυσίππω, Δαϊλέων Θευχρήστω. | λοχαγοὶ πελταστᾶν συμμν- | τοῖς τριακατίοις· Ἀνδροκλῆς Καλ[λιμ]άχω, | Ἀριστομένης Ἀ-, Πρῶρος Σωσία, | Ἀριστοφῶ[ν] -, | Τελεσα -, | Εὐ - | - -

vs. 20. 55 *Πρῶρος* i. e. *Φροῦρος*. Fick-B. 243; cf. Brause 130, 1. 26 (Α): *Χ* (Sm.-P.). 27 (ξ): *σ* (Sm.-P.). — DI.

235 [^{2}152] Tabula marmorea. III. — Catalogus. — *Smith and Porcher nr. 7. DI 4834. BritM 1053.

B *[Μελά]νιππ⟨ι⟩ος Λυσισ(ρ)άτω, | Πολύαρχος Πανσανία, | Χάρων Φαυστίω, | (Ζ)εῦξις Αιταχιννω, Καλλίστρατος Νικαίω, | Ἑλι(κ)ὰν Λεντίχω, | Λύκος Εὐρυμάχω, | Νίκιππος Εὐφρονίω, | Ἀρίστων Λύκων[ος], Φιλόξηνος Μελανίππω, | Τελέσαρχος Κρησίλα, | Ἀντίμαχος Φιλοκώμω, | Ἀντίφιλος (Λ)υσαν[ία], | Ἀλεξίβιος Σμυρναίω, Ἀμμώνιος Ξήνιος, | Ἐπήρατος Πολυδώρω, | Ἄλεξις Αὔγαντος, | Ἀρίστ(α)ρχος Θράσυνος, | Ἀνάξανδρος Σχιδᾶ, Βάραιβις Μοιρισθένευς, | Ἐξακέστας Ἀριστίππω, | Ἀλεξίμαχος Ἄλκιος, | Προκλῆς Ἰ(ά)σονος, | Εὐρυφῶν Ἀρίστιος.*

vs. 1 (ρ): *β* l. 4 (Ζ): *ξ* l. 6 (κ): *χ* l. *Λεντ.* i. e. *Λεοντ.* (Brause 107). 13 *Λ*: *α* l. 20 *Βάραιβις* nomen Thracicum esse coniecit Crönert Kolotes und Menedemos 96, 470. — E columna A 5 *Ἐρυσίππω* 6 *Ἀρτύλα* (cf. *Ἀρτυμήδα* Therae DI 4824). 21 *Χαιριείδευς*.

236 [^{2}153] Tabula marmorea. — Honores. — CIG 5131. DI 4854.

Ἀσκλαπὸν Ἀσκλαπῶ ἱαριτεύον|τα τῶ Ἀπόλλωνος ἀρετᾶς ἕ[νε]|κα καὶ εὐνοίας, ἇς ἔχων δια[τε]|λεῖ ἔς τε τὸς κοινὸς εὐεργ[έτας] | Ῥωμαίος καὶ ἐς τὰν πόλιν καὶ | [ἐς] τὸς ἱαρές, καὶ τᾶς ποτὶ τὸς θε[ὸς | χ]άριν εὐσεβείας οἱ ἱαρὲς τ[ῶ | Ἀπ]όλλωνος ἀνέθ[εν].

96/75[a] (CIG), I[p] (DI). *ἱαρές*: nom. sg. *ἱαρεύς* in tit sepulcr. aet. Augusti DI 4861 (*Ἀριστοτέλης* | *Σώσιος ἱ.* | *Ἀπόλλωνος. μηθένα ἐντίθη*); *ἱάρεαι τῆς Ἥρας* sunt in tit. DI 4847 (II/I[a]); de forma *ἱαρές* cf. Günther IF 32, 378/81.

---

237 (Lapis). Aet. Augusti. — Honores. — MFränkel BerlBer 1093, 83/7 (e Fourmonti schedis). Dittenberger Orientis Gr. inscr. 767.

(A) *- - αυτ - - | τὰν ἐ]π(ιμέλ)ειαν ταύ[ταν καὶ ἀ|ξία]ν κα[ὶ τ]ῶν προ(γ)όν(ω)[ν καὶ τᾶς | πα]τρίδος ποιησάμεν[ος, ἱερατε]ύσας τε δὶς Καίσαρος το[ῦ θε|οῦ] ἐκτενῶς καὶ φιλοτείμως | [καὶ] πρεσβεύσας ἐν τῷ Μαρμα|ρικῶι πολέμῳ ἐν χειμῶσι ἑαυ|τὸν ἐς τὸς κινδύνος ἐπιδὸς καὶ τὰν ἐπικαιροτάταν συμμα|[χ]ίαν καὶ πρὸς σωτηρίαν τ[ᾶ]ς π(ό-|λι)ος ἀνήκοισαν ἀγαγών· παρ(λα)|βών τε τὸν τῶ κτίστα τᾶς πό|λιος ἁμῶν Ἀπόλλωνος σ⟨π⟩τέ(φ)ανον καὶ τὰ πρὸς θεὸς ἐκτε|νῶς καὶ εὐσεβῶ⟨ι⟩ς ἐτέλ[ε]σεν κ(αὶ) | τὰ ποτὶ τὸς ἀνθρώπος μεγαλ[ο]|ψύ(χ)ως καὶ πλουσίως ὑπὲρ δ(ύ)|ναμιν· δεδόχθαι, ποτὶ τα(ῖς) προγεγονοίσαις αὐτῶι τει(μ)α(ῖς) | ἐπαινέσαι τε αὐτὸν τὰν πό(λι)[ν] | δαμοσίαι καὶ παρκαλέ[σαι - - - - -].*

(B) *- - χοντα, ἀνθέμε[ν εἰκόνας ἐς] ὅς κα δήληται δαμ[οσίος ἢ ἱερὸς τό]πος, καὶ ἐς τὸ τ[ῶ] Ἀ[πόλλωνος] | ἱαρὸν ἄγα[λ]μα, παρ-[στᾶσαι δὲ ὅ]|πλον ἐπίχρυσον, ἔ[χον τὰν ἐπι]|γρα[φά]ν· ʽΦάον Κλεά[νδρω τῶ Φι]|λοπάτριδος ἀρετᾶς [καὶ τᾶς] ποτὶ τὰν πόλιν εὐν[οίας ἕνε]|κε Κυραναῖοι.ʼ*

vs. 5 *K.*: divi Iulii (D.). 6 *Μαρμ. π.*: Marmaridae inter Aegyptum et Cyrenas incolentes aliquot annis ante 12[a] impugnati esse videntur (D.). 10 *συμμ.*: auxilium (D.). — Notandae formae *τός* sim. (vs. 9. 24), *ἀνήκοισαν, προγεγονοίσαις* (12. 20), *δήληται* (24), *παρκαλέσαι* sim. (12. 22. 26). Cf. v. Wilamowitz Textgeschichte der griech. Bukoliker 26sq. Callimachi hymn. et epigr. ed. Wil.[3] p. 16. Malten Kyrene 142/6. Zupitza KZ 42, 69 adn. Vollgraff Mn. 47, 337/9.

VIII. Tituli Anaphaei (nr. 238. 239), Astypalaeenses (nr. 240—244), Calymnii (nr. 245—247), Coi (nr. 248—257), Cnidii (nr. 258—267), Nisyrii (nr. 268—271).

238 Anaphae. Lapis calcarius durissimus. sin.; ‚litterae antiquissimae'. — IG XII 3, 255. Im 7.

Ἀγϙυλίōν τόνδε τὸν θō̃ϙον ἐποίησ[α].

---

239 Anaphae. Marmor superne mutilum. II ex. — Oraculum. — E Villoisoni schedis Osann Syll. 1834, 395 sq. CIG 2477 et add. p. 1091/3. DI 3430. IG XII 3, 248. Mi 853. DS 555. LS 2, 122.

[- - - συντε|λεσ]θέν[τ]ο[ς δὲ τοῦ ναοῦ ἔστω δαμόσι]ος [κα]|θότι καὶ ὁ θεὸς ἔ[χρη]σε[ν· τᾶς] δ' ἐπερωτάσ[ε]|ως καὶ τοῦ χρησμοῦ ἀντίγραφά ἐστι τάδε. | ἔδοξε τᾶι βουλᾶι καὶ τῶι δάμωι, ἀρχόντων Ξενομνάστου Ἀριστομάχου Σωσικλεῦς καὶ βουλᾶς γνώμα· | ὑπὲρ τᾶς ἐφόδου ἇς ἐποιήσατο Τιμ[ό]θεος Σωσικ|λεῦς κατὰ δὲ ὑοθεσίαν Ἰσοπόλιος· ἀξιώσ(ας) αὐτῶι δοθῆ|μεν ἐν τῶι ἱερῶι τοῦ Ἀπόλλωνος τοῦ Ἀσγελάτα τό|πον, ὥσ[τε ναὸ]ν Ἀφροδίτας οἰκοδομῆσαι ὕλ[α]ι καὶ λίθοις καὶ χοῒ [χ]ρώμενος ἐκ τοῦ ἱεροῦ ὧν κα χρείαν ἔχηι | ἐν τῶι τόπωι ἐν τᾶι αἱμασιᾷ ὅπεῖ ἁ ἐλαία ἁ ποτὶ τὸν | Εὐδώρειον οἶκον καὶ τὸν Μειδίλειον· τὸν δὲ τόπον, | [ὅ]πεῖ ὁ βωμὸς τοῦ Κτησίου καὶ τὸ ξοάνιον, τὸν τοῖχον | λύσαντα τὰν πάροδον ποιῆσαι ἐς τὸν ναὸν [τ]αυτᾶι, καὶ οἰκοδομηθέντος τοῦ τοίχου τὸν βωμὸν | καὶ τὸ ξοάνιον καταστᾶσαι πάλιν ἐς τὸν τοῖ|χον· τὰς δὲ στάλας τὰς οὔσας ἐν τῶι τοίχωι | καὶ τὸ⟨ν⟩ ἀπόρανθρον ὅσας μέν κα δυνατὸν ἦι | αὔτεῖ καταστᾶσαι· ὅσαις δέ [κα] μὴ ἦι τόπος ὅπεῖ κα δοκῆι χρήσιμον ἦμεν· συντελεσθέντος δὲ | τοῦ ναοῦ ἦμεν δαμόσιον καθὰ καὶ ὁ θεὸς ἔχρησε. | τᾶς δὲ ἐπερωτάσιος καὶ τοῦ χρησμοῦ ἀντίγροφόν | ἐστι τὰ ὑπογεγραμμένα. | ἐπερωτᾶι Τιμόθεος [τὸ]ν θεὸν πότερον αὐτῶι λῶιον καὶ ἄμει[νό]ν ἐστιν αἰτήσασθαι | τὰν πόλιν ἐν ⟨τ⟩ῶι ἐπινοεῖ τόπωι, ἐν τῶι τοῦ | Ἀπόλλωνος τοῦ Ἀσγελάτα, ὥστε ναὸν τᾶς | Ἀφροδίτας οἰκοδ[ο]μῆσαι καὶ ἦμεν δαμόσιον, | ἢ ἐν τῶι ἱερῶι τοῦ Ἀ[σκ]λαπιοῦ ἐν ὧι ἐπινοεῖ τόπωι. ὁ θεὸς ἔχρησε αἰτήσασθ[α]ι ἐν τῶι το[ῦ] | Ἀπόλλωνος· τελεσθέντος δὲ τοῦ ναοῦ ἀνα|γραφῆμεν τό τε ψάφισμα καὶ τὸν χρησμὸν | καὶ τὰν ἔφοδον ἐστάλαν λιθίναν. περὶ δὴ | τούτων δεδόχθαι τᾶι βουλᾶι δεδόσθαι αὐτῶι καθάπερ αἰτεῖται, εἴ κα [δό]ξηι | τᾶι ἐκκλησίαι.

vs. 7 ἀξιώσ(ας) aut ἀξιῶ(ν) Wilh. GöttAnz 1900, 102; ἀξιωσ l. 8 Ἀπ. Ἀσγ.: cf. ἐν τᾷ παναγύρει τῶν Ἀσγελαίων IG XII 3, 249, 22, Αἰγλάτας ib. 260. 442 (Therae); de nomine Be L 18. 22 ἀ-γροφ. l., -(α)φ. DI.

240 Astypalaeae. Tabula marmoris nigri. — Decretum de inscribendis proxenis. — Legrand BH 16, 138/42. Mi 416. DS 493 ^{3}722. IG XII 3, 168. Bleckm. 39.

- - - - σει[- - - - - - - - - - - - κὰ]τ τὸν νόμον | [τοὺς προξέν]ους ἀναγραφέτω καὶ εἰς τὸν | τοῖχον κατὰ τὰ αὐτά, προγράφων καὶ τὸν δαμιερ|γόν, ἐφ' οὗ ἕκαστος καθίσταται· τὸ δ' εἰς τὰν ἀναγραφὰν τέλεσμα οἱ ταμίαι διδόντω, μὴ πλέον | ἐξοδιά(δ)δοντες καθ' ἕκαστον πρόξενον δραχμᾶς (ἡμίσας). | εἰ δέ κα μὴ ἀναγράφη κατὰ τὰ προγεγραμμένα ὁ γραμ|ματεὺς ἀεὶ ὁ ἐν ἀρχαῖς ὢν τοὺς καθιστανομένους | μετὰ δαμιεργὸν Πρύτανιν, ἀποτεισάτω καθ' ἕκαστον πρόξενον, εἴ κα μὴ

ἀναγράφη, δραχμάς ἑκατόν· | φαινέτω δὲ ὁ χρήζων ἐπὶ τῶι ἡμίσωι εἰς τοὺς λογισ|τάς. ὁ δὲ πριάμενος προγραψάτω τᾶς ἀναγραφᾶς | τῶν προξένων τόδε τὸ ψάφισμα. — ἔδοξε πάσαις.

vs. 3 δαμιεργός: idem in tit. Nisyr. IG XII 3, 89, 1. 13 πάσαις scil. ταῖς ψάφοις. Wilhelm AEM 20, 79. — Sequitur proxenorum catalogus.

---

241 Astypalaeae. Basis lapidis caerulei. IV vix recentior. — Honores. — Legrand BH 15, 635. IG XII 3, 184.

Ἀριστόκλεια | Κυδάρχου | ἱαρεωσαμένα | Ἀθαναίαι.

Cf. ἱαρωσαμένα IG XII 3, 196.

---

242 Astypalaeae. In sacello S. Eustathii. a. 300 vix multo recentior. — Lex sacra. — Dubois BH 7, 477. DI 3472. Mi 794. IG XII 3, 183. DS 563 [3]980. LS 2, 123.

[ἐ]ς τὸ ἱερὸν μὴ ἐςέρπεν, ὅσ|τις μὴ ἁγνός ἐστι, ἢ τελεῖ | ἢ αὐτῶι ἐν νῶι ἐσσεῖται.

‚Qui impurus intraverit aut multam solvet aut ἐνθυμηθήσεται' (Wil. IG).

---

243 Astypalaeae. Marmor caeruleum. III/II. — Honores. — Dubois BH 7, 477. DI 3473. IG XII 3, 178.

ἐπὶ ἱερέως Ὠφελίωνος τοῦ Ἐνατίωνος καὶ ἐπι|[σ]τατεῦντος Σύρου τοῦ Βιεττοῦ ἔδοξε τᾶι θε[ᾶι] | τᾶι Ἀταργάτι καὶ τῶι κοινῶι τοῦ θιάσου τῶν πατρίω[ν | θε]ῶν· ἐπειδὴ Ὠφελίων Ἐνατίωνος ἀποδειχθεὶς ὑπὸ | τᾶς θεοῦ διὰ τοῦ κλάρου ἱαρεὺς τῶν πατρίων θεῶν ἀ|νὴρ ἀγαθὸς ἐγενήθη καὶ πᾶσαν σπουδὰν καὶ φιλο[δο|ξί]α[ν] ἐπεδείξατο περί τε τὰν ἱερατείαν τῶν θεῶν [καὶ | π]ερὶ τὸ [κ]οινὸ[ν] τῶν - - -.

---

244 [[2]156] Astypalaeae. Lapis in S. Spyridionis ecclesia. — Honores. — E Villoisoni schedis Osann Syll. 1834, 393 sq. CIG 2483. DI 3459. Mi 414. IG XII 3, 170.

[- - - ἔδοξ]ε τᾶι βουλᾶι καὶ τῶι δάμωι, Φίλ[αρχος Ἀ|ριστ]ο(κλ)εῦς ἐπεστάτει, γνώμα πρυ[τανί|ων· ἐπε]ιδὴ Ἀρκεσίλας Μο(ι)ραγένευς αἱ[ρεθεὶς] | ἀγορανόμος ἐπεμελήθη τοῦ δάμου μετὰ πάσας φιλοτιμίας τῶν τε κατὰ | [τ]ὰν ἀγορὰν πάντων ἐπιμελόμενος, | [ὅ]πως ὡς εὐωνότατα καὶ δικαιότατα πωλῆ|[τ]αι, καὶ σῖτον προωνεύμενος διετέλει | τῶι δάμωι· ἐπαινέσαι τε αὐτόν, ὅτι καλὸς καὶ ἀγαθὸς γεγένηται περὶ τὸν δᾶμον, | καὶ διαψαφίξασθαι κατὰ τὸν νόμον, | ἦ δοκεῖ αὐτὸν στεφανῶσαι θαλλοῦ | στεφάνωι· ⟨κ⟩ αἰ δέ κα δόξει, τοὶ πρυτάν[ιες τοὶ | πρυτανεύοντες μῆνα Ἰοβάκχιον στεφανωσάντω αὐτὸν τοῖς Διονυσίοις ἐν τῶι ἀγῶνι] | τῶν τραγωιδῶν, (ὁ) δὲ κᾶρυξ ἀναγορε(υ)|[σ]άτω, ὅτι ὁ δᾶμος στεφανῶι Ἀρκεσίλαν | Μοιραγένευς

ἀρετᾶς ἕνεκα καὶ εὐνοί|ας, (ἃν) ἐνεδείξατο ἐς τὸν δᾶμον ἀγορανομήσας καλῶς καὶ φιλοτίμως· | ἐξέστω δὲ αὐτῶ(ι) καὶ ἀνάθημα ἀναθέμε[ν] | ὅπᾶι κα χρήι(ζ)ηι τᾶς ἀγορᾶς ἐ[πὶ] τᾶ(ς) στοιᾶ[ς] | τᾶς παρὰ τὸ πρυτανεῖον. τὸ δὲ ψάφισμα | τόδε ἀναγράψαι ἐς τὰν φλιὰν τοῦ ἀγοραν[ο]μίου, ἄνδρα δὲ ἑλέσθαι, ὅστις ἐπιμεληθη|[σ]εῖ τᾶς ἀναγραφᾶς· τὸ δὲ ἀνάλωμα [τοὶ] | ταμίαι δόντω. ἔδοξε στεφανῶν· ἁιρέθη ἀναγράψαι Φίλαρχος Ἀριστοκλεῦς.

---

245 Calymnae. Stela marmorea tria decreta continens. — Proxenia. — BritM 245. DI 3567. Mi 422.

B *θεός. | ἔδοξε τᾶι ἐκκλησίαι τᾶι Καλυμνί|ων, μηνὸς Καρνείου. ἐπὶ Λευκάρου· | Διοσκουρίδαν τὸν Δελφὸν καὶ Ἀλεξίδικον εὐεργέτας καὶ προξένους | ἦμεν Καλυμνίων καὶ αὐτοὺς καὶ ἐκγό|νους καὶ ἦμεν αὐτοῖς ἐγ Καλύμναι | ἀτέλειαν τῶν ἐςαγομένων καὶ ἐξα|γομένων καὶ ἔςπλον καὶ ἔκπλον καὶ ἐμ πολέμωι καὶ ἐν ἰράναι.*

vs. 2 In tit. C forma praescripti est ἔ. *Καλυμνίοις*, in tit. DI 3568 ἔ. *τᾶι βουλᾶι κ. τ. ἐ.*, in aliis (DI 3555 sqq. 3573 sqq.) ἔ. *τ. β. κ. τῶι δάμωι (γνώμα προστατᾶν)*. DI. 3 *Καρνείου*: in tit. DI 3593 praeterea sunt *μηνὸς Ἀγριανίου, Ἀλσείου, Ἀρταμιτίου, Γεραστίου, Δαλίου, Καφισίου, Πανάμου, Πεταγειτνύου, Ὑακινθίου*, in tit. DI 3603 *Θευδαισίου*, in tit. BritM 299 *Βαδρόμιος*. 5 *προξένους*: in tit. DI 3586 *τὰς νάσος* sim. 9 *ἔςπλον, ἔκπλον*: in tit. C *-ουν*.

---

246 Calymnae. Tituli sepulcrales. — DI 3604 e. f.

1) *Ἁβροστράτης | τᾶς | Ἡραγόρα*. — 2) *Ἡραγόρα | τοῦ | Ἡραγόρα*.

1 cf. DI 3593 *Αναξιμβρότης τᾶς* 13 *Ἁγησισ]τράτη* 21 *Φανοκρίτη* 44 *Φιλοστράτης τᾶς* 45 *Εὐτελεστράτης τᾶς* 51 *Κλεισιστράτης τᾶς* 66 *Μνασιστράτη* 73 sq.

---

247 Calymnae. Stela calcaria. — Civitas donata. — BritM 234. DI 3570.

Ἀπολλωνίδας Σύρνω|νος εἶπεν· ἐπειδὴ Ἀρίστων | Ἀρισταγόρα Ἀμαθούσι|ος χρείας παρέχεται Καλυμνίων τοῖς ἐντυγχά|νουσιν ἀπροφασίστως μετὰ πάσας εὐνοίας, ἔδοξε | τῶι δάμωι τῶι Καλυμνίων, | δεδόσθαι Ἀρίστωνι ἐν Καλύμναι πολιτείαν καὶ | αὐτῶι καὶ ἐγγόνοις, με|τέχουσι πάντων ὧμπερ | καὶ τοὶ ἄλλοι Καλύμνιοι με|τέχοντι, ἐπικλαρῶσαι δὲ αὐτὸν καὶ ἐπὶ φυλὰν ἤδη καὶ δᾶμον. ἔλαχε φυλᾶς Κυδρηλεί|ων, δάμου Περαιώτα. ὅπως εἰς | πάντα τὸν χρόνον φανερὸν ὑ|πόμναμα τᾶς δόσιος ὑπάρχηι, ἀναγράψαι δὲ τόδε τὸ ψάφισμα εἰς | στάλαν καὶ θέμεν εἰς τὸ ἱερὸν | τοῦ Ἀπόλλωνος, τᾶς δὲ ἐπι|γραφᾶς ἐπιμεληθῆμεν Ἀπολλωνίδαν Σύρνωνος.

vs. 15 sq. cf. DI 3565, 12 sq. *φυλᾶς Θευγενιδᾶν, δάμου Ποθαίων* (cf. *παρθένοι Ὑλλίδες ἐκ Ποθαίας* 3593), 3573, 30 sq. *φ. Κ. δ. Ἀμφιπετρῶν*, 3576, 13 *δ. Σ]καλιω[δ]ᾶν*, 3577, 37 sq. *δ. Μέσον.*

248 Prope oppidum Coum. Paullo post 450. — Terminus. — Herzog, Koische Forschungen und Funde 1899 nr. 36.

Ἀπόλ|λωνο|ς Πυθίō.

Tit. Cous antiquissimus litteratura Ionica (Im 29); cf. tit. Cnidium antiquissimum litteratura Cnidia dialecto Ionica *Εὔαρχός | με ἀνέθ|ηκε τοῖσι Διοσκōροισιν* (Im 17. DI 5788. BritM 1033) et nr. 744 sqq.

---

249 [^{2}158] In Co insula in sacello *τοῦ Σταυροῦ εἰς τὸ Χαρμύλι* demi veteris, cui nomen erat *Ἅλεις*. IV (Herzog; paullo ante 200 Hi apud Weinreich). — Terminus. — Ross IG in nr. 309. Paton 349. DI 3701. Mi 798.

ἱερὰ ἁ γᾶ καὶ ἁ οἰκία | ἁ ἐπὶ τᾶι γᾶι καὶ τοὶ κᾶ|ποι καὶ ταὶ οἰκίαι ταὶ | ἐπὶ τῶν κάπων θεῶν | δυώδεκα καὶ Χαρμύλου | ἥρω τῶν Χαρμυλέων.

vs. 6 *ἥρω* Herzog KF p. 139, *ἥρωος* priores; *μηδὲ πὰρ ἥρωνα ἔσθεν* est in tit. Coo, quem Herzog ArchRel 10, 400/15 edidit (A 22). *Χαρμυλέων* i. e. *-είων*. De situ heroi cf. Herzog KF p. 165, de numero XIII Weinreich, Triskaidekadische Studien (1916), 1 sq.

---

250 In oppido Coo. IV/III. — Termini. — Hauvette-Besnault et Dubois BH 5, 224 sq. (1. 2). Paton 149/51. DI 3674/6. Mi 796/7. 799. DS 440. 447 ^{3}929. 922 (2. 1).

1) *Διὸς Ἱκεσίου | Σιμωνδᾶν.* — 2) [^{2}159] *[Δι]ὸς Φατρίō | Ἀθαναίας | Εὐρυανακτ[ι]|δᾶν.* — 3) A *Ἀνδρομνη|στοριδᾶν.* B *Καριν|δᾶν.*

1 *Σιμωνδ.* Herzog DI IV p. 507, *Σιμωνιδ.* priores. — Gentes Coas enumeravit Herzog KF p. 189, 1.

---

251 In oppido Coo. Tabulae marmoreae. IV ex. aut III in. — Fastorum sacrorum fragmenta tria. — Hicks JHSt 9, 323/37. Paton 37/9. DI 3636/8. Mi 716/8. LS 1, 5/7. DS 616/8 ^{3}1025/27. So $^{1.2}$33. So ^{3}36 (A). Bu 101/3. Cf. Nilsson Griech. Feste 17/22; Schrader IF 26, 297/306 (Wilh.).

A - - *ι ευνο . . . . . ν . . ο . . . . . η. τὰν σεσα[μασ|μέναν - -] ἔ[ν]θαπερ τ[οὺς] ἄλλ[ου]ς [θ]έ[μεν]οι | [- - ἰ]ερεὺς μὲν κα[ὶ - -] μονάρχου - - - - π - - ἰόντω, ἱεροποιοὶ δὲ καὶ τοὶ κάρυκες ἰόντω κα|τὰ χ[ιλιασ]τύα[ς], ἰοῦσ[ι δὲ πο]τελᾶ[ντ]ι βοῦν ἐξ ἐνάτας [ἑ]κάστ[ας] | . . ε . . . . έων καὶ Πασθεμιαδᾶν πράτων καὶ [Νοστ]ιδᾶν· ἐς δὲ [τ]|ὰν [ἀγορ]ὰν ἐλάντω Πάμφυλοι πρᾶτοι, ἐν ἀγορᾶι δὲ σ[υ]μμί[σ|γον]τι, ὁ δὲ ἱερεὺς κα[θ]ήσθω [πὰρ] τ[ὰν] τράπεζαν ἔχων τὰ[ν στο]λ[ὰ]ν τὰν ἱεράν, τοὶ δὲ ἱερ[οποιοὶ ἑκατ]έρω τᾶς τραπέζας. Π[άμ|φυλοι] δὲ ἐπελάντω βοῦ[ς τρεῖς τοὺ]ς [κ]αλλί[σ]τους, αἰ μ[έγ κα | το]ύτωγ κριθῆι τις· αἰ [δὲ μή, Ὑλλεῖς τρ]εῖς ἐλάντω, αἰ μέγ [κα τ|ο]ύτωγ κριθῆι τις· αἰ δὲ [μή, Δυμᾶνες τρε]ῖς τοὺς [λ]οιπούς, α[ἰ μ|έγ] κα τούτωγ κριθῆι τις· α[ἰ δὲ μή, ἁτέρους] ἐλάντω ἐς τὰν ἀγ[ορ]ὰν καὶ ἐπε-*

λάντω κατὰ τα[ὐτά, αἰ μέ]γ κα τούτων κριθῆι τ[ις˙ | α]ἰ δὲ μή, τρίτον ἐπελάντω καὶ ἀτ[έρους]˙ αἰ δέ κα τούτωγ κρι[θῆι] | μηδείς, ἐπικρίνονται βοῦν ἐκ χι[λιασ]τύος ἑκάστας˙ ἐλά[σ|α]ντες δὲ τούτους συμμίσγον[τι τοῖ]ς ἄλλοις˙ καὶ εὐθὺ[ς κρί|ν]οντι καὶ εὔχονται καὶ ἀποκαρύ[σσον]τι˙ ἔπειτα ἐπελάντ[ω αὖ]τις κατὰ ταὐτά. θύεται δέ, αἰ μέγ κα ὑποκ[ύψ]ει, τᾶι Ἱστίαι˙ θύ[ει | δὲ γ]ερεαφόρος βασιλέων καὶ ἱερὰ παρέχει καὶ ἐπιθύει ἱερὰ ἐξ [ἡ|μ]ιέκτου, γέρη δὲ λαμβάνει τὸ δέρμα καὶ τὸ σκέλος, ἱεροποι[οὶ | δ]ὲ [σ]κέλος, τὰ δὲ ἄλλα κρέα τᾶς πόλιος. τὸν δὲ κριθέντα τ[ῶι] | Ζηνὶ κάρυκες ἄγοντι ἐς ἀγοράν˙ ἐπεὶ δέ κα ἐν τᾶι ἀγορᾶι ἔω[ντι], ἀγορεύει οὗ κα ἦι ὁ βοῦς ἢ ἄλλος ὑπὲρ κήνου ἐνδέξιο[ς˙ | Κώ]ι[ο]ις παρέχω τὸ[μ] βοῦν, Κῶιοι δὲ τιμὰν ἀποδόντω ⟨το⟩ τᾶι Ἱστία[ι]. τιμώντω δὲ προστάται ὀμόσαντες παραχρῆμα˙ ἐπεὶ δέ κα τι[μα|θῆ]ι, ἀναγορευέτω ὁ κᾶρυξ ὁπόσ[ου κα τιμαθ]ῆι. τουτῶ δὲ ἐ[λ]άντ[ω π|αρ]ὰ τὰν Ἱστίαν τὰν Ταμίαν, καὶ ὁ [τοῦ Ζηνὸς ἱ]ερεὺς στέ(π)τει καὶ [ἐκ]σπένδει κύλικα οἴνου κεκραμένου [π]ρὸ τοῦ [βοό]ς˙ ἔπειτα ἄγοντι τὸ[μ | βο]ῦν καὶ τὸγ καυτὸν καὶ [φ]θοΐας ἑπτὰ καὶ μέλι καὶ στέμμα˙ ἐξάγ[ον|τε]ς δὲ καρύσσοντι εὐφαμίαν, κηνε[ῖ δὲ? -]ίσαντες τὸμ βοῦν κα|[θαίρ]ονται θαλλῶι καὶ [κλ]αδί˙ τοὶ δὲ [βασιλῆς κ]αρπῶντι τὸμ μὲγ χοῖ|[ρον] καὶ τὰ σπλάγχνα ἐπὶ τοῦ βωμοῦ ἐπι[σπένδ]οντες μελίκρατον, ἔ[ντερα δ]ὲ [ἐ]κπλύναντες παρὰ τὸ[μ βωμὸν καρπ]ῶντι˙ ἐπεὶ δέ κα καρπω[θῆι, | ν]απ[οίας] ἐπισπενδέτω μελίκ[ρατον, κᾶρυξ δ]ὲ καρυσσέτω ἑορτάζ[εν | Ζηνὸς Π]ο[λιῆ]ο[ς] ἐνιαύτια ὡραῖα ἑο[ρτάν˙ ἱερεὺς] δὲ τοῖς ἐντέροις ἐπιθυέ[τω | θ]ύη καὶ [τοὺς] φθοΐας καὶ σπονδὰ[ν ἄοινο]ν καὶ κεκραμέναν καὶ στέ[μ|μ]α. τουτῶ δὲ ἰόντω πὰρ τοὺς ἱαροποι[οὺς ἐς] τὸ οἴκημα τὸ δαμόσιον ἱα[ρεὺ]ς καὶ κάρυκες, ἱαροποιοὶ δὲ ξενιζό[ντω τὸν ἱ]ερῆ καὶ τὸς κάρυκας τ[αύ|τα]ν τὰν νύκτα˙ ἐπεὶ δέ κα σπονδὰς ποιήσ[ο]νται, αἱρε(ί)σθω ὁ ἱαρεὺ[ς]| . . ι . η τῶν ἱαροποιῶν βοὸς τοῦ θυομένου τῶι Ζηνὶ τῶι Πολιῆι, καὶ προ[αγορευ]έτω ἁγνεύεσθαι γυναικὸς καὶ ἀ[νδρὸ]ς ἀντὶ νυκτός˙ τοὶ δὲ κάρυ[κες | αἱρ]είσθω σφαγῆ τοῦ βοὸς ὅγ κα χρήζωντι ηὐτῶν, καὶ προαγορευέ[τω τῶι αὐ]λητᾶι τῶι αἱρεθέντι κατὰ ταὐτά. τᾶι αὐτᾶι ἁμέραι Διονύσωι [Σκ|υλλίτ]αι χοῖρος καὶ ἔριφος˙ τοῦ χοίρου οὐκ ἀποφορά˙ θύει δὲ ἱερεὺς κ[αὶ ἱε|ρ]ὰ παρέχει˙ γέρη φέρει δέρμα, σκέλος.

ἰκάδι βοῦς ὁ κριθεὶς θύεται Ζηνὶ [Πο|λιῆ]ι καὶ ἔνδορα ἐνδέρεται˙ ἐφ᾽ ἑστίαν θύεται ἀλφίτων ἡμίεκτον ἄρτο[ι δ|ύ]ο ἐξ ἡμιέκτου — ὁ ἅτερος τυ[ρ]ώδης — καὶ τὰ ἔνδορα˙ καὶ ἐπισπένδει ὁ ἱε[ρεὺς] τούτοις οἴνου κρατῆρας τρεῖς˙ γέρη τοῦ βοὸς τῶι ἱερῆι δέρμα κ[αὶ | σκέ]λος — ἱερὰ ἱαρεὺς παρέχει [τ]ε καὶ ἧπατος ἥμισυ καὶ κοιλίας ἥμ[ισυ] — | θυαφόρωι δὲ τοῦ σκέλεος τοῦ τῶν ἱεροποιῶν [δίδ]οται

ἀκρίσχιον, [ν]|ώτου δίκρεας, ὑπώμαια, αἱματίου ὀβελὸς τρικώλιος, Νεστορίδαι[ς] | ν[ώτ]ου δίκρεας, ἰατροῖς κρέας, αὐλητᾶι κρέας, χαλκέων καὶ κερα[μέω]ν ἑκατέροις τὸ κεφάλαιο[ν, τὰ δὲ ἄλλα κρέα τᾶς πόλιος. ταῦτα δὲ πάν]|τα ἀπ[οφέ]ρεται ἐκτὸς το[ῦ τεμένευς. τᾶι] αὐτᾶι ἁμέραι Ἀθαναίαι Πο[λι|ά]δι οἶς κυεῦσα· θύει δὲ ἱε[ρεὺς καὶ] ἱερὰ παρέχει· γέρη λαμβάνει δ[έρ|μ]α καὶ σκέλος.

ἐνάται Με[λάν]ια Διονύσωι Σκυλλίται χοῖρος [καὶ | ἔρ]ιφος· τοῦ χοίρου οὐκ ἀποφορά· θύει ἱερεὺς καὶ ἱερὰ παρέχει· γέρη [λα]μβάνει δέρμα καὶ σκέλος.

ἑβδόμαι ἀνομέν[ου] ἐς Ἀλκηίδας Δ[άμ|α]τρι οἶς τέλεως καὶ τελέα κυεῦσα· τούτων οὐκ ἀποφορά· κύλικες | [καιναὶ] δύο δίδονται· θύει ἱερεὺς καὶ ἱερὰ παρέχει· γέρη δὲ οὔατα.

ἕκτα[ι | Διονύσωι] Σκυλλίτα[ι χοῖρος καὶ ἔριφος]· τοῦ χοίρο[υ οὐκ ἀποφορά· θύει | ἱ]ε[ρε]ὺς κ[αὶ ἱερὰ παρέχει - -.

B (2) [καὶ ἱερὰ παρέ]χει· γέρη λαμβάνει δέρμα καὶ σκέλη ⁝ — τ[ᾶι αὐτ]|ᾶι ἁμέραι Ῥέαι οἶς κυεῦσα καὶ ἱερά, ὅσσαπερ τοῦ Πεδαγειτν[ύο]|υ γέγραπται· τούτων οὐκ ἀποφορά· θύει ἱαρεὺς καὶ ἱερὰ παρέχε[ι· γ]έρη λαμβάνει δέρμα.

δεκάται Ἥραι Ἀργείαι Ἑλείαι Βασιλείαι δάμ|αλις κριτά, κρινέσθω δὲ μὴ ἐλάσσονος ἐωνημένα πεν[τ]|ήκοντα δραχμᾶν· θύει ἱαρεὺς καὶ ἱερὰ παρέχει· γέρ[η] λαμβ(ά)[νει] | δέρμα καὶ σκέλος· ταύτας ἀποφορά· ἔνδορα ἐνδέρεται, καὶ θύ[εται] | ἐπὶ τᾶι ἱστίαι ἐν τῶι ναῶι τὰ ἔνδορα καὶ ἐλατὴρ ἐξ ἡμιέκτου [σπ]υρῶν· τούτων οὐκ ἐκφορὰ ἐκ τοῦ ναοῦ.

ἑνδεκάται Ζηνὶ Μαχα|νῆι βοῦς κρίνεται τὸ ἅτερον ἔτος ἐφ' οὗ κ(α) ἔωντι Κ[α]ρνεῖαι, κ(α)[θά|π]ερ τοῦ Βατρομίου τῶι Ζηνὶ τῶι Πολιῆι κρίνεται, κα[ὶ] χο[ῖ]ρος προ|καυτεύεται καὶ προκαρύσσεται καθάπερ τῶι Πολιῆι.

δυωδε[κ]|άται Ζηνὶ Μαχανῆι οἶες τρεῖς τέλεωι κ(α)ὶ βοῦς ὁ κριθεὶς τὸ ἅτερον ἔτος ἐφ' οὗ κ(α) ἔωντι Καρνεῖαι, τὸ δὲ ἅτερον ἔτος οἶες [τ]|ρεῖς τέλεωι· ταῦτ(α) θύει ἱαρεὺς ὁ τῶν δώδεκα θεῶν, καὶ ἱερὰ π|αρέχει· τούτοις προθύεται πὰρ τὸγ κο[ιν]ὸν ἃ φέροντι Φυλεομ|α[χ]ίδαι (ἀ)λφίτων ἡμίεκτον, οἴνου τετάρταν· γέρη δὲ Φυλεομ|αχίδαις δίδοται τοῦ βοὸς ὁπλ(ά), ταρσός, τῶν δὲ οἰῶν τὸ ὠμόν, ἐξ οὗ ἁ θεομοιρία τάμνεται, κ(α)[ὶ τὸ στ]ῆ(θ)ος· γέρη λαμβάνει ὁ ἱα|ρεὺς σκέλη καὶ δέρματα ⁝ — τᾶι αὐτᾶι ἁμέραι Ἀθαν(α)ί[αι] Μαχα[νί]|δι δάμαλις κριτὰ τὸ ἅτερον ἔτος ἐφ' οὗ κ(α) ἔωντι Καρνεῖα[ι, τ]|ὸ δὲ ἅτερον ἔτος οἶς τελέα· θύει ἱαρεὺς καὶ ἀπορραίνεται θ(α)λ|άσσαι· τούτων οὐκ ἀποφορά· [θύ]στρα δίδοται τᾶι θεῶι ἐλαί[ου] τέτορες κοτύλεαι, οἴνου τετ(ά)ρτα, πρόχοι και-

ναὶ δύο καί κύλ[ι|κες] καιναὶ τρεῖς [τ]ο[ῖς --ο]ις τὰμ πόλιν ὠνεῖσθαι δ(ά)μ[αλιν | --- δρ]αχμ -- υ - τα --.

C τε[τάρται ἐξ] εἰκάδος· -- ινοι ...... οἷε τέλεω [κρίν?]ονται κατὰ φυλ||[άς, ὁ] μὲν τῶν Ὑλλέων παρὰ τὸ Ἡρακλεῖον, ὁ δὲ τῶν Δυμά|νων παρὰ τὰ Ἀναξίλεα, ὁ δὲ τῶν Παμφύλεων ἐν Σιτέαι παρὰ τὸ Δαμάτριον· [ἐπὶ] τούτων ἑκάστωι ἱερά, οὐλομέτ||[ριον] ἡμίεκτον ἑκατέρων, καὶ κύλικες καιναὶ τρεῖς ἑ||[κάσ]τωι, καὶ πίναξ ἑκάστωι· ταῦτα παρέχοντι τοὶ ἱα||[ρεῖς] καὶ θύοντι.

τρίται ἀνομένου Ἡρακλεῖ ἐς Κο||[νίσαλο]ν ἀρὴν καυτός : τᾶι αὐτᾶι ἁμέραι Ἡρακλεῖ [ἐς Κονί]σαλον βοῦς· τοῦτον θύει ὁ ἱαρεύς, τῶι δὲ | [θεῶι ἱ]ερὰ δίδοται κριθᾶν τρία ἡμέδιμνα καὶ σπυ||[ρ]ῶν τρεῖς τεταρτῆς καὶ μέλιτος τέτορες κοτύλ|εαι, καὶ τυροὶ οἴεοι δυώδεκα, καὶ ἰπνὸς καινός, καὶ φρ||[υγά]νων ἄχθος, καὶ ξύλεων ἄχθος, καὶ οἴνου τρία ἡμίχοα.

Ante nomina singulorum dierum in lapidibus signa ‾|_ exstant. Fragmentum A a die XIX mensis *Βατρομίου* incipit (cf. B 11); ad quos menses fragmenta B et C pertineant, notum non est (P.). A 10 *στο*]*λ*. Wilhelm RhM 52, 188, 3; *φιά*]*λ*. Hicks. 29 (*π*): *γ* l. 36 sq. *Ζην. Πολ.*: alia Iovis epitheta Coa sunt *Μαχανεύς* B 10, *Ἀχαιός* DI 3640a, 6, *Πάσιος* ib. 3643d, 37, *Ὑ*]*έτιος* ib. 3716, 4. 38 sq. legit Herzog DI IV p. 507. 41 (*ι*) deest in l. 42 *σφα*]*γῆ* Hicks improbabiliter, [*δα*]*ι*[*τρ*]*ῆ* Nilsson l. c. 20. 43 *ἀ. ν.* hanc ipsam noctem; cf. Buck IF 25, 259 sq. 44 *ηὑτ.* i. e. *ἑαυτ-* (Barth De Coorum titt. dial. Diss. Bas. 1896, 40. 119); cf. thess. *εὑτοῦ* (ad nr. 590, 16), delph. *εὑτοῦ* (Rüsch 1, 160). 45 *Σκυλλ.*: cf. *σκυλλίς· κληματίς.* Hes.; cf. *Διον. Θυλλοφόρος* DI 3627, 7 (*θύλλα· κλάδους ἢ φύλλα.* Hes.). P. 48 *ἔνδορα· ἔνδρατα, σπλάγχνα* Stengel H 36, 328/35. 49 *κνεῦσα*: cf. *Εὀαγόρα*(*ς*) in nummo (Herzog KF p. 221); *Εὀτυχίς* P. 225 est in epigrammate dialecti Ionicae. 56 sq. *Ἀθ. Πολ.*: B 21 est *Ἀθ. Μαχανίς*, DI 3648, 3 *Ἀλσεία*. 60 *Ἀλκ.*: cf. *ἐπ' Ἀμφιαρῆιδ*[*ας* DI 3639, 7. — B 3 *Πεδ.*: saepius *Πετ.* (DI IV p. 578). 5 cf. Nilsson l. c. 62. 11. 15. 22 (*α*): *λ* (emendavit Ziehen). 11 *Καρνεῖαι* scil. *ἁμέραι.* 17 *κοινὸν* scil. *βωμόν* H. — *Φυλεομαχ.*: *ε* littera sonum quendam intercalarem (a natura *λ* litterae ortum) significari Herzog (DI IV p. 507. 509) recte agnovisse videtur; cf. *Παμφύλεων κοτύλεαι ξύλεων* in fragm. C, *Ἀναξίλεα* C 3 (? cf. DI IV p. 561 sq.); quamquam *Παμφ. ξυλ.* nullo negotio aliter explices (Bechtel KZ 50, 70 sq.). — C 8. 10 *ἐς Κ.*: cf. *ἐς Ἀλκ.* A 60; de nomine Nilsson l. c. 453. — Memorabilia ex aliis titt. Cois, legibus sacris plerisque: DI 3632, 1. 2 *ναύσσου* (II), 3634b, 4 sqq. *τὰν ἀποπυρίδα*, 3639, 8 *ἀμνὰν καὶ ἀμνόν* (IV/III), 3640a, 2 *ἔρσενι* (IV/III), 3742, 4 *πρηγιστεύσαντος* (I); Herzog ArchRel 10, 400 sqq. A 19 *εἶ τοὶ ἰατροὶ τάσσονται* 24 *τέκηι ἢ ἐκτρῶι* 43 *αὐτάμερον* B 6 *προσπερμείαι* 8 *ἀποβλῆι.* — Nomina mensium Coorum: *Ἄλσειος Θευδαίσιος Πεδαγείτνυος Καφίσιος Βαδρόμιος* (*Βατρ.*) *Γεράστιος Ἀρταμίτιος Ἀγριάνιος Ὑακίνθιος Πάναμος Δάλιος Καρνεῖος* (Paton p. 330; de ordine P-W 20, 1580).

---

252 Antimachiae in Co insula. Marmor. III (Litterae similes nr. 251. Paton). — Lex de Cereris sacerdotibus. — Paton 386. DI 3721. LS 2, 132. DS 591 [3]1006.

[κ]ατὰ τάδε ταὶ ἱέ[ρει]αι ἱεράσθω τᾶι Δάματρι· ἐξ[ῆ|με]ν δὲ τοῖς κυρίοις καὶ τᾶν μὴ παρευσᾶν γυναικῶ[ν] | τῶι χρήζοντι ἐμβάλλεσθαι, αἴ κα ἐν τᾶι χώραι | ἔωντι· τὰς δὲ λαχούσας ὀμοσάσας ἱερῶσθαι· ταῖς δὲ τελευμέναις καὶ ταῖς ἐπινυμφευομέναις ἦμεν | τᾶι δηλομέναι, καθάπερ καὶ πρὶν πωλητὰν γενέσθα[ι] | τὰν ἱερωσύναν συνετάχθη, πεντ᾽ ὀβολὸς διδούσαις | ἀπολελύσθαι τῶν ἄλλων ἀναλωμάτων πάντων· | παρασκευάξαι δὲ ταῖς τελευμέναις τὰς ἱερῆς τὰ νομιζόμενα· ἦμεν δὲ καὶ τῶν γερῶν τῶν θυομένων ταῖς χρηζο[ύ-]|σαις ἀποδόμεν τοῦ μὲν ἐτέλου ἡμιωβέλιον, τοῦ δὲ τελείου | [ὀβελόν]· τ[οῦ] δὲ ἀγερμοῦ κα[ὶ τῶν - - ω]ν καὶ γερῶν πάντων| - - - - [ἔσ]ται ἱερὰ ταῖς - - - -.

vs. 3 ἐμβάλλεσθαι = ἐπιβάλλεσθαι τὸν κλᾶρον (nr. 253, 91sqq.). DI. 5 de τελ. et ἐπινυμφ. cf. LS et Nilsson Griech. Feste 328. 7 πεντ᾽ ὀ., 9 -ξαι Herzog DI IV p. 507; πεντωβόλος, -σαι priores. 11 ἐτέλου Wilhelm AEM 17, 41 et DI.

---

253 [^{2}161] Halasarnae in Co insula. In capitello columnae. III ex. aut II in. — Lex de scribendis nominibus hominum Apollinis Herculisque sacrorum participum. — Dubois BH 6, 249/67. Paton 367. DI 3705. Mi 1003. LS 2, 130. DS 614 ^{3}1023.

ἐπὶ μονάρχ[ο]υ Πραξ[ιμ|έν]ευς μηνὸς Ὑακινθίου· | (A) ἔδο[ξ]ε ταῖς φυλαῖς αἷς | μέτεστι τῶν ἱερῶν Ἀπόλλωνος καὶ Ἡρακλεῦς | ἐν Ἁλασάρναι· Εὐφίλη|τος Παρμενίσκου τοῦ | Φιλόφρονος εἶπε· ἐπει|δὴ συνβαίνει δυσεπιγνώστος ἦμεν τὸς ἀ|ναγεγραμμένος τῶι θε|ῶι διὰ τὸν χρόνον, ὅ|πως οὖν ἐπιγνωσθῶν|τι, τοῖς τε ὑποδεχομένοις εὐπαρακολούθη|τον ὑπάρχῃ τὸ π[λῆθος] (B) τῶν μετεχόντων τοῦ ἱε|ροῦ· δεδόχθαι, κυρω|θέντος τοῦδε τοῦ ψαφίσματος, ἀπογράφεσ|θαι τὸς μετέχοντας | τοῦ ἱεροῦ, τὸς μὲν ἐνδά|μος ἀρξαμένος ἀπὸ τᾶς | τρίτας τοῦ Ὑακινθίου ἔστε καὶ τὰν τριακά|δα τοῦ Ἀλσείου· τὸς δὲ ἀ|ποδάμος ἀπογραφόν|τω τοὶ ἐπίτροποι· εἰ δὲ | μή, ἀπογραφέσθων αὐτοί, ἐπεί κα παραγένων(C)ται, ἐν τριμήνωι τὸ ὄνο|μα πατριαστὶ ποτὶ τὸς | ναποίας, ἐξαγευμέ|νος καὶ τὰν φυλὰν καὶ τᾶς ματρὸς τὸ ὄνομα | καὶ τίνος τῶν πολιτᾶν | θυγάτηρ ὑπάρχει· οἷς | (δὲ) δέδοται ἁ πολιτεία, κα|τὰ τίνα νόμον ἢ δόγμα κοινὸν τοῦ παντὸς δά|μου· ποταπογραφέσ|θων δὲ καὶ τὰν πατρίδα | καὶ τίνος (θ)[υγά]τηρ καὶ | ἁ μάτη[ρ γέγον]ε. ὅπως (D) δὲ μηθένα λάθῃ ἁ ἀπο|γραφά, τοὶ ναποῖαι τοῖς Ἡρακλείοις, ἐπεί κα μέλ|λωντι κλείνεσθαι τοὶ | φυλέται, προκαρυσσόντω ἀπογράφεσθαι κα|τὰ τὰ προγεγραμμένα, καὶ ἐν τῶι συλλόγωι τὸ | αὐτὸ ποιεύντω· κα|τὰ ταὐτὰ δὲ καὶ ἐν τῶι Δαλίωι μηνὶ ἀρξά|μενοι ἀπὸ τᾶς τετρά|δος ἐς ὅ κα συντεσ|[θ]ῶντ[ι τ]αὶ παναγύ[ριε]ς, (E) προκαρυσσόντω καὶ ἀπογρα-

φόντω· ἐχόν|τω δὲ καὶ ἐμ πόλει ἐκ|χθέματα κατὰ τὰν ἀ|γοράν, ὅπεῖ κα αὐτοῖς | δοκῆ ἐπιτάδειον ἦμεν· ἐν δὲ τῶι δάμωι | τὸ ψάφισμα τόδε ἀνα|γράψαντες εἰς λεύκω|μα ἐκτιθέντω πᾶσαν | ἁμέραν φανερὸν σκοπεῖν τῶι χρήζοντι ὅμ|περ χρόνον καὶ ἁ ἀπο|γραφὰ ὑπάρχει· καὶ τὸς (F) *ἀπογραψαμένος κα|ταχρηματιζόντω καθότι καὶ τἆλλα | γράμματα χρηματί|ζοντι· ἐχόντω δὲ | καὶ παρ' αὐτοῖς ἐν λευ|κώματι κατὰ γράμμα ἀναγεγραμμένος ἕ|ξαν ἀπὸ τοῦ ἄλφα | καὶ παραδιδόντω | τοῖς μεθ' αὐτὸ[ς γ]ε[νο]|μένοις, καὶ τὸ[ς ἀπο]γραφομένος ἀεὶ π[οτα]|ναγραφόντω· το[ὶ δὲ]* (G) *ἀρχεύοντες καὶ τοὶ ἐπι|μήνιοι διδόντω τὰς με|ρίδας ἀντεφορῶντες ἐκ τοῦ λευκώματος· | καὶ τοὶ ναποῖαι τὸς ἐπ[ι]|βαλλομένος ἐς τὰν [ἱε|ρ]ατείαν τὸν κλᾶρον ἐ|χόντω ἀντεφορῶντες ἐκ τοῦ λευκώματος. | ὅπως δὲ καὶ εὐσαμοτέ[ρ]α ὑπάρχη ἁ ἀναγραφά, τοὶ | ναπόαι ἀναγραψάντω | [μὲ]ν τόδε τὸ ψάφισμα ἐς [στ]άλαν καὶ τὸς [τ]έως [πο]*(H)*ταναγραφομένος καθότ[ι] | αὐτοῖς καὶ ἐς τὸ λεύκωμα | [ἀν]α[γ]ρ[ά]φεν ἐπιτέτακται. | [τὰν δὲ γ]ενομέναν δαπά[ναν ἐς] τὰν ἀναγραφὰν τ[ε]λεσάντω] τοὶ ναπόαι ἀπὸ | [τῶν ὑπα]ρχόντων τοῖς θε|[οῖς χρημ]άτων καὶ ἀπολογ|[ισάσθων] μετὰ τᾶς ἄλλας δ[απάνα]ς. αἰ δέ κά τις τῶν ἀ[ρ]χ|[ευόν]των ἀπειθῆ τοῦδε τοῦ | ψαφίσματος, πεντακατίας | δραχμὰς ἀποτεισάτω ἱε|[ρὰς τοῦ Ἀ]πόλλωνος.*

vs. 1 *Πραξιμ.*, non *Πραξ[ικλ]*. LS. 33 *ἐξαγευμένος* (acc. loco nom.) aut *ἐξαγεύμενος* (loco *-οι*. DS). 38 (*δέ*) deest in l. 43sq. (*θ*)[*υγά*]*τηρ κτλ.* DI; probaverunt alii et Herzog BerlBer 1901, 479; *ε . . τησ και αματη -ε* P.; *της* in *τηρ* correctae sunt a lapicida. 79 sq.: vide catalogum DI 3706. 98. 106 *ναπόαι* Herzog (DI IV p. 507). 99 [*μὲ*]*ν* P. DS. 100 [*τ*]*έως* P. DS, contra dixerunt DI. LS. 105 *τελ.* LS.

---

254 [^{2}163] Antimachiae in Co insula. III aut II. — Honores. — Hauvette-Besnault et Dubois BH 5, 238/40. Paton 384. DI 3720. Mi 428.

ἐπὶ μ[ο]νάρχου [Φ]αινίππο[υ], μ[ηνὸ]ς Πανάμου, ἀμφεικάδι· [ἔδ]οξε τοῖς φυλέται[ς· ἐπ]ει[δὴ Π]ερικλῆς Νικάρχου αὐ[τὸς] | . π . . . . ας ἀρχεύειν τάς τε θυσίας ἐξέθυσε τοῖς θεο[ῖς] | μεγαλομερῶς καὶ ἀξίως αὐτοῦ τε καὶ τ[ῶ]ν φυλετᾶν, [ποη]σά[μεν]ος αὐτῶν καὶ τὰν ὑποδοχὰν φιλοδόξως καὶ ε[ὐνό]|ως, βουλόμενος ἐναποδ[ε]ίκ[ν]υσθαι τὰν ποτ' αὐτὸς εὔ|νο[ιαν]· ὅπως οὖν καὶ τοὶ φυλέται φαίνωνται ἐπισαμ[αιν]ό|[μ]ενοί τε καὶ τιμῶντες τὸς ἀγαθὸς τῶν ἀνδρῶν ἐπί τε τ[ᾶι | ποτ]ὶ τὸς θεὸς εὐσεβείαι καὶ τᾶι ποτ' αὐτὸς εὐνοίαι τε κα[ὶ φιλ]οδοξίαι, τοί τε λοιποὶ τοὶ [μ]ετὰ ταῦτα αἱρεύμενοι [ἀρχ]|εύοντες, θεωρεῦντες τὰν παρὰ τῶν φυλετᾶν ἐπ[ισα]μα[σία]|ν τε καὶ εὔνοιαν, πολὺ προθυμότεροι γίνωνται· [δεδ]όχθ[αι κ]|υρωθέντος το[ῦδ]ε τοῦ ψαφίσματος, ἐπαινέσαι καὶ στεφ[α|ν]ῶσαι αὐτὸν στεφάνωι χρυσέωι

ἀπὸ χρυσῶν δ(έκα) [ἀρετᾶς ἕ]νεκα καὶ εὐνοίας τᾶς εἰς αὐτούς. ἀποδότω δὲ [αὐτῶ]ι ὁ | ταμίας καὶ τὸν στέφ[ανον] τὸν κατὰ τὸν νόμον. Η· ἐ[ξῆ]|μεν δὲ αὐτῶι καὶ εἴ κα [δ]ήληται ἀναγράψαντα τόδε τὸ [ψά|φισ]μα ἐς στάλαν λιθίναν ἀναθέμεν παρὰ τὸς [β]ωμὸς | [τ]ὸς πατρίος. ψᾶφοι ἐπιδιδοῦσαι τὸν στέφανον . . Δ . ., [ἐ]ναν[τί]α οὐδεμία.

vs. 3 *ὑ]π[ομ]είνας*? Hicks, *ἐ]πα[γγ]ε[ίλ]ας*? Paton. DI.

---

255 [^{2}164] In oppido Coo. Stela marmorea. III. — Honores. — Hauvette-Besnault et Dubois BH 5, 225/7. Paton 44. DI 3642. Mi 1300.

τοίδε ἐστεφανώθην ἀρχεύσαν|τες καὶ τὰ ἱερὰ ἐχθύσαντες κατὰ τ|ὰ πάτρια ταῖς Νύμφαις καὶ δεξά|μενοι τὸς φυλέτας ἀξίως τᾶν θεᾶν· Χάρμιππος Χαρμοκλεῦς, | Διοκλῆς Ἐπινίκου, | Νικήρατος Νικοστράτου, | Διογένης Νικοστράτου, | Χαρμίδας Αἰνησία, Διοκλῆς Ἀρχεδάμαντος, | Λύκαιθος Αἰνησία, | Τελέσιππος Παρμενίσκου, | Διοκλῆς Ἀπολλοδώρου, | Παρμενίσκος Χαριδάμου, Νικήρατος Νικηράτου, | Δράκων Θράσωνος, | Ἀρισταγόρας Σίμου, | Λύκαιθος Παρμενίσκου, | Ἀρισταγόρας Διοκλεῦς, Ἐπίνικος Ἀρισταγόρα, | Πυθίων Ἀρκεσίλα, | Παναμύας Μαιδάτα, | Τίμαρχος Ἀριστογένου, | Τελέσιππος Ἀριστίππου, Νικήφορος Νικηράτου, | Χάρμιππος Παρμενίσκο[υ], | Ἀρχίδαμος Ἀρίστωνο[ς], | Φιλοκλῆς Τείσαρχο[ς] το[ὶ] | Ἡρακλείτου, Χαρμοκλῆς Χαρμίππου, Θεύδοτος | Παναμύα.

vs. 1 *ἐστεφανώθην*: sed *αἱρέθεν* DI 3626 A 11. 28 sec. DI.

---

256 Prope Kermeti in Co insula. I. — Terminus sepulcreti. — Herzog KF nr. 38.

ὅρος | τόπου | θηκαίου.

Cf. *ὅρος θηκαῖ|ος θιάσου | Ἀφροδισιαστ|ᾶν τῶν | σὺν Εὐτύχωι* Herzog KF nr. 40, *ὅρος | θηκαίων | Ζήνωνος | τοῦ | Μιλτιάδου | Λαοδικέως | ἀπὸ | Φοινίκης* ib. nr. 42, *ὅρος | θηκαίον | Μάρκου Ἀν|νίου Ἑρμία* ib. nr. 43 et DI 3678/81; DS ^{3}1120.

---

257 Antimachiae in Co insula. Aet. Claudii. — Consecratio. — Ross Hellen. I 94 nr. 15. Paton 393. DI 3724.

ὁ δᾶμος ὁ Ἀντιμαχιδᾶν | καὶ Αἰγηλίων καὶ Ἀρχιαδᾶν | καθιέρωσεν Τιβέριον Κλαύδιον | [Γερ]μανικὸν Καίσαρα Σεβαστόν.

vs. 1 sqq.: cf. *ὁ δᾶμος ὁ Φυξιω|τᾶν* DI 3693, 1 sq., *τοὶ κατοικεῦντες | ἐν τῶι δάμωι τῶν Ἁλεντίων καὶ το[ὶ] | ἐνεκτημένοι καὶ τοὶ γεωργεῦντε[ς] | ἐν Ἁλέντι καὶ Πελῇ* (i. e. *Πελέα(ι)*; cf. *πελέα*, Epidauri DI 3325, 4, *Πτελεατικὸς οἶνος* Theocr. 7, 65 apud Paton p. 213, 1) DI 3698, 4 sqq. (aet. Aug.); *ὁ δᾶμος ὁ Ἱππιωτ[ᾶν* Herzog KF nr. 176 (I^{p}); *ὁ δᾶμος ὁ Ἰσθμιω|τᾶν* DI 3740; *Ἁλασάρνα* nr. 253, 6.

258 Cnidi. Tetradrachmum. ca. 400. — DI 3550, 1. — *Εὔβωλος*. — De Cnidiorum litteratura cf. Wiedemann Klio 8, 525. 9, 364 et ad nr. 248.

---

259 Delphis. Basis calcaria Apollinis Pythoctoni. Brevi post 386. — Cnidiorum Dedicatio. — Pomtow BphW 1909, 187. DS ³140.

Κνίδιοι τῶι Ἀπόλλωνι | ἀπὸ τῶμ πολεμίων δεκάταν.

---

260 Cnidi. *στοιχ.* Ante 360? — Proxenia. — Fragmenta duo (Paton Régr 9, 420 sq. Mi 449. DS ²475; Schede AM 36, 97) composuerunt Wilhelm WienAnz 1911, XIV, I et Roussel AM 36, 285. Bleckm 34. DS ³187.

ἔδοξε Κνιδ[ίοι]|ς, γνώμα προ[στα]|τᾶν· Ἰφιάδ[αν Δα?]|μοκράτεος Ἀβ[υ]δην[ὸν π]ρόξεν[ο]|ν ἦμεν Κνιδίων, | ἐπεὶ καὶ αὐτὸς | ὑποδέκεται τὰ|μ προξενίαν μετὰ τοῦ ὑπάρχον|τος προξένō τᾶ|ι πόλι ἐν Ἀβύδω|ι, καὶ ὑπάρχεν α|ὐτῶι καὶ ἐκγόνοις ἔςπλōν ἐ[ς Κ]|νίδον καὶ ἔ[κπλ]ōν ἀσυλὶ κα[ὶ ἀσ|π]ονδὶ καὶ ε[ἰρά|νας κ]αὶ [πολέμō].

---

261 Cnidi. Lapis calcarius. III. — Cnidiorum decretum de templo Bacchi. — Newton Hist. nr. 36. DI 3500. BritM 786. Mi 450. DS 561 ³978. Cf. Wilhelm GöttAnz 1898, 234.

ἔδοξε Κνιδίοι[ς, γν]|ώμα προστατᾶ[ν]· | περὶ ὧν τοὶ βάκ[χοι] | ἐπῆλθον, ὅπω[ς] ἁγνεύηται τὸ [ἱαρὸ]|ν τοῦ Διονύσ[ου το]|ῦ Βάκχου, μὴ ἐ[ξῆ|μ]εν καταλύε[ν ἐν | τῶ]ι ἱαρῶι τῶμ [βάκχων μ]ηδένα μη[δ' - - μη|δ]ένα μη[δὲ - -|ε]ν. εἰ δέ [κα μὴ | ἁγνε]ύη[ται τὸ ἱαρόν, - -]

vs. 3 *β.* non initiati, sed sacerdotes vel ministri Bacchi (BritM).

---

262 Cnidi. Marmor. III ex. — Dedicatio. — Newton Hist. nr. 18. DI 3517. BritM 810. Mi 1192. DS 779 ³1146.

Δάματρι καὶ Κούραι καὶ τοῖς | θεοῖς τοῖς παρὰ Δάματρι καὶ | Κούραι χαριστεῖα καὶ ἐκτίμα|τρα ἀνέθηκε Πλαθαινίς, Πλά|τωνος γυνά.

---

263 Calymnae in templo Apollinis. Stela marmorea. III p. post. (Wilh.). — Cnidiorum arbitrium de controversiis inter Diagorae Coi liberos et urbem Calymniorum ortis. — BritM 299. Rij 10. DI 3591. Mi 1340. DS 512 ³953.

A (*latus adversum*) *- - ο]ὐδὲ τὸ ἐπικαλε[ύμενον? - - οὐ|δ]ὲ ἔλασσον τούτου. ἐξορκώ[ντω δὲ τοὶ στραταγοὶ τοὺ]|ς δικαστὰς τοὺς δικάζοντας [- -, ὁ δὲ ὅρκος ἔστω ὅδ]|ε· ναὶ τὸν Δία καὶ τὸν Ἀπόλλω τὸν Λύκ[ιον καὶ τὰν Γᾶν δικασσέω περὶ] ὧν τοὶ ἀντίδικοι ἀντώμοσαν κατὰ γ[νώμαν τὰν δικαιοτάτα]|ν, καὶ οὐ δικασσέω κατὰ μάρτυρα, εἴ κα μὴ [δοκῆι ἀλαθέα μαρτ]υρεῖν· οὐδὲ δῶρα ἔλαβον τᾶς δίκας ταύτας ἕ[νεκεν | ο]ὔτε αὐτὸς ἐγὼ οὔτε ἄ(λ)λος οὔτε ἄλλα ἐμὶ[ν οὐ μαχανᾶι οὐδ]|εμιᾶι· εὐορκεῦντι μέμ μοι εὖ εἶμεν, ἐπιορκεῦντ[ι δὲ τὰ ἐναντία.] τὰ δὲ ψαφίσματα καὶ τὰς προκλήσεις καὶ εἴ τί κα ἄλλο*

δ[έον ἐγ δα]|μοσίου φέρηται, τιθέσθων ἐπὶ τὸ δικαστήριον τοὶ ἀ[ντίδικοι ἑκ]|άτεροι ἐσφραγισμένα τᾶι δαμοσίαι σφραγῖδι πόλιος ἑκα[τέρας], | καθʼ ἅ κα ἑκατέρα ἁ πόλις ψαφίξηται, καὶ παραδόντω τοῖς στρατ|αγοῖς, τοὶ δὲ στραταγοὶ λύσαντες ἐγδιδόντω ἐς τὸ δικαστήριον πάντα τὰ γράμματα ἀμφοτέροις τοῖς ἀντιδίκοις, τιθέσθων δὲ κα[ὶ] | τὰς μαρτυρίας ἑκάτεροι πρὶν οὗ λέγεσθαι τὰν δίκαν. λεγέσθω δὲ | τᾶς δίκας ὁ μὲν πρᾶτος λόγος ἑκατέροις ποτὶ χόας δέκα ὀκτώ, ὁ δὲ | δεύτερος ποτὶ χόας δέκα, συναγόρους δὲ ἐξέστω ἑκατέροις | παρέχεσθαι τέτορας, ἐξέστω δὲ καὶ μαρτυρὲν τοῖς συναγόροις. τὰ δὲ ψαφίσματα καὶ τὰς προκλήσεις καὶ τὰν γραφὰν τᾶς δίκας καὶ εἴ τί κ|α ἄλλο ἐγ δαμοσίου φέρηται ἀναγινωσκέτω ὁ γραμματεὺς ὅν κα ἑ|κάτεροι παρέχωνται καὶ τὰς μαρτυρίας ἄνευ ὕδατος. ὁ δὲ μάρτ|υρ, ὁ μὲν δυνατὸς ἐὼν παρεῖμεν, μαρτυρείτω παρεὼν ἐπὶ τοῦ δικα|στηρίου, τοὶ δὲ ἀδύν[α]τοι τῶμ μαρτύρων παραγενέσθαι ἐπὶ τὸ δικαστήριον ἐγμαρτυρησάντω ἐπὶ τῶν προστατᾶν ἐν ἑκατέρα[ι] | τᾶι πόλι τετάρται ἐξ ἰκάδος μηνὸς Βατρομίου ὃν Καλύμνιοι ἄγοντ[ι], | Κῶιοι δὲ Καφίσιον, παρεύντων τῶν ἀντιδίκων, εἴ κα χρείζωντι παρῆ|μεν· τοὶ δὲ μάρτυρες π[ο]τομνύντω τὸν νόμιμον ὅρκον ἐπὶ τᾶν μ|αρτυριᾶν ἀλαθέα μαρτυρεῖν καὶ μὴ δυνατοὶ ἦμεν παραγενέσθαι ἐπὶ [τὸ] δικαστήριον, τοὶ δὲ προστάται τὰς μαρτυ[ρία]ς τὰς ἐγμαρτυρηθείσα|ς ἐπʼ αὐτῶν ἐπισαμαινέσθω τᾶι δαμοσί[αι σφρ]αγῖδι, παρασαμαινέσθω δὲ | καὶ τῶν ἀντιδίκων ὁ χρείζων· ἀντίγραφα [δ]ὲ διδόντω τοὶ προστάται τ|αυτᾶν τᾶν μαρτυριᾶν παραχρῆμα τοῖς ἀντιδίκοις, ἀποστειλάντω δὲ | τοὶ προστάται τᾶμ [μ]ὲν ἐν Κῶι μαρτυρηθεισᾶν μαρτυριᾶν πασᾶν ἀν[τί]γραφα τὰ μὲν ἐσ[φρ]αγισμένα τᾶι δαμοσίαι σφραγῖδι, τὰ δὲ ἀσφράγισ|[τα] ἐπὶ τοὺς προσ[τ]άτας τοὺς ἐν Καλύμναι ἐν ἁμέραις ἴκατι ἀφʼ οὗ κα ἐγμαρ|[τυρ]ηθῆι, ἀποστειλάντω δὲ καὶ τοὶ προστάται τοὶ ἐν Καλύμναι τᾶν μ[αρ|τυρ]ιᾶν τᾶν ἐγμαρτυρηθε[ι]σᾶν ἐφʼ αὐτοῖς ἀντίγαφα πασᾶν, τὰ μὲν ἐσφρ|αγισμένα τᾶι δαμοσίαι σφραγῖδι, τὰ δὲ ἀσφ(ρ)άγιστα ποτὶ τοὺς προστά[τ]ας τοὺς ἐν Κῶι ἐν ἁμέραις ἴκατι ἀφʼ οὗ κα ἐγμαρτυρηθῆι, καὶ τὰ ἄλλα [πάντα] | ποιούντω τοὶ προστάται περὶ τᾶν ἐγμαρτυριᾶν καθάπερ καὶ τοὺς ἐ|ν Κῶι προστάτας γέγραπται ποιεῖν· τοῖς δὲ παραγενομένοις Καλυμ|νίων εἰς Κῶν ἐπὶ τὰν ἐπάκουσιν τᾶν μαρτυριᾶν ἀσ[φάλειαν δότ]|ω ἐν Κῶι Φιλῖνος. διδόντω δὲ καὶ ἀνάκρισιν τοὶ [στραταγοὶ τῶν μαρ]τύρων ἑκατέροις κ[α]θʼ ἕνα μετὰ τοὺς πράτους [λόγους τᾶς δίκας], | ἀνακρινάντω δὲ καὶ το[ὺ]ς μάρτυρας ἑκάτεροι ὅ[σα τᾶς δίκας ἱ]|κνεῖται, ἄλλο δὲ μηδέν, καὶ τὸ ἐρωταθὲν ὑπὸ [τῶν ἀντιδίκων δ[ι]καζόντω το(ῖ)ς ἀντιδίκο(ι)ς τοὶ στραταγ[οί· εἰ δέ κα μὴ ἱκνῆται τὸ ἐ]|ρωτώμενον, ἐπερωτῆι δὲ

ὑπὲρ αὐτοῦ, τ[οῦ λόγου ἐκκλαιέσθω. εἰ δέ κα τοὶ] λόγοι μὴ συντελέωνται παρ' ἀνφοτέρ[ων ποτὶ τὰν τήρησιν τοῦ ὕδατος, | λ]εγόντω ἐς ὅ κα τὸ ὕδωρ ἐ[γ]ρυᾶι. συντελε[σθέντων δὲ τῶν λόγ]|ων διδόντω τοὶ στρατα[γοὶ] τὰς ψάφου[ς αὐτίκα μάλα.

B (*latus aversum*) - - σιος πο| - - Ἀριστόδαμον Ἀγ|[λαοστράτου - - τὰ Διαγόρα π]αιδία | ποτὶ τοὺς γεγ. | - - γο παρὰ τοὺς Κνιδίων στρ[αταγούς - -] ἐπὶ δαμιοργοῦ Ἀλκιμάχου ἀργυρί[ου] | - - ἁμῖν ἀφαιρεθέντος ἀπὸ τοῦ χρέως τοῦ Πανσ|[ιμάχου καὶ Ἱ]πποκράτευς, τᾶς τε ἀφέσιος τοῦ ταλάντου ὅ φαν|[τι] ἀφεῖσθαι Καλύμνιοι ὑπὸ Πανσιμάχου καὶ Κλευμήδευς, καὶ τ|ᾶν φιαλᾶν καὶ τῶν ἀλσέων καὶ τᾶν πεμπτᾶν ἀφαιρεθεισᾶν τᾶν ἀποδοσίων ἅς φαντι ἀποδεδωκὲν Καλύμνιοι Πανσιμ|άχωι καὶ Κλευμήδει καθ' ὁμολογίαν, ἅμ φαντι ποιήσασθαι | Καλύμνιοι ποτὶ Πανσίμαχον καὶ Κλευμήδη, περὶ ὧν πάντων | ἀμφισβατεῦντι αὐτοῖς τοὶ Κλευμήδευς κλαρονόμοι· τού|των πάντων ἀφαιρεθέντος τοῦ μέρευς ὃ εὑρίσκομες ἐπιπῖπτον ἐπὶ τὸ χρέος τὸ Ἱπποκράτει ὀφειλόμενον, ἀφαι|ρεθέντος δὲ καὶ τούτου π(λ)έονος ἀργυρίου ὅ φαντι Κα(λ)ύμ|νιοι ἀποδεδωκὲν Κλευμήδηι, καὶ τᾶν ἀλλᾶν ἀποδοσίων ἀφ|αιρεθεισᾶν πασᾶν, ἅς ἐν τᾶι ἀποκρίσει, ἃν ἔδωκε ὁ δᾶμ|ος ὁ Κώιων τῶι Καλυμνίων δάμωι, ἃν ἔλαβον ἄγγελοι παραγενόμενοι ἐς Κῶν, Ἐξάκεστος, Χαρικλείδας, Ἀρατό|φαντος, Ἀρατίδας, Εὐξίφαντος, γράψαντες ἀνηνίκα|μες ἔχοντας τὸς Ἱπποκράτευς κλαρονόμους ἐς τ|ὸ χρέος ὃ ὤφειλον Καλύμνιοι Ἱπποκράτει ὧι ἄρχει Καφίσ|ιος ἐπὶ Ἑρμώνακτος. ἀπαιτεύντων δὲ ἁμῶν τὰ ὑπόλοιπα τῶν χρημάτων τούτων ἃ γίνεται σὺν τ[ό]κωι, τὰ μέρη τὰ ἁμὰ οὐκ ἀποδίδοντι Καλύμνιοι φά|μενοι ἀποδεδωκὲν αὐτὰ καὶ τοὺς τόκους τοὺς | γινομένους Κλευμήδει τῶι Ἱπποκράτευς καὶ Κλε|υφάντωι τῶι Κλευμήδευς· τίμαμα τῶν χρημάτων ὧν δικαζόμεθα τάλαντα τριάκοντα. | ἀπεδικάσθη παρόντων. τᾶν ψάφων ταὶ καταδικάζ|ουσαι ἑβδομήκοντα ὀκτώ, ταὶ δὲ ἀποδικάζου|σαι ἑκατὸν ἴκατι ἕξ. Ἐλαφρίου ἑβδόμαι ἐπὶ δέκα, ἐ|πὶ δαμιοργοῦ Ἀλκιμάχου. συναγόρησε τοῖς π[αι]δίοις τοῖς Δια(γ)όρα Φιλῖνος Διοκλεῦς Κῶιος, τᾶι | δὲ Καλυμνίων [π]όλι Ἑκατώνυμος Πρυτάνι|ος Μιλήσιος, Ἐξάκεστος Ἀλκίνου Καλύμνιος, | Ἀρατόφαντος Ἀριστόλα Καλύμνιος.

A modum procedendi, B eius adhibitionem atque arbitrium continet. A 2 ἐξορκ.: cf. *Φιλωμένα* Liparae (col. Cnid.) DI 3554. 39 (ρ) deest in l. 48 (ι): υ l. B 16 (λ): δ l. 23 ὧι adv. 31 ἁ. π.: distinxit Wilhelm AEM 20, 80 adn. 34. 35 (γ): π l. Φ. Δ.: eius pater Δ-ῆς Φ-ου in tit. Coo a. 278 DS ³398 (Wilh.). 36 π]όλι est in l.

264 Cnidi. Lamina plumbea. II/I. — Defixio. — Newton Hist. nr. 84. Wachsmuth RhM 18, 571 nr. δ. DI 3539. IG III app. p. XI. Audollent 33.

ἀνιερ[οῖ Νάν]α[ς Δ]άματρι καὶ Κούρ[αι καὶ] | θεοῖς τοῖς παρὰ Δάματρι καὶ Κού|ραι Ἐμφάνη καὶ Ῥοδώ, ὅτι λαβόν|τες παραθῆκαν παρὰ Διοκλε[ῦς] | οὐκ ἀποδίδοντι ἀλλ' ἀπο||[στερ]οῦντι. (ἐ)μοὶ μὲν ὅσια, τοῖς | δὲ μὴ ἀποδο[ῦ]σι ἀνόσια· ἀλ|λ' εἴ τι προςκαταλαλοῦντι.

vs 2 παρὰ Δ.: in aliis defixionibus Cnidiis πα Δάματρι, πα Δάματρα DI 3536, 20. 3542, 11. 3543, 5; cf. Brause 38. 207; Rüsch 1, 185. 5. 7 ἀποδιδ., ἀποδ.: cf. Jacobsthal IF 21 suppl. 65. 6 (ἐ): α N. — De defixionibus cf. praeter alios Wachsmuth l. c. 560 sqq.; Ziebarth GöttNachr 1899, 123 sq.

---

265 [²166] Cnidi. Marmor album. Aet. Augusti. — Honores Artemidori. — Hamilton Researches in Asia M. nr. 294. Newton Hist. nr. 52. Le Bas III 1572 bis. BritM 787. DI 3502.

-χρυσ](έ)ωι θα[λλοῦ] στεφάνωι καὶ ἄλλοις | [χρυ]σέοις στεφάνοις τρισί, εἰκόσ[ι | χα]λκέ[αι]ς τρισὶ καὶ μαρμαρίναις | [τρι]σὶ κ[αὶ χρ]υσέαις τρισί, ἀναγορεύσεσ[ι κα]ὶ στεφαναφορίαις καὶ προεδρίαις | [ἐν] πᾶσι τοῖς ἀγῶσι καὶ αὐτῶι καὶ | [ἐ]κγόνοις, σιτ[ή]σει ἐν δαμιοργίωι | [ἕω]ς κα ζώηι καὶ ἐπεί κα μεταλλάξηι | τὸν βίον, ταφᾶι δαμοσίαι καὶ ἐνταφᾶι [κατ]ὰ πόλιν ἐν τῶι ἐπισαμοτάτωι | [το]ῦ γυμνασίου τόπωι· ἑστάκει δὲ | [αὐ]τοῦ καὶ εἰκόνα χρυσέαν σύνναον | [τ]ᾶι Ἀρτάμιτι τᾶι Ἰακυνθοτρόφωι | [κ]αὶ Ἐπιφανεῖ, ἇς καὶ αὐτᾶς ἱερεὺς [ὑ]πάρχει διὰ βίου· καὶ βωμὸν | ἱδρυσάμενος καὶ θυσίας καὶ πομπὰν | καὶ γ[υ]μνικὸν ἀγῶνα πενταετηρικὸν | ψαφ[ι]ξάμενος Ἀρτεμιδώρεια | τετιμάκει αὐτὸν τιμαῖς ἰσοθέοις.

Artemidorus, Theopompi f., is qui Caesari id. Mart. in senatum ituro epistulam porrexit, ab Augusto obtinuisse videtur, ut liberum Cnidi statum confirmaret, quem avus eius Th. obtinuerat (BritM).

---

266 Cnidi. Stela marmoris nigri. II/IIIp. — Tit. sepulcralis. — BritM 836.

ὁ δᾶμος. | Εὐπορίας | Νωνίου | ἡρωίσσα[ς].

Formula ὁ δᾶμος (scil. στεφανοῖ) addita est formulae tit. sep. (BritM IV 1 p. 34).

---

267 Ansae vasorum Cnidiorum. — DI 3549, 1 sqq. additis paucis titt. quos in Ἀθηναίου vol. III p. 441/62 Τάσσος Ν. Νέρουτσος edidit.

1) ἐπὶ Ἀγαθο|κλεῦς. Θευ|δοσίου. Κνί(διον). — DI 9. — 2) ἐπὶ Ἀγαθοκ|λεῦς. Μένη|τος. Κνίδιο[ν]. — DI 11. — 3) ἐπὶ Ἀκανδρίδα. | Ἀρισταγόρα. | Κνίδιον. — DI 26. — 4) ἐπὶ Ἀμοτέλευ[ς]. | Κνίδιον. DI 29. — 5) ἐπὶ δαμιορ|γοῦ Ἀ[μ]οτέ|λευς. — DI 30. — 6) ἐπὶ Ἀμύντα. | Θευφίδευς. | [Κ]νίδιον. — DI 35. — 7) [²167, 2] Ἀριστιάδα. Ἀρτάμωνος. — DI 65. — 8) [²167, 4] Ἀριστοτέλευς. Ἁρμοκράτευς. Κνίδιον.

— Ἀθην. nr. 18. — 9 [[2]167, 7] *ἐπὶ Εὐάνορος. Νικασίβουλος.* — DI 186. — 10) [[2]167, 8] *ἐπὶ δαμιοργοῦ Εὐφραγόρα. Σωτίονος. Κνίδιον.* — Ἀθην. nr. 43. — 11) [[2]167, 10] *Θευκλεῦς. ἐπὶ Εὐκράτευς. Κνίδιον.* — Ἀθην. nr. 49. — 12) [[2]167, 13] *ἐπὶ Τιμακλεῦς. Νικασιβούλου.* — DI 357. — 13) *Φιλαμβούλου. Ἀριστοτέλευς.* — DI 362.

In 1sqq. alter genet. non patrem, sed figulum, in 7. 8. 13 bina nomina figulorum societatem significare videntur; cf. DI III 1 p. 242sq.

---

268 [[2]168] Nisyri. In arcis muro orientali et turri continua litteris plus quam digitalibus (imago ABS 12, 166sq.). IV. — Ross IG in nr. 165. DI 3496. DS 458 [3]936. IG XII 3, 86. Bleckm 1d.

δαμόσιον τὸ χ|ωρίον πέντε πόδε[ς] ἀπὸ τõ τείχε[ος].

πόδες, τείχεος ABS. *πόδες* acc. loco? cf. ad nr. 320. 426.

---

269 Nisyri. Stela marmoris albi. III utique non recentior. — Fragmentum legis. — Hiller v. Gaertringen AA 1896, 24 (cf. p. 45). Rij 2 p. 41. IG XII 3, 87. DS 880. Kern t. 32.

- *εἰ δέ τίς κα θά[πτηι ἢ ἐπί]|σταμα ἐφιστᾶι, ἀποτεισ[άτω] | δραχμὰς μυρίας καὶ αἱρέτω | τὸν νεκρὸν ἢ τὸ ἐπίσταμα· εἰ δ[έ] | κα μὴ ἄρηι, αἰρόντω τοὶ προστ[ά]|ται· εἰ δέ κα μὴ ἄρωντι το[ὶ πρ]ο-|[στά]ται, ἀποτεισάντω ἕκαστο[ς | δραχμὰ]ς χιλίας ἐν εὐθύναι[ς· φαινέτω δὲ] ὁ χρήιζων ἐπὶ [τῶι ἡμί(σ)σωι ἐπὶ* magistratus].

‚Cavetur, ne quis sepeliat neve monumentum condat, sed deest mentio aut loci, ubi haec fieri vetitum est aut hominum generis, cui haec ultima post mortem poena proponitur, velut tyrannorum . . . De monumentorum nimio luxu non agitur‘ (IG).

---

270 Nisyri. Stela marmoris albi. ca. 200. — Nisyriorum responsum (vs. 9sqq.) Philippo r. ad epistulam (vs. 1sqq.) datum. — Ross IG in nr. 166. DS 263. DI 3497. Mi 43. IG XII 3, 91.

βασιλεὺς Φίλιππος Νισυρίοις χαί|ρειν. ἀφέσταλκα Καλλίαν πρὸς | ὑμᾶς, ὄντα καὶ ἡμῖν συνήθη καὶ ὑ|μέτερον πολίτην. εἰδὼς δὲ αὐτὸν εὔνουν ὄντα τῆι πόλει καὶ πολλ|άκις ὑπὲρ ὑμῶν διειλεγμένον πρὸ|ς ἐμέ, ἐντέταλμαι αὐτῶι ἀναγγεῖλα|ι ὑμῖν, ἃ ἠβουλόμην ὑμᾶς εἰδῆσαι.

ἐπὶ Λυσικράτεος δαμιεργοῦ, μηνὸς Καρνείου ἰκάδι, | ἔδοξε τῶι δάμωι, βουλᾶς γνώ|μα⟨ι⟩. ἐπειδὴ Καλλίας πάρεστι | πὰρ βασιλέως Φιλίππου γράμ|ματα φέρων καὶ σφραγῖδα τὰν βασιλέως καὶ ἀπαγγέλλων | δεδωκὲν βασιλῆ ἁμῖν νόμοις | τοῖς πατρίοις καὶ ὑπάρχουσιν | χρῆσθαι, δεδόχθαι Νισυρίοις, | ὅπως Καλλίας ἀπαγγέλλει, - - - - χρῆσθαι απα - - -

vs. 1 De formis Delphicis *Νισούριος Νυσούρ.* Rüsch 1, 143.

271 Nisyri. Basis marmoris candidi. I. — Tit. honorarius et dedicatorius. — *Χαβιαρᾶς* EA 1913, 9 sq.

Εὐθραπτίδαν Σειμία τοῦ | Σειμία στρατευσάμενον | ἐν τοῖς ἀφράκτοις καὶ στε|φανωθέντα χρυσέοις στεφάνοις δυσὶ ὑπὸ Παναθηναϊ|στᾶν στρατευομένων τῶν | πλεόντων ἐν τριημιολίᾳ, ᾷ ὄνο|μα Εὐανδρία, καὶ ὑπὸ Παναθηναϊσ|τᾶν στρατευομένων τῶν πλεόντων ἐν τριημιολίᾳ, ᾷ ὄνομα Πολιάς, Ὀνασιφῶν Σιμία καθ' ὑοθεσί|αν δὲ Εὐθρεπτίδα τὸν ἀδελ|φὸν εὐνοίας ἕνεκα τᾶς εἰς | αὐτὸν θεοῖς.

Cf. EA 1913, 7 vs. 11 sqq. *στᾶσαι δὲ καὶ | εἰκόνα [α]ὐ[τ]ο[ῦ] χ[α]λκ[έ]αν ἐν ἱερῶι ἢ ἐν ἀγορᾶι, ὁποτέρει κα | δοκῆι συμφέρ[ε]ν· ἀναγορεῦσαι δὲ τὸν στέφανον ἐν τῶι | ἀ[γ]ῶνι τῶν Διονυσίων τᾶι πράται ἁμέραι τῶν Κυκλίων· | [ἀ]ν[αγ]ρ[ά-ψ]αι δὲ τὸ ψάφισμα εἰς τὸμ βατῆρα τοῦ ἀνδριάντος* (s. III); 8 nr. 2 vs. 2 sq. *ἐπὶ δαμιεργοῦ - - [μηνὸς] | Σμινθίου.*

IX. Tituli Rhodii cum Carpathio Teliisque ac cum Gelensibus et Agrigentinis (nr. 272—310). Cf. nr. 91.

1. Tituli Rhodii (nr. 272—294) cum Carpathio (nr. 295) Teliisque (nr. 296—300). — Titt. mercennariorum Psammetichi (nr. 301).

272 E Camirensium agro. Lapis opisthographus. *βουστρ.* VI. — Tit. sepulcralis. — Selivanov AM 16, 112/8. 240 (cf. Wackernagel ib. 243 sq.). IG XII 1, 737. DI 4140. Im 32. Bu 93. Ge 17.

σᾶμα τόζ' Ἰδα|μενεὺς ποίη|σα hίνα κλέος | εἴη· |
Ζεὺ(δ) δέ νιν ὅστις | πημαίνοι, λειό|λη θείη.

η, h = *H.* *τόζ(ε)* = *τόδε*, cf. el. *ϝειζώς* (Wack.). Cf. *Ἰδαμενῆός ἠμι* IG XII 1, 904 (in finibus Lindiorum).

---

273 Camiri. Lapis (*ἀγριόπετρα*). VI. — Tit. sepulcralis. — Selivanov AM 16, 109/12. Wilhelm EA 1892, 139. IG XII 1, 709 et p. 207. DI 4127. Im 32. Bu 94. Kern t. 10.

Εὐθυ[τ]ίδα | ἠμὶ λέσχα | τοῦ Πραξσιόδō | τοὐφαγō | τοὐφυλίδα.

λέσχα sepulcrum; cf. Be L 214; *τοὐφ. τοὐφ.* i. e. *τοῦ Εὐφ.*; pro *τοὐφάγō* ‚incidere debebat quadratarius' *τοὐφύλō* (IG add.). De *ξσ* Kretschmer AM 21, 422.

---

274 [²175] Camiri. Amphora. — Fröhner Mélanges 8 sqq. Im 32. Kirchh. A. 49. Rob 131 a. IG XII 1, 718. DI 4130.

ϙοσμία ἠμί· ἆγε δέ μ' ἐκ Λιτομίας.

ἐκ Λ.: cf. *ἐκ Σικελίιας* ad nr. 77. An *με Κλιτōμίας* cf. Be hPN 252? Pro *λ* etiam *ρ* male scripta legi potest. *ϙ. ἠ.*: cf. IG XII 1, 720 *Ἀστυοχίδα ἠμί*, 724 *Αἰδοῖō ἠμί* (in vasis Camirensibus).

275 Camiri. Cylix rotunda. VI/V. — Smith JHSt 6, 372/4. Kirchh. A. 49. Rob 131b. IG XII 1, 719. DI 4131. Im 32.

Φιλτõς ἠμι τᾶς καλᾶς ἁ κύλιξς ἁ ποικίλα.

Φιλτõς metri causa trochaei loco. Wil. (IG.).

---

276 E Lindiorum agro. Lapis qui vulgo *ἀμυγδαλόπετρα* vocatur, in *Ἐρημοκεκοίᾳ* inventus. VI/V. — Tit. sepulcralis. — Selivanov AM 16, 107/9. IG XII 1, 887. DI 4223. Im 33.

Ἰμα(σ)σαώ(λ)λας ἠμὶ τᾶς Ἀπο(λ)λω(ν)ίδα.

Ἰμ. nomen Caricum. Wil. (IG). (*ν*): *μ* l.

276ª E Rhodo insula. Vas. V. — Shear AJPh 29, 461/6.

A *καλλίστα γᾶς ha Βρασία | hως ἐμὶν δοκεῖ.*

B *Δεὺς [Ηερ]μᾶς | Ἄρταμις Ἀθαναία.*

A de creta figlina? (Hiller v. G. AM 42, 174).

---

277 Lindi in acropoli rupi incisus. V. — Blinkenberg et Kinch, Oversigt over det k. danske videnskabernes selskabs forhandlinger 1903, 83 sq. DS ³1035 (a).

τõ Κόχλιος | θιάσõ (scil. *locus*).

277ª Rhodi. Lapis calcarius. V p. pr. — Tit. sepulcralis. — Maiuri, Annuario 2, 150 sq.

Χαρω|νίδα|ς Ξην|οτίμω.

---

278 Naucrati. Tabula lap. *στοιχ.* V extr. — Proxenia a Lindiis decreta. — Pridik žurn. minist. narod. pr. (otd. klass. fil.) 1908, 19 sq. DS³ ad nr. 110.

ἔδοξε τᾶι βωλᾶι κα|ὶ τῶι δάμωι· Δέσπων | ἐγραμμάτευε, Ἀρχεάναξς ἦπε· Δαμόξεν|ον Ἕρμωνος ἐν Αἰγύ|πτωι οἰκέοντα ἀγγ|ράψαι πρόξενον Λι|νδίων καὶ εὐεργέτ|αν ἐν τῶι ἱαρῶι τᾶς Ἀθαναίας καὶ ἀτέλε|ιαν ἦμεν καὶ αὐτῶι | καὶ ἐκγόνοις καὶ ἐ|σαγωγὰν καὶ ἐξαγω-|γὰν καὶ ἐμ πολέμωι καὶ ἐν ἰρήναι· ἀγγρ|άψαι δὲ καὶ ἐν Αἰγύ-|πτ[ωι ἐν τῶι Ἑ]λλανί|ωι . . . . Ἁλιπό|λ[ιος· τὸ δὲ ψ]άφισμα ἀγγρά[ψα]ι ἐστάλα(ν) λιθίναν.

vs. 17 sq. *Ἑλλ.* [*Πολυκλέα*] Pr.; de *Ἑλλ.* cf. Hdt II 178 (Pr.). 20 (*ν*): *ι* l.

---

279 Lindi in arce. Stelae frustula duo. *στοιχ.* ca. 410. — Proxenia. — IG XII 1, 760 (frust. sinistrum). Blinkenberg et Kinch, Oversigt over det k. danske videnskabernes selskabs forhandlinger 1905, 34/48 (frustulum dextrum). NachmG 25. DS³ 110.

[ἔδοξε τᾶι β]õλᾶι ἐπὶ π[ρ|υτανίων τ]ῶν ἀμφὶ Δει[ν| . . . .]αν Πυθέω Αἰγ|[ινάταν τ]ὸν ἐγ Ναυκράτ[ιος] ἑρμανέα πρόξενον |

[ἥ]μεν Ῥοδίων πάντων κα|ὶ αὐτὸν καὶ ἐκγόνους κ|αὶ ἤμεν αὐτῶι καὶ ἔςπλ||[ō]ν καὶ ἔκπλōν καὶ αὐτῶ[ι κα]ὶ ἐκγόνοις ἀσυλὶ κ||[αὶ ἀσ]πονδὶ καὶ πολέμō | [καὶ εἰρ]ήνης.

Decretum Rhodiorum e vetustissimis esse videtur, si quidem communis Rhodiorum urbs tum temporis iam condita erat; formae Ionicae quae leguntur indicio sunt linguam rei publicae nondum constitutam fuisse (Bl. et K.); cf. *Ιελυσιον* (et *Ιαλυσιον*) 500—408 (Head 636). vs. 6. 8 *ἤμεν* (i. e. *-ειν*) Günther IF 32, 382.

---

280 Lindi inter arcem et portum rupi incisus. IV/III. — IG XII 1, 792. DS 626 [3]1035 (b).

Εὐαράτō | παίδων | προσχάραι|ος θυσία Βο|κοπίο[ις].

πρ.: idem IG XII 1, 791. 793. 796/9. 804; cf. Brause 112.

---

281 [[2]176] Camiri. Stela marmoris albi. ‚III utique non recentior' (IG). — Decretum. — Newton Transact. Roy. Soc. Lit. 1878, 435/41. BritM 351. DS 449 [3]339. IG XII 1, 694. Mi 433. DI 4118. So 35. Bu 95. Bleckm 12.

ἔδοξε Καμιρεῦσι· τὰς κτοίνας τὰς Καμιρέων τὰς | ἐν τᾶι νάσωι καὶ τὰς ἐν τᾶι ἀπείρωι ἀναγράψαι πάσας | καὶ ἐχθέμειν ἐς τὸ ἱερὸν τᾶς Ἀθαναίας ἐστάλαι | λιθίναι χωρὶς Χαλκῆς· ἐξήμειν δὲ καὶ Χαλκήταις ἀναγραφήμειν, αἴ κα χρήιζωντι, ἑλέσθαι δὲ ἄνδρας | τρεῖς αὐτίκα μάλα, οἵτινες ἐπιμεληθησεῦντι ταύ|τας τᾶς πράξιος ὡς τάχιστα καὶ ἀποδωσεῦνται | τῶι χρήιζοντι ἐλαχίστου παρασχεῖν τὰν στάλαν | καὶ τὰς κτοίνας ἀναγράψαι καὶ ἐγκολάψαι ἐν τᾶι στάλαι καὶ στᾶσαι ἐν τῶι ἱερῶι τᾶς Ἀθάνας καὶ περιβολιβῶ|σαι ὡς ἔχηι ὡς ἰσχυρότατα καὶ κάλλιστα· τὰ δὲ τε|λεύμενα ἐς ταῦτα πάντα τὸν ταμίαν παρέχειν. | ἐγ δὲ ταυτᾶν τᾶν κτοινᾶν ἀποδεικνύειν τοὺς | κτοινάτας μαστρὸν ἐν τῶι ἱερῶι τῶι ἁγιωτάτωι ἐν τᾶι κτοίναι κατὰ τὸν νόμον τὸν τῶν Ῥοδίων· | τοῦτοι δὲ συνλεγέσθων ἐν Καμίρωι εἰς τὸ | ἱερὸν τὰς Ἀθαναίας, ὅκκα τοὶ ἱεροποιοὶ παραγγ[έλ-|λ]ωντι, καὶ ἀθρεόντω τὰ ἱερὰ τὰ Καμιρέων [τὰ δα|μο]τελῆ πάντα αἴ τι - -

vs. 4 *Χαλκῆς*: forma contracta ex *-έᾱς* (Blass DI); cf. *Νεμῆι* (pro *Νεμέᾰι*) IvO 153 (DI 3765c), *ἐννῆ* saepius in annalibus templi Lindii (II/I[a]) B 55. 56. 89 (Bonner Kleine Texte nr. 131). 6 *ἐπιμελ.*: vetustissimum exemplum fut. pass. in *-θησ-* in diall. Dor.; cf. Wackernagel Gl 7 suppl. 255. 14 *κτοινάτας*: cf. contra *κτοινετᾶν* IG XII 1, 157, 9. 3, 1270, 13 suppl. (Symae).; cf. Fraenkel Nom. ag. 2, 126. 16 *τοῦτοι*: idem Delphis (Thumb D 191).

---

282 Camiri. Tabula marmoris caerulei ‚III utique non recentior' (IG). — Catalogus patrarum Camirensium. — BritM 352. IG XII 1, 695. DI 4120.

A |. . . . . λέων πάτραι· | [Φ]ιλοκκικυδίδαι, | Χαρμυλιώνειοι, Κοσμόλειοι, | Μορμάδειοι, | Μειδίειοι, | Ἀριστάρχειοι. | Ἀλθαιμενίδος· Ἀμφινέων πάτραι· | Ἱπποτάδαι, | Γραϊάδαι, | Θωϊάδαι (*quater*), | Θαρσίλειοι. | Χυτριείων πάτραι· | Κρητινάδαι, Βουκολίδ[αι] (*ter*), - - - -

B . . . . . λέων πάτραι· [Θ]αρσαγ[ό]ρειοι, | Βωλαιο[νίδ]αι, | Α ριστο[τι]μίδαι. |

Ἀλθαιμε[νίδος]· | Ἀμφινέω[ν πάτρ]αι· Εὐτελίδ[αι], | Ἀμφινεῖς, | Ναινίειοι, | Κρινίειοι, | Κλευγένειο[ι], Εὐανόρειοι. | Χυτριείων πάτρ[α]ι· | Ἰφικλίδαι, | Χαριδαμίδαι, | Καλλιδάμειοι, Θαρσιάδαι, | Κρητινάδαι, | Μητύλειοι, | Κρητινάδαι. | Ληχείων π[άτραι]· Κλ - - - - |

C [Ἀ]νδρώνειοι, | Δεξιωνίδαι, Εὐρυθεμίειοι, | Δαμητίδαι, | Λυκώνειοι, | Τιμοκρίτειοι, | Ποιμανόρειοι. Πυλλωνείων πάτραι· | Μαιωνίδαι, | Μελάνδρειοι, | Εὐωνακτίδειοι, | Τιμοφίλειοι, Ἀγαθοβουλίδαι, | Νικώνειοι. | Βουκολείων πάτραι· | Κρητινάδαι, | Δωριάδαι, Ἁγησιδίκειοι, | Μειδαγόρειοι, | - - - -

A 19 Ἀλθαιμ. tribus nomen; patronymica quibus patrae significantur sunt pleraque aut Aeolica in ειοι aut Dorica in δαι (IG). A 20 Ἀμφινέων: nomen κτοίνας aut φρατρίας (DI). —, De demis Rhodiorum cf. Hiller v. G. AM 42, 171/84.

---

283 E Camirensium agro. Stela. III. — Donatio fundorum. — Martha BH 4, 138/45. IG XII 1, 736. DI 4139. DS 746.

- - - | [ἐ]ρανιστᾶν τῶ κοινῶι ἔ|δωκε δωρεὰν ἐς ταφία | τᾶς γᾶς τᾶς ἐν Ῥογκύω[ι], ὡς ἁ ὁδὸς ἁ φέρουσα ἐξ Ἀ[γ]|γυλείας εἰς Ἱπποτείαν, | μᾶκος ὀργυᾶν εἴκοσι πέν|τε, πλάτος ὀργυᾶν δέκα | ἕξ, ὡς ὅροι κεῖνται· δωρεὰν καὶ ἄλλον τόπον | ἐν τᾶι κτοίναι· δωρεὰν | τὸ τέμενος τοῦ Ἀσκλαπ[ι]|οῦ καὶ τοῦ Ἀπόλ[λωνος καὶ] | τᾶς Ἀφροδίτα[ς . . . .] ποιούμενος . . . . | τού[ς] ὅρο[υς] - - - -

---

284 [²177] Ialysi. Stela marmoris caerulei. ‚III utique non recentior' (IG). — Lex sacra. — Newton Transact. Roy. Soc. Lit. 1878, 442/7. v. Wilamowitz H 14, 457/60. BritM 349. DS 560 ³338. IG XII 1, 677. Mi 434. DI 4110. LS 2, 145. Bu 96.

ἔδοξε τοῖς μαστροῖς καὶ Ἰαλυσίοις, | Στρατῆς Ἀλκιμέδοντος εἶπε· | ὅπως τὸ ἱερὸν καὶ τὸ τέμενος | τᾶς Ἀλεκτρώνας εὐαγῆται κατὰ τὰ πάτρια, ἐπιμεληθήμειν | τοὺς ἱεροταμίας, ὅπως στᾶλαι | ἐργασθέωντι τρεῖς λίθου Λαρτ[ί]|ου καὶ ἀναγραφῆι ἐς τὰς στάλα|ς τό τε ψάφισμα τόδε καὶ ἃ οὐχ ὅσιόν ἐντι ἐκ τῶν νόμων ἐσφέ|ρειν οὐδὲ ἐσοδοιπορεῖν ἐς τὸ τέ|μενος, καὶ τὰ ἐπιτίμια τῶ[ι] πράσ|σοντι παρὰ τὸν νόμον· θέμειν δὲ | τὰς στάλας μίαμ μὲν ἐπὶ τᾶς ἐσόδου

τᾶς ἐκ πόλιος ποτιπορευομέ|νοις, μίαν δὲ ὑπὲρ τὸ ἱστιατόριον, | ἄλλαν δὲ ἐπὶ τᾶς καταβάσιος τᾶ[ς] ἐξ Ἀχαΐας πόλιος. |

νόμος, ἃ οὐχ ὅσιον ἐςίμειν οὐδὲ ἐςφέρειν ἐς τὸ ἱερὸν καὶ τὸ τέ|μενος τᾶς Ἀλεκτρώνας· μὴ ἐςί|τω ἵππος, ὄνος, ἡμίονος, γῖνος | μηδὲ ἄλλο λόφουρον μηθέν, μη|δὲ ἐςαγέτω ἐς τὸ τέμενος μηθεὶς τούτων μηθέν, μηδὲ ὑποδή|ματα ἐςφερέτω μηδὲ ὕειον μη|θέν· ὅτι δέ κά τις παρὰ τὸν νόμον | ποιήσηι, τό τε ἱερὸν καὶ τὸ τέμενος | καθαιρέτω καὶ ἐπιρεζέτω, ἢ ἔνοχος ἔστω τᾶι ἀσεβείαι· εἰ δέ κα | πρόβατα ἐςβάληι, ἀποτεισάτω ὑ|πὲρ ἑκάστου προβάτου ὀβολὸν | ὁ ἐςβαλών· ποταγγελλέτω δὲ | τὸν τούτων τι ποιεῦντα ὁ χρήιζων ἐς τοὺς μαστρούς.

vs. 7 *λίθου Λ.*: *Λάρτος* erat vicus in parte australi Rhodi insulae situs (DI); cf. nr. 288, 98; KSchumacher RhM 41, 628 sq.; Hiller v. G. AM 42, 176.

---

285 [^{2}183] E Lindiorum agro. Tabula marmoris caerulei. III. — Decretum Lindiorum. — Foucart RA 15 (1867), 204/18. BritM 357. IG XII 1, 761. Mi 435. DI 4154. DS ^{3}340 (omissis nominibus).

ἔδοξε μαστροῖς καὶ Λινδίοις, ἐπιστατᾶν (*scil.* γνώμα)· | ἐπειδὴ ἐπιστάται αἱρεθέντες ὑπὸ Λινδίων | Ἀνάξανδρος Πάγωνος Καμύνδιος, | Λυσίας Λυσικράτευς Λαδάρ[μι]ος, Εὔβουλος Εὐθυμάχου Πάγιος καὶ τοὶ αἱρεθέντες ἄνδρες | συναγωνίξασθαι ταῖς δίκαις | Παυσανίας Πολυζάλου Βράσιος, | Ἀστυμέδων Ἀνδροσθένευς Λινδοπολίτας, Ἁγήσανδρος Πολυαράτου Ἀργεῖος, | Ἐπικράτης Ἁγησιδάμου Κλάσιος, | Τελέσων Δαμοσ[θέ]νευς Κλάσιος, | Φιλίων Ἀνδροσ[θέν]ευς Λινδοπολίτας, | Ἐπικράτης Πάγω[ν]ος Καμύνδιος, Διδυμακλῆς Φιλ[ίν]ου Λινδοπολίτας, | Ἁγησίλοχος Ἁγ[ησά]νδρου Κραττάβιος, | Ἀρχίνομος Φιλόφρονος Κλάσιος, | Ἀρχοκράτης Στρατοκλεῦς Βουλίδας, | Καλλίστρατος Νικοστράτου Νεττίδας, Ἀλεξίμαχος Κλεανδρίδα Λαδάρμιος, | Ἀλεξίμαχος Μικύλου Λαδάρμιος, | Εὐκλῆς Ἁφαιστίωνος Ἀργεῖος, | Δεινίας Ἀνθαγόρα Λινδοπολίτας, | Ἵππασος Μικίωνος Λινδοπολίτας, Καλλίγνωτος Δαμοσθένευς Κλάσιος, | Ἀριστόμαχος Ἀ̣λεξάρχου Πεδιεύς, | Φαίνιππος Ἐπικράτευς Κλάσιος, | Νικαγόρας Ἀριστογένευς Νεττίδας, | Φιλοκράτης Δαμοκράτευς Λινδοπολίτας, Κλεαγόρας Κομάτα Κλάσιος, | Ἁγησίστρατος Εὐδίκου Βουλίδας, | Πιστοκράτης Θευγένευς Κλάσιος, | Ξενοφῶν Κλείτωνος Βράσιος, | Φαέθων Φιλοκράτευς Λαδάρμιος, Ἀλκιμέδων Φίλωνος Λινδοπολίτας, | Ὀνομακλῆς Μελανώπου Λινδοπολίτας, | Θεαίδητος Πολυχάρμου Νεττίδας, | ἄνδρες ἀγαθοὶ ἐγένοντο συνδιαφυλάξαντες Λινδίοις, ὅπως | ταὶ αἱρέσιες γίνωνται ἐν Λίνδοι τῶν ἱερέων κ[αὶ] ἱεροθυτᾶν κα[ὶ] ἱεροποιῶν καὶ τῶν ἄλλων τῶν ἐπὶ

τὰ κοινὰ τασσομέν[ω]ν ἐξ | αὐτῶν Λινδίων, καθ' ἃ καὶ ἐν τοῖς νόμοις γέγραπται, κα[ὶ μὴ] μετέ|χωντι τῶν ἐν Λίνδωι ἱερῶν οἳ μὴ καὶ πρότερον μετεῖχον· δεδό|χθαι τοῖς μαστροῖς καὶ Λινδίοις, ἐπαινέσαι αὐτούς, ὅτι ἄνδρες | ἀγαθοὶ ἐγένοντο περὶ τὰ ἱερὰ τὰ Λινδίων, καὶ ἀναγράψαι τόδε τὸ ψάφισμα ἐς στάλαν λιθίναν καὶ θέμειν ἐς τὸ ἱερὸν τᾶς Ἀθάνα[ς], | ὅπως πᾶσιν τοῖς ἐπιγινομένοις φανερὸν ἦι, ὅτι Λίνδιοι τῶν ἀ|γαθῶν ἀνδρῶν μνάμαν ποιεῦνται ἐς τὸν ἅπαντα χρόνον· τὸ | δὲ ἀνάλωμα τὸ ἐς τὰν στάλαν καὶ τὰν ἀναγραφὰν ὁ ἱερεὺς [τᾶς] | Ἀθάνας τελεσάτω· ὅπως δὲ ἁ στάλα τεθῆι ἐς τὸ ἱερὸν τᾶς [Ἀ]θάνας, τοὶ ἐπιστάται ἐπιμεληθέντω τοὶ ἐν ἀρχᾶι ἐόντες.

---

286 E Lindiorum agro. III. — Leges sacrae. 1) fragmentum stelae marmoris nigricantis. 2) lapis. — Martha BH 2, 615 sq. (1). Smith JHSt 4, 352 sq. (2). DS 622/3 [3]1030/1. IG XII 1, 905/6. Mi 721/2. DI 4232. 4231.

1) [[2]188] Θευδαισίου ἕκτα[ι] | ἱσταμένου Ποτ|ειδᾶνι Φυταλμί|ωι ὗς τέλεος | θοινῆται.

2) Ἀγριανίου ἐνάται | ἐξ ἱκάδος Διονύ|σωι ἔριφος.

Nomina mensium Rhod. paene eadem sunt atque Coorum (ad nr. 251): *Θεσμοφόριος Θ. Π. Διόσθυος Β. Σμίνθιος (Ζμ.) Ἀρτ. Ἀγρ. Ὑ. Π. Δ. Κ.*; de ordine cf. P-W 20, 1581. — Similem tit. Rhod. saeculi fere II attulit Hi (DS) e Frickenhausii apographo: *Ζμινθίου τετράδι ἱσταμένου Δαμάτερσιν οἶν κυεῦσαν.*

---

287 Deli. Marmor quadratum. III. — Dedicatio. — Dürrbach et Jardé BH 29, 217 sq.

Ῥόδιοι | Ἀσκλαπιῶι | ναυαρχεῦντος | Ἀριστοτέλευς.

---

288 [[2]181] Hierapytnae. Tabula marmorea opisthographa nunc superne mutila 220. — Foedus Rhodiorum et Hierapytniorum. — Le Bas Rev phil 1, 266 sq. (vss. 71/103). Naber Mn 1 (1852), 75/93 (e Cobeti et Steinbuechelii apographis). Mi 21. DI 3749. DS [3]581. Cf. Scrinzi Atti Ist. Veneto 9 (1897/8), 1529/33.

θεός· τύχαι ἀγαθᾶι. — ἔδοξε τῶι δάμωι ἀγαθᾶι τύχαι· εὔξασθαι μὲν τοὺς ἱερεῖς καὶ | τοὺς ἱεροθύτας τῶι Ἁλίωι καὶ τᾶι Ῥόδωι καὶ τοῖς ἄλλοις θεοῖς | πᾶσι καὶ πάσαις καὶ τοῖς ἀρχαγέταις καὶ τοῖς ἥρωσι, ὅσοι ἔχοντι | τὰν πόλιν καὶ τὰν χώραν τὰν Ῥοδίων, συνενεγκεῖν Ῥοδίοις καὶ Ἱεραπυτνίοις τὰ δόξαντα περὶ τᾶς συμμαχίας· ἐπιτελέων δὲ | τᾶν εὐχᾶν γενομενᾶν θυσίαν καὶ πόθοδον ποιήσασθαι, καθά | κα δόξηι τῶι δάμωι. κυρωθείσας δὲ τᾶς συμμαχίας καὶ τῶν | ὅρκων συντελεσθέντων κατὰ τὰ γεγραμμένα ὑπάρχειν συμμα|χίαν (Ἱεραπυτνίοις) ποτὶ τὸν δᾶμον τὸν Ῥοδίων καὶ συνεργεῖν Ἱεραπυτνίους τῶι δάμωι τῶι Ῥοδίων καὶ πόλιν καὶ λιμένας καὶ ὁρματήρια | παρέχει(ν) καὶ εὔνους καὶ φίλους καὶ συμμάχους ὑπάρχειν

εἰς | τὸν ἅπαντα χρόνον· καὶ εἴ τίς κα ἐπὶ πόλιν ἢ χώραν στρατεύ|ηται τὰν Ῥοδίων ἢ τοὺς νόμους ἢ τὰς ποθόδους ἢ τὰν καθεστα|κυῖαν δαμοκρατίαν καταλύηι, βοαθεῖν Ἱεραπυτνίους Ῥοδίοις παντὶ σθένει κατὰ τὸ δυνατόν. εἰ δέ κα ὁ δᾶμος ὁ Ῥοδίων | μεταπέμπηται συμμαχίαν παρὰ Ἱεραπυτνίων, ἀποστελλόντων | τὰν συμμαχίαν Ἱεραπύτνιοι ἐν ἁμέραις τριάκοντα, ἀφ' ἇς | κα παραγγείλωντι Ῥόδιοι, ἄνδρας διακοσίους ὅπλα ἔχοντας, εἴ | κα μὴ ἐλασσόνων χρείαν ἔχωντι Ῥόδιοι· τῶν δὲ ἀποστελλομένων ἐόντων μὴ ἐλάσσους τῶν ἡμί(σ)σων Ἱεραπύτνιοι· εἰ δέ κα | πόλεμος περιέχηι Ἱεραπυτνίους, ἀποστελλόντων ὅσους κα⟨τα⟩ δυ|νατὸν ἦι αὐτοῖς. τοῖς δὲ πεμπομένοις παρὰ Ἱεραπυτνίων παρ|εχόντων Ῥόδιοι πορεῖα εἰς τὰν διακομιδὰν τὰν ἐκ Κρήτας | εἰς Ῥόδον· καὶ εἰ μέν κα τὰ(ν) συμμαχίαν μεταπέμπωνται Ῥόδιοι ἐν τέσσαρσι τοῖς πράτοις ἔτεσιν, ἀφ' ἇς κα παρα|γένωνται ἁμέρας εἰς Ῥόδον οἱ σύμμαχοι, διδόντων ἑκάστω(ι) ἀνδρὶ Ῥόδιοι ἑκάστας ἁμέρας ἐννέ' ὀβολοὺς Ῥοδίους, τοῖς δὲ | ἁγεμόσι ἁγουμένοις ἑκάστωι ἀνδρῶν μὴ ἐλασσόνων πεντή|κοντα διδόντων ἑκάστωι τᾶς ἁμέρας ἑκάστας δραχμὰς δύο· εἰ δέ κα μετὰ τὸν γεγραμμένον χρόνον μεταπέμπωνται Ῥόδιοι | τὰν συμμαχίαν, τὰ μὲν ἄλλα γινέσθω κατὰ ταὐτά, ἀφ' ἇς δέ κα | ἔλθωντι ἁμέρας τοὶ ἀποστελλόμενοι σύμμαχοι παρὰ Ἱεραπυ|τνίων εἰς Ῥόδον, παρεχόντων Ἱεραπύτνιοι τοῖς ἀποσταλ⟨λ⟩εῖσι συμ|μάχοις τὰ ὀψώνια ἁμέρας τριάκοντα, τοῦ δὲ ὑπολοίπου χρόνου διδόντων Ῥόδιοι καθὰ γέγραπται. εἰ δέ κα συστᾶ(ι) πόλεμος Ῥο|δίοις ποτί τινα τῶν ἐν συμμαχίαι ἐόντων Ἱεραπυτνίοις, εἰ μέν | κα πολεμῶντ(α)ι Ῥόδιοι, ἀποστελλόντων τὰν συμμαχίαν Ῥοδίοις | Ἱεραπύτν(ι)οι, εἰ δέ κα πολεμῶντι κατάρξαντες πολέμου, μὴ ἐπά|ναγκες ἔστω Ἱεραπυτνίοις ἀποστέλλειν συμμαχίαν Ῥοδίοις. εἰ δέ κα ξενολογίου χρείαν ἔχωντι Ῥόδιοι ἐκ Κρήτας, παρεχόντων | Ἱεραπύτνιοι ἀσφάλειαν τῶι ξενολογίωι ἐν τᾶι πόλει, παρεχόντων | δὲ καὶ ἐν τᾶι χώραι καὶ ἐν ταῖς νάσοις ταῖς παρ' αὐτῶν κατὰ | τὸ δυνατόν, καὶ πάντα συνεργούντων εἰς τὸ συντελεσθῆμεν Ῥοδίοις τὸ ξενολόγιον· ἄλλωι δὲ κατὰ Ῥοδίων ξενολόγιον μηθενὶ διδόντων παρευρέσει μηδεμιᾶι, μηδὲ στρατευέσθω Ἱεραπυτνίων | μηθεὶς κατὰ Ῥοδίων παρευρέσει μηδεμιᾶι, ἢ ἔνοχος ἔστω τοῖς | ἐπιτιμίοις, καθάπερ εἰ ἐπὶ τὰν Ἱεραπυτνίων πόλιν ἐστρατεύετο, | χωρὶς ἢ ὅσοι πρὸ τᾶσδε τᾶς συνθήκας ἐξεστρατεύκαντι. ταῖς δὲ | δυνάμεσι ταῖς ἀποστελλομέναις ὑπὸ Ῥοδίων πάντα συμπρασσόντων Ἱεραπύτνιοι κατὰ δύναμιν τὰν αὐτῶν, πᾶσαν πρόνοιαν | ποιούμενοι καθότι καὶ τῶν ἰδίων πολιτᾶν· καὶ εἴ κα συνίσταται | λαστήρια ἐν Κρήται καὶ ἀγωνίζωνται Ῥόδιοι κατὰ θάλασσαν | ποτὶ τοὺς λαστὰς ἢ τοὺς ὑποδεχομένους ἢ τοὺς συνερ-

γοῦντας | αὐτοῖς, συναγωνιζέσθων καὶ Ἱεραπύτνιοι κατὰ γᾶν καὶ κατὰ θάλασσαν παντὶ σθένει κατὰ (τὸ) δυνατὸν τελέσμασι τοῖς αὐ|τῶν· καὶ τοὶ μὲν λᾳσταὶ τοὶ ἁλισκόμενοι καὶ τὰ πλοῖα αὐτῶν | παραδιδόσθω Ῥοδίοις, τῶν δὲ ἄλλων ἔστω τὸ μέρος ἑκάστωι | τῶν συναγωνιξαμένων.

κατὰ ταὐτὰ δὲ καὶ Ῥόδιοι ἐόντων | Ἱεραπυτνίοις εὖνοι καὶ φίλοι καὶ σύμμαχοι εἰς τὸν ἅπαντα χρόνον, καὶ τοὶ ἄρχοντες τοὶ ἀποστελλόμενοι ὑπὸ Ῥοδίων | ἐπὶ τᾶν ναυτικᾶν δυναμίων ἐπιμελέσθω τᾶς πόλιος τᾶς | Ἱεραπυτνίων καθάπερ τᾶς ὁμοτελοῦς, πάντα πράσσοντες | τὰ ποτ' ἀσφάλειαν καὶ σωτηρίαν τᾶς πόλιος τᾶς Ἱεραπυτ|νίων. καὶ εἴ τίς κα βασιλεὺς ἢ δυνάστας ἢ ἄλλος ὁστισοῦν ἐπὶ πόλιν στρατεύ(ηται) τὰν Ἱεραπυτνίων, βοαθούντων Ἱεραπυτ|νίοις εἰς τὰν πόλιν παντὶ σθένει κατὰ τὸ δυνατόν. εἰ δέ τίς | κα τὰς ἀπὸ τοῦ δικαίου γινομένας ποθόδους ἐκ θαλάσσας | παραιρῆται Ἱεραπυτνίων ἢ τὰν καθεστακυῖαν δαμοκρατίαν | παρὰ Ἱεραπυτνίοις καταλύη(ι) καὶ συμμαχίαν μεταπέμπωνται Ἱεραπύτνιοι, ἀποστελλόντων Ῥόδιοι Ἱεραπυτνίοις τριήρεις δύο, | [τὰ δὲ τελούμενα εἰς τὰς τριήρεις μηνῶν δύο διδόντων] Ῥόδιοι Ἱεραπυτνίων τᾶι πόλει, [τοῦ δ]ὲ λοιποῦ χρόνου δι[δ|όντων Ἱεραπύτνιοι εἰς ἑκατέραν τρι]ήρη τοῦ μηνὸς ἑκάστου δραχμὰς μυρίας. εἰ δέ κα πόλεμος περιέχ[ηι | Ῥοδίους, ἀποστελλόντ]ων συμμαχίαν, ἄγ κα δυνατὸν ἦι. εἰ δέ κα πόλεμον ἐξενέγκωντι Ἱεραπύτνιο[ι | ποτί τινας ἄνε]υ τᾶς Ῥοδίων γνώμας, μὴ ἐπάναγκες ἔστω Ῥοδίοις ἀποστέλλει(ν) συμμαχίαν. τὰν δὲ συ[μ]μαχίαν ἀποστελλόντων Ῥόδιοι ἐν ἁμέραις τριάκοντα, ἀφ' ἇς κα παραγγείλωντι Ἱεραπύτνιοι, χωρὶς ἢ εἰ[ς] | τὸν ἐνεστακότα Ἱεραπυτνίοις πόλεμον ποτὶ Κνωσίους καὶ τοὺς συμμάχους· εἰς δὲ τοῦτον μὴ συμμα|χούντων Ῥόδιοι Ἱεραπυτνίοις. μὴ στρατευέσθω δὲ μηδὲ Ῥοδίων μηθεὶς κατὰ Ἱεραπυτνίων παρευρέσ[ει] | μηδεμιᾶι, ἢ ἔνοχος ἔστω τοῖς ἐπιτιμίοις, καθάπερ εἰ ἐπὶ τὰν Ῥοδίαν ἐστρατεύετο, χωρὶς ἢ ὅσοι πρὸ τᾶσδε [τᾶς] | συνθήκας ἐξεστρατεύκαντι. εἰ δέ τινές κα τῶν ὑποδεχομένων τοὺς λᾳστὰς ἢ συνεργούντων α[ὐ]τοῖς, συστρατευσάντων Ἱεραπυτνίων Ῥοδίοις ἐπὶ τὰν κατάλυσιν τοῦ λᾳστηρίου, πόλεμον ἐξενέγκ[ων]|τι Ἱεραπυτνίοις διὰ ταύταν τὰν στρατείαν, βοαθούντων Ῥόδιοι Ἱεραπυτνίοις παντὶ σθένει κατὰ τὸ δυ[να]|τόν, καὶ ὁ ταῦτα πράσσων πολέμιος ἔστω Ῥοδίοις. εἰ δέ κα ξενολογήσωντι Ἱεραπύτνιοι ἐκ τᾶς Ἀσίας εἰς ἴδι[ον] | πόλεμον, πάντα τὰ δυνατὰ συμπρασσόντων αὐτοῖς Ῥόδιοι εἰς τὸ ἀσφαλῶς διακομισθῆμεν τὸ ξενολόγι[ον] | εἰς Ἱεράπυτναν, ἄλλωι δὲ κατὰ Ἱεραπυτνίων ξενολόγιον μηθενὶ συγκατασκευαζόντων Ῥόδιοι παρε[υ]ρέσει μηδεμιᾶι.

ἐξέστω δὲ καὶ διορθώσασθαι τὰς συνθήκας, εἴ τί κα δοκῆι

ἀμφοτέραις ταῖς πόλεσι δια|πρεσβευσαμέναις ποθ' αὐτάς· ἃ δέ κα κοινᾶι δόξηι, ταῦτα κύρια ἔστω. κυρωθείσας δὲ τᾶς συνθήκας ἑλ[έσ]|θω ὁ δᾶμος παραχρῆμα ἄνδρας πέντε· τοὶ δὲ αἱρεθέντες μετὰ τῶν παραγεγενημένων ἐξ Ἱεραπύτν[ας] | πρεσβευτᾶν ὁρκιξάντων τὸν νόμιμον ὅρκον Ῥοδίους ἅπαντας τοὺς ὄντας ἐν ἁλικίαι, ἐμμενεῖν τᾶι συ(μ)μαχίαι | καὶ τᾶι συντάξει τᾶι γεγενημέναι τῶι δάμωι ποτὶ Ἱεραπυτνίους ἀδόλως καὶ ἀπροφασίστως, εὐο[ρ]κεῦντι μὲν εὖ εἶμεν, ἐπιορκοῦντι δὲ τὰ ἐναντία. κατὰ ταὐτὰ δὲ ὁρκιξάντων καὶ τοὺς πρεσβευτὰ[ς] | τοὺς παρὰ Ἱεραπυτνίων τοὶ πρυτάνιες παραχρῆμα ἐν τᾶι ἐκκλησίαι, ὅρκια δὲ παρεχέτω ὁ ἱερω[ργός,] τοὶ δὲ ταμίαι τελεσάντων τὸ ἐκ τοῦ νόμου γεγραμμένον. ὅπως δὲ καὶ Ἱεραπύτνιοι ὀμόσωντι τῶι [δά]|μωι, ἑλέσθαι ἄγγελον· ὁ δὲ αἱρεθεὶς ἀφικόμενος ποτὶ Ἱεραπυτνίους ὁρκιξάτω αὐτούς, καθὰ καὶ Ῥοδί[ους] | γέγραπται ποιήσασθαι τοὺς ὅρκους, καὶ ἐμφανιζέτω τὰν εὔνοιαν τὰν ὑπάρχουσαν αὐτοῖς παρὰ τῶι πλήθει τῶι Ῥοδίων. ὅπως δὲ καὶ τὰ δεδογμένα περὶ τᾶς συμμαχίας καὶ τᾶς συντάξιος ἀνα|γραφέντα εἰς στάλας φανερὰ ἦι εἰς πάντα τὸν χρόνον, ὁ μὲν δᾶμος ἀναθέτω στάλαν ἐν Ῥόδωι ἐν τ[ῶι ἱ]|ερῶι τᾶς Ἀθάνας, τοὶ δὲ πωληταὶ ἀποδόσθων, καθά κα ὁ ἀρχιτέκτων συγγράψηι, ὅπως ἐργασθῆι πέτρ[ας] | Λαρτίας καὶ τὰ κεκυρωμένα περὶ τᾶς συμμαχίας ταῖς πόλεσι ἀναγραφῆι καὶ τεθῆι εἰς τὸ ἱερόν, μὴ [πλέ]|ον τέλεσμα ποιοῦντες δραχμᾶν ἑκατόν· τὸ δὲ εὑρὸν τοὶ ταμίαι δόντων ἀπὸ τῶν ἐς τὰ κατὰ ψαφίσμα[τα] ἐκκειμένων. ἀναγραψάντων δὲ καὶ Ἱεραπύτνιοι καὶ θέντων παρ' αὐτοῖς ἐν τῶι ἱερῶι ὁπεῖ κα δόξηι Ἱεραπύτν[ας]. αἱρέθη ἄγγελος ποτὶ Ἱεραπυτνίους Διογένης Ἀριστώνδα· ὁρκωταὶ ἐν Ῥόδωι | Ἱερόμβροτος Ἁγησιτίμου, Ἀριστόλοχος Πεισιστράτου καθ' ὑοθεσίαν δὲ Ἀρχύλλου, | Τιμάρατος Νικοτίμου, Νικόμαχος Ἀριστάρχου, Σπαρτίων Φειδιάνακτος.

vss. 1—70 traditi sunt in codice quodam Ambrosiano s. XVI ex. (exscripsit Steinbuechel); vss. 71—103 e parte lapidis quae exstat in museo Venetiano descripsit Cobet; cf. ad nr. 199. Vitia quibus scatet apographum codicis Ambrosiani iam Naber correxit, alia lapicidae Creti tribuenda (DS). vs. 6 (*Ἱερ.*) suppl. Naber. 71 DS[3] ex apographo A. de Torres Hisp. (1805). 91 [*ργος*] suppl. Deiters De Cretensium titt. publ. Diss. Bonn. 1904 p. 58. 100 *Ἱ-τν[ας*: an *Ἱ-τν[ίοις*? Howald. An *ἔν τωι* loco *ἐν τῶι*?

---

289 [[2]178. 179] Prienae in antis templi Minervae. II in. (ante 190). — Rhodiorum arbitrium controversiarum inter Prienenses et Samios de finibus ortarum. — Partes tantum huius tit. editae sunt in CIG 2905 (e Chandleri potissimum apographo). Le Bas III 189/94. 205, totus BritM 403. DI 3758. IvP 37 (cf. ib. 38/42) et p. 309. DS [3]599 (vs. 1—44). Cf. v. Wilamowitz BerlBer 1906, 41 sqq. 54 sq. Buck ClassPh 8, 151.

Πριηνέω[ν καὶ Σ]αμίων. | Εὐφανίσκος Καλλιξείνου καθ' ὑοθ[ε-]σίαν δὲ Νικασιδάμου, Ἁγήσανδρο[ς] | Εὐδάμου, Τιμαγόρας Πολεμακλεῦς, [Νι][5]κόστρατος Τεισύ[λου, . . . α]νδρος Ἐ[κα]τωνύμου αἱρεθέν-[τες ὑπὸ το]ῦ δά[μου] | τοῦ Ῥοδίω[ν ἀποφάνασθαι περὶ τᾶ]ς χώρας ὑπὲρ | ἇς ἀμ[φισβατοῦντι Σάμι]οι ποτὶ Πριανε[ῖς κ]αὶ Πρι|[ανεῖς Σαμί]οις καὶ τοῦ φρουρίου ὃ καλεῖ[τ]αι Κ[ά][10]ριον, ὑπὲρ οὗ ἀμφισβατοῦντι Σάμιοι καὶ Πριανεῖς, | ἀξιωθέντος τοῦ δάμου ὑπὸ Σαμίων καὶ Πριανέ|ων ἄνδρας ἀποδεῖξαι, οἵτινες κρινοῦντι καὶ ὁρι|ξοῦντι καὶ ἀποφανοῦνται ἢ συλλυσοῦντι, δικαιολο|γησα[μένω]ν τῶν αἱρεθέντων ὑπὸ μὲν Σαμίων [15](*nomina Samiorum deleta sunt*) | . . . θίωνος, [ὑπὸ δὲ Πριανέων] Ἀπολλοδώρου | [τ]οῦ Πο[σ]ε[ιδωνίου, φύσει δὲ Ἀρτεμ]ιδώρου, Καλλι|κράτευς τοῦ Ἀπολλωνίου, Παρρασίου τοῦ Παρρασίο[υ], | Μητροδώρου τοῦ Ἀριστοδήμου, Ἀλκισθένευς τοῦ [20]Ἀνύτου, καὶ διακούσαντες αὐτῶν ἔν τε Ῥόδωι ἐν | τῶι ἱερῶι τοῦ Διονύσου καὶ ἐπὶ τᾶς χώρας τᾶς ἀμφισβα|[τουμέ]νας ἐφ' ἃν ἐπάγαγον ἁμὲ ἑκάτεροι καὶ ἐπὶ τοῦ | [φρουρί]ου ὃ καλεῖται Κάριον καὶ ἐν Ἐφέσωι ἐν τῶι ἱερῶι | [τᾶς Ἀρτέμι]δος, ἐπο[ιησάμεθα τὰν] κρίσιν κατὰ τὰ ὑφ' [25][ἁμῶν ἐφε]οραμέ[να, καὶ ἐκρί]ναμεν ε[ἶμειν? | τὸ φρούριον ὃ καλεῖται Κάριον κα[ὶ τ]ὰμ [περὶ | αὐτὸ χώ]ραν ἐπείμειν Πριανέων· τὰν δὲ ἀπόφα[σιν | δόντ]ες ὑπὲρ τούτων καὶ ποιήσαντες ἀντίγραφα [δύο], ἐδώκαμεν τὸ μὲν ἓν τοῖς πρυτάνεσι τοῖς Σαμίων, [30]Πρωτομάχωι Τρίτωνος, Σιμαλίωνι Εὐφράνορος, Θεο|μνήστωι Ἰσοκράτευς, Ἡγεπόλει Ἀντιπάππου, Λυσιμά|χωι Διονυσίου, καὶ τῶι γραμματεῖ τᾶς βουλᾶς Μενίπ|[π]ωι Κλέωνος, ὡς μὲν Ῥόδιοι ἄγοντι, ἐπὶ ἱερέως Πρατο|[φάνευς (*omisi reliquias* vss. 34/41) [42]-ὡς μὲν Ῥόδιοι ἄγοντι μηνὸς | Πανάμου ἐνάται [- -], ὡς δὲ Πριανεῖς [μην]ὸ[ς Θαργη]|λ(ι)ῶνο[ς - -].

[ἔφασαν δὲ Σάμιοι τὰν χώραν] [45]τὰν Βατ[ινῆτιν (*omisi reliquias* vss. 45/62; *post* vs. 52 *magna est lacuna*).

[63]-[ἔ]φασα[ν δὲ Πριανεῖς - -] (*post* vs. 64 *lacuna est satis magna*). [65][- - - ἐπὶ στεφαναφόρου Μακαρέως | τοῦ μ]ετὰ Ἀθηναγόραν συμφυγεῖν εἰς τὸ Κ[άρι]ον, φρουραρχοῦν|[τος ἑν]ὸς τῶν πολιτᾶν, καὶ τόν τε φρούραρ[χο]ν καὶ τοὺς φύλα|[κας] διὰ τὸ αἱρεῖσθαι τὰ τοῦ τυράννου πάν[τ]ας διαφθε(ῖ)ραι, καὶ | [ὑπὲ]ρ τούτων ἐπεδείκνυον ψάφισμ[α τ]ὸ ἀπο[στ]αλὲν ποτὶ [70][αὐτ]οὺς ὑπὸ τῶν περὶ τὸν τύραννο[ν κ]αὶ τὰ ψαφίσμα[τ]α τὰ | [ἀποστ]αλέντα ποτ' αὐτοὺς καθ' ὃν καιρὸν ἦσαν ἐκπεπ[τω|κότες ὑ]πὸ τῶν περὶ τὸν τύραννον καὶ συμπεφ[ευ]γότες | εἰς τὸ Κάριον, ἃ ἦν ὑπὸ πλειόνων πολίων ἀπε[στα]λμένα· ἐπ[ε]|δείκνυον δὲ καὶ τὸ ψάφισμα ὃ ἔγραψαν ποτὶ τὸν δᾶμον τὸν [75][Ῥ]οδίων, ἐόντες ἐν τῶι Καρίωι, ὑπὲρ τοῦ καταγαγε[ῖ]ν αὐτοὺς

εἰς | τὰν πόλιν, καὶ Πριανέων ποτὶ τοὺς βασιλ[έας Δη]μήτριόν τε καὶ | Λυσίμαχον ὑπὲρ αὐτῶν δύο [ψα]φ[ί]σμ[ατα], κα[ὶ] ἄλλο ψάφισμα | παρὰ Ῥοδίων ὑπὲρ τοῦ καταφυγε[ῖν το]ὺς περὶ [τὸν τ]ύραννον, καὶ ἄλ|λο ὑπὲρ ὅπλων δόσιος καὶ ποτὶ Ῥοδίους ὑπὲρ δανεισμοῦ χρημάτων· ἔφασαν δὲ καταλυθείσας τᾶς τυραν|νίδος, ἃ ἐ[γ]έ[νετο ἐπ' ἔτ]η τ[ρ]ία, κατελθόντες ἐκ τοῦ Καρίου ἐς τὰμ | πόλιν ἐπὶ στ[εφα-]ναφόρου Λύκου, καὶ τὸ φρούριον ἔχειν καθὰ | καὶ πρότερο[ν, κ]αὶ τ[ὰν χ]ώραν νέμεσθαι· καὶ μετ' ἐνιαυτὸν | ἐπὶ στεφανα[φόρου Καλ-]λιστράτου τᾶς ἀπολειπομένας [ἐν] τῶι τόπωι δ[αμοσίας χ]ώρας ἀπ[οδ]όσθ[αι] μέρη τινὰ διελόν|[τες εἰς κλά]ρους τριάκοντα ἑπτά, καὶ παρεδείκ[νυον | καὶ δύο? ἄ]λλα ψαφίσματα ὑπάρχοντα ἐν τῶι ἱερ[ῶι περὶ | τοῦ] λάχο[υς] τριάκοντα καὶ ἑπτὰ κλάρων, καὶ [ἐπὶ στεφανα|φόρου ..... ὅς ἐσ]τι ἀπὸ Καλλιστράτου πέμπτος, [ἀποδόσθαι μέρη τινά, διελόντες εἰς] ἄλλους κλάρους πέντε.

ἔφα[σαν δὲ Σάμιοι | ..... ὑπὸ Πριανέων τὸ φρού]ριον αὐτῶν παραιρῆσθαι καὶ - - | (*sequuntur reliquiae vss. quinque et magna lacuna*).

[ἔφασαν δὲ Πριανεῖς] (97) Σάμου παρεδ (*vel* λ) .... αιον δὲ καὶ καθ' ὃν καιρὸν - - - | ἐπιστολὰς ὑπὸ Ἁγησάρχου, ἐν αἷς ὑπὲρ μὲν ἰδιω[τικᾶν ἀμφισβασιᾶν ἐλέγετο, ὑπὲρ δὲ τοῦ Καρίου] | καὶ τᾶς περὶ τὸ Κάριον χώρας οὐθεὶς ἀμφεσβάτει· [νῦν δὲ τοὺς Σαμίους ἀποστεῖλαι ποτὶ τὸν δᾶμον] τὸν Ῥοδίων, ἐγκαλοῦντας, ὅτι χώρας τε πλῆθο[ς νέμοι|ντο Πριανεῖς παρὰ τὸ δίκα]ιον [καὶ μάλιστα τὸ]| Κάριον, ὑπὲρ οὗ νῦν διακρίνεσθαι.

οἱ δὲ Σάμιοι τά τε [τῶν ἱστ]ο[ρι]ο[γράφω]ν [μαρτύρια ὑφαγ]ήσαντο, | καθὰ καὶ ἐπὶ τᾶς κρίσιος τᾶς ὑπὲρ τοῦ Βατινήτου, ἀπὸ [τούτων π]ειρού[μενοι] δεικνύειν, διότι | τὸ Κάριον καὶ ἁ περὶ τοῦτο χώρα αὐτοῖς ἐπικλα[ρωθείη, καὶ καθ' ὃν και]ρὸν διαιροῦντο τὰν τῶν Μελιέων | χώραν, λαχεῖν αὐτοὶ Κάριον καὶ Δρυοῦσσαν κατὰ τὰ [ἐν ταῖς ἐπ]ιγραφομέναις Μαιανδρίου τοῦ Μιλησίου ἱστορίαις κατακεχωρισμένα, διότι λάχο[ιεν Κάριον καὶ Δρ]υοῦσσαν· μετὰ δὲ τὰν παράταξιν | τὰν γενομέναν αὐτοῖς ποτὶ Πριανεῖς ἐπὶ Δρυῒ καὶ νίκας κρίσιν ἔχειν, [καὶ] ταύταν τὰν χώραν ἐν ταῖς συνθήκαις | αὐτῶν γενέσθαι· ὁρίξασθαι γὰρ ποτ' αὐτοὺς ὡς ὑδάτων ῥοαί· καὶ παρ[είχ]οντο ἱστοριογράφους τοὺς μαρτυ|ροῦντας αὐ[τοῖς], ὅτι μὲν τὸ Κάριον ἔλαχον μετὰ τὸν Μελιακὸν πόλ[εμον, ὅτε] διωρίξαντο ποτὶ τοὺς | Πρια⟨ι⟩νε[ῖς, ὡς ὑδάτ]ων ῥοαί, Εὐάγωνά τε καὶ Ὀλύμπιχον κ[αὶ] Δοῦριν, [τὸ] δὲ Κάριον ἔφασαν αὐτῶν καταλαβέσθαι Πριανε[ῖς τ]ο[ὺς ἐκπ]εσόντας ὑπ[ὸ] τ[οῦ Ἱέρωνος τοῦ προσποιησαμένου τὰν τυραννίδα καὶ τῶν περὶ αὐτόν,] ἐξ οὗ ὁρμουμένους κατατρέχειν καὶ κακοποιεῖν τόν τε Ἱέ[ρωνα καὶ τοὺς τὰ αὐ]τὰ τῶι Ἱέρωνι αἱρε[υ-

μένους, καὶ κα]|τασχόντας ἔτη τρία κατελθεῖν εἰς τὰμ πόλιν ἐκπολιορκηθέντος τοῦ τυράννου τοῦ ἐν τᾶι [πόλει· καὶ] | μηκέτι προέσθαι Πριανεῖς, ἄλλ' [ἔχ]ειν ἔστε καὶ τὸν νῦν χρόνον [τοὺς ἐκγόν]ους αὐτῶν· τᾶς δὲ χώ[ρας τᾶς περὶ αὐ]|τὸ ἄρξασθαι αὐτοὺς ἐπιβαίνειν καθ' ὃν καιρὸν κατελθόντες [ἐς Πριάναν ἐπύθοντ]ο δοκιμασίαν πεποι[ῆσ]θαι πάντας Σαμίους καὶ ἀπογραφὰν τᾶς τε ἐν τᾶι νάσωι καὶ τᾶς [ἐ]ν [τᾶι] π[ε]ρ[αίαι γᾶς, καὶ μὴ ἂν] γενέ[σθαι ποτ' αὐ]|τοὺς ἀμφισβασίας διὰ τὸ ἐκ πλείονος χρόνου τὰν ἀπογραφὰν ποιεῖσθαι· λαβομ[ένους δὲ Πρια]νεῖς ἐπεμβαί|νειν τᾶς χώρας αὐτῶν, ὅθεν ᾤιοντο δεῖν ἀποδοθήμειν τὸν ἐξ ἀρχᾶς μὲν ἴδι[ον αὐτῶν γενόμεν]ον κλᾶρο[ν], | ὕστερον δὲ παραιρεθέντα ὑπὸ Πριανέων.

ἁμὲς δὲ θεωροῦντες τοὺς γράψαντας τὸμ [πόλεμον τὸμ] Μελια|κὸν καὶ τὰν διαίρεσιν τᾶς χώρας τοὺς μὲν ἄλλους πάντας φαμένους ἐκ τᾶς διαιρέσιος λ[αχ]ό[ντας Σαμίους] Φύγελα, καίπερ ὄντας τέσσερας μὲν Σαμίους· Οὐλιάδην καὶ Ὀλύμπιχον καὶ Δοῦριν καὶ Εὐάγωνα, δύο δὲ Ἐφεσίους· Κρεώφυλον καὶ Εὐάλκη, Χῖον δὲ Θεύπομπον, οὓς πάντας ἐν ταῖς (ἱ)στορίαις εὑρίσκομεν κατακεχωρικότας διότι ἔλαχον | Φύγελα· μόνον δὲ ἐν ταῖς ἐπιγεγραμμέναις Μαιανδρίου τοῦ Μιλησίου ἱστορίαις κατακεχωρισμένον διότι ἔλαχον | Σάμιοι Κάριον καὶ Δρυοῦσσαν· αἷς πολλοὶ τῶν συγγραφέων ἀντιγράφοντι, φάμενοι ψ[ευδε]πιγράφους εἴμειν | (*lacuna 7 vel 8 vss.*) | [- - ἐπὶ στεφαναφόρου Μακαρέως - - | κ]αὶ ἐκπεσεῖν μὲν Καρ[ίου ἔτη διακ]όσια καὶ [-κοντα κατασχόντας, κατελθεῖν δὲ | ἐπὶ στεφαναφό-]ρου Λύκου, ὅς ἐστι ἀπὸ Μακαρέως τέταρτος· ποτὶ δὲ τὸν Λυσίμαχον ἀ[ποστ]εῖλαι ὑπὲ[ρ τ]οῦ Βατινήτο[υ ἐπὶ στε]|φαναφόρου τοῦ θεοῦ τοῦ μετὰ Νίκανδρον, ὅς ἐστι ἀπὸ Λύκου πεντε[και]δέκατος, καὶ ἀπὸ κήνου τοῦ χρόνου | ἐχόντων αὐτῶν καὶ τὸ φρούριον καὶ τᾶς χώρας τᾶς περὶ τὸ φρούριον [πε]πρακότων κλάρους τεσσεράκοντα καὶ δύο, οὐκ ἀγανακτῆσαι τοὺς Σαμίους οὐδ' ἀποστεῖλαι ποτ' αὐτοὺς π[ρ]εσβείαν ἐγκαλοῦντας ἐπὶ τοῖς διωι|κημένοις, ἀλλὰ ἀμφισβασίας μὲν ποθ' αὐτοὺς ἰδιωτικὰς γεγόνειν(?) [π]αρορίας τοὺς(?) ἐκ τοῦ Καρίου οὐκ ἀμφεσβατήκειν τοὺς Σαμίους, ἀλλὰ τοὐναντίον ἐν τῶι ποτὶ Λυσίμαχον ἀ[ποστ]αλέντι ψαφίσματι γεγράφθαι, διότι | Πριανεῖς ἔχοντι τὰν αὐτῶν χώραν. μετὰ δὲ τὰν ἀναφερομέναν [ἐπ]ὶ Λυσιμάχου κρίσιν γεγόνειν, δια|γενομένων ἐτῶν πλειόνων, βασιλεύοντος Ἀντιόχου τοῦ Ἀντιόχου, [γε]νομένων περὶ αὐτοὺς καιρῶν δυσχε|[ρῶν], πέμψαι ποτ' αὐτοὺς Σαμίους [πρέσβεις λέγοντας,] ὅτι ἐν παρορία[ι] ἐνεκάλουν, ὑπὲρ δὲ Καρίου οὐθὲν | [εἰρηκέναι - -]θα περὶ [αὐτ]οὺς τὸν Λαοδίκειον πόλεμον, ἐν ὧι [- - πεμφθέν]τ[ος δὲ πο]τ' αὐτοὺς ἐπιστάτα⟨σ⟩ Σίμωνος, ὃν χ[ρό|νον - -] τὰς οὐσίας

καταγαγεῖν εἰς τὰμ πό[λιν | - - ποτ]ὶ τὸν γενόμενον διάδοχον τᾶς βασιλείας Φι|[- - ἀ]ποδόμειν τὰν χώραν ἃν ἔχοντες ἐξέπεσον ὑ|[πὸ - - κατελ]θόντες δὲ εἰς τὰν πόλιν νέμεσθαι τὰν χώ[ραν - - παρα-?]βαίνοντας τὰς χώρας τὰς ὁμόρους ἃς αὐ|[τοὶ - - ἐ]πὶ τᾶς Ἀντιγόνου βασιλείας, ὅθεν καὶ α|[- - ἀμφισβατ]οῦντας τοῖς Πριανεῦσι διότι παρορίζον|[ται - - ἀγανακτ]ῆσαι καὶ ἀποστεῖλαι πρεσβείαν ποτὶ Ἀντί- | [- - τ]ε παρορίζεσθαι αὐτῶν καὶ τὰν ἐν τῶι [- -] γράψαι ποτ' αὐτούς, διότι κρίνει ἐπὶ μὲν|[- -] Ἀλεξάνδρου διαβάντος εἰς τὰν Ἀσίαν ἐνέμον[το - -] τοὺς πρεσβευτὰ⟨ι⟩ς τοὺς παρὰ τῶν Σαμί|[ων - - ἐνέμοντ]ο [ταύτ]αν τὰν χώραν, καὶ ἐπ' Ἀντ[ι|γόνου - - ἐν ταῖς ἐπιστολαῖς] ταῖς βασιλικαῖς εὗρε[θ - -]χον τὸμ βασιλῆ ὑπ[ὲρ] τᾶς κρίσιος - - | [- - μν]αμονεύοντας, καὶ πά[λ]ιν ἐπ' Ἀντιόχου τοῦ βασιλέως | [- - ὑπὲ]ρ τοῦ παρορίζεσθαι τὰγ χώραν, ὑπὲρ τοῦ φρουρίου οὐθ[ὲ]ν | [εἰρηκότας, - -]τίοχον τὸν ὑπὸ βασιλέως Πτολεμαίου τεταγμένον | [- - ὑπὲρ τοῦ φρουρί]ου οὐθὲν εἰρηκότας, καὶ διὰ τὰς ἄλλας αἰτίας τὰς κατα[κεχωρισμένας - -] ἀφ' οὗ τὰμ πόλιν οἰκοῦντι παραδεικνύντας ὅτι καὶ τὸ φρούριον | [καὶ ἁ περὶ τὸ φρούριον χώρα - - π]άντα δίκαια τὰ εἰρημένα ὑπὸ Πριανέων καὶ κατακεχ[ωρισμένα | - ἐκρίναμεν τό τε φρούριον καὶ τὰν περὶ τ]ὸ φρούριον χώραν εἶμειν Πριανέων [- -]

ὅρους δὲ ἀπεδείξαμεν τᾶς τε Σαμίας καὶ Πριανίδος χώρας ἀρχόμενοι, ὡς μὲν Σάμιοι ποταγορεύοντι, ἀπὸ τῶν | κατὰ Σανίδειαν τόπων, ὡς δὲ Πριανεῖς, ἀπὸ Θινίχου πάγου, τὸν πρᾶτον λόφον τὸν πετρώδη τὸν ὑπερκείμενον ὑπὲρ τὰ ἐργάσιμα, ἐφ' οὗ καὶ ὅρον ἐπεκολάψαμεν· ἐφ' οὗ ἀνατείνει ἁ ἐκ τοῦ παρακειμένου ποταμοῦ | φάραγξ ἁ ἀναφέρουσα παρὰ τὰ ἐργάσιμα· ἃς μεταξὺ καὶ τοῦ προγεγραμμένου λόφου ἄλλον ὅρον ἐπὶ πέτρας | ἐπεκολάψαμεν· ὥστε τὰ μὲν ὑπὸ τὸν λόφον καὶ τὰμ φάραγγα καὶ τοὺς ἐπικολαφθέντας ὅρους εἶμειν Σαμίων, | τὰ δὲ ὑπὲρ τὸν λόφον καὶ τὰν φάραγγα καὶ τοὺς ἐπικολαφθέντας ὅρους εἶμειν Πριανέων. ἀπὸ δὲ τοῦ λόφου τοῦ | πράτου ἀποδειχθέντος, ὅς ἐστι ὑψηλότατος, ἄλλον ὅρον ἐπεκολάψαμεν ἐν τῶι καταλήγοντι τοῦ λόφου· ἀπὸ δὲ τούτου ἐπ' εὐθείας ἄλλον ἐθήκαμεν ὅρον· ἀπὸ δὲ τούτου ἐπ' εὐθείας πάλιν ἐθήκαμεν ὅρον· ἀπὸ δὲ τούτων ἐπ' εὐθείας ἁ φάραγξ | ὁρίζει ἔστε τὸν ὅρον ὃν ἐθήκαμεν παρὰ τὰν φάραγγα· ἀπὸ δὲ τούτου ἀναβαίνουσι ποτὶ τὸν πετρῶνα ἄλλον ὅρον | ἐπεκολάψαμεν εἰς τὸν πέτρον· ἀπὸ δὲ τούτου ἐν τῶι πετρῶνι ἄλλον ὅρον ἐπεκολάψαμεν· ἀπὸ δὲ τούτου, ὡς | παραφέρει παρὰ τὸν βουνόν, εἰς τὸ ἀπολῆγον αὐτοῦ ὅρους ἐπεκολάψαμεν (δύο)· ἀπὸ δὲ τῶν ἐγκολαπτῶν ὅρων εἰς τὸν ἀπέ|ναντι βουνὸν τὸν λεπρὸν ἐθήκαμεν ὅρον, καὶ ἀπὸ τούτου παρὰ

τὸν βουνὸν ἔστε καὶ τὰν φάραγγα ἐθήκαμεν ἄλλον ὅρον· ἀπὸ δὲ τούτου [καὶ παρὰ ταύ]ταν κατέναντι τοῦ ὄρευς διαβάντων τὸν ποταμὸν ἄλλον ἐθήκαμεν ὅρον· ἀπὸ δὲ τούτου ἐπιστρέψαν|[τες - - - -

vss. 1/44, 118 171 arbitrium Rhodiorum (158/171 fines a Rhodiis constituti); intercalata sunt argumenta Samiorum (44sqq. 90sqq. 101sqq.) et Prienensium (63sqq. 97sqq.), quae e lingua volgari in dialectum Rhodiam versa esse sermo indicio est aliquot locorum (ἱστοριογράφος 101. 107, Βατινήτου 103, τέσσερας 120). vs. 1 *Πρ. κ. Σ.* scil. *κρίσις περὶ χώρας* (IvP). 25 *ἐπείμειν* accedere (CIG). 65 Macareus ca. 300 (IvP). 67sqq. 110 de Hierone tyranno (ca. 300) cf. IvP p. XIV. 103. 108. 118 de Melie oppido a finitimis deleto cf. Vitr. IV 1, 3sqq. (IvP p. 193) et IvP p. VI. VII. 106 de pugna *ἐν Δρυΐ* cf. IvP p. VIII. p. 195. 124 *Καρ[ίου* IvP; *Καρ[σὶ* alii. 125sqq. de Lysimachi sententia cf. Ditt. Or 13; IvP p. 209. 126 *θεοῦ* Iovis; Nicander ca. 282 (IvP). 131 inf. *γεγόνειν* pendet e ptc. *ἀναφ.* (IvP). 132 *Ἀντ. τ. Ἀντ.*: *Ἀντ. θεός* a. 261/246. 134 *Λαοδ. πολ.*: id bellum confectum est 241/40 (IvP). 158sqq. *Σανίδεια* non est idem ac *Σάνδιος λόφος* (Thuc. III 19); e terminis primus et secundus adhuc exstant notis *ΟΡ Α*, *ΟΡ [Β]* insignes; *ὁ παρακείμενος ποταμός* (vs. 160) fortasse idem qui est in tit. IvP 42, 68 (ἐ]πὶ τὸν ποταμὸν τὸν καλούμενον ὑπὸ μὲν Σαμίων Μαιμαλώπη, ὑπὸ δὲ Πριηνέων τὸν ἀπὸ Δαιμασγορεία[ς); cf. IvP ad nr. 361; *ὄρος* (vs. 170) est summa Mycale (IvP).

---

290 [²180] Rhodi. Ara rectangula sepulcralem in usum destinata sub finem a. 1832 Rhodo Venetias advecta. II. — Quinque decreta in honorem Dionysodori Alexandrini. — Kellermann Hall. allg. Lit.-Ztg. 1834 Intell.-Bl. nr. 32. CIG 2525b. IG XII 1, 155. DI 3836.

A (II 40) [ἀ]ρχερανιστὰς Ἁλιαστᾶν καὶ Ἁλιαδᾶν | [Δ]ιονυσόδωρος Ἀλεξανδρεύς, εὐεργέ|τας, ἐπαινεθεὶς καὶ στεφανωθεὶς | ὑπὸ τοῦ κοινοῦ τοῦ Διονυσιαστᾶν | [ἐ]π' ἀρετᾶι χρυσέωι στεφάνωι καὶ τιμαθεὶς εὐεργεσίαι καὶ ἀτελείαι | πάντων καὶ στεφανωθεὶς ὑπὸ τῶν συν|[ε]ρανιστᾶν τῶν εὐεργετηθέντων | ὑπ' αὐτοῦ χρυσέοις στεφάνοις | δυσὶ ἐν τᾶι τῶν Βακχείων ὑποδο|χᾶι κατὰ τριετηρίδα, ἀνέθηκε | τριετηρίσι καὶ τῶι κοινῶι.

B (III 74) καὶ ἐπαινεθεὶς καὶ στεφανωθεὶς ὑπὸ τοῦ κοινοῦ τοῦ Παniαστᾶν | θαλλοῦ στεφάνωι καὶ στεφανωθεὶς | ἐπ' ἀρετᾶι χρυσέωι στεφάνωι ἀπὸ | χρυσῶν δέκα καὶ στεφανωθεὶς | πρᾶτος λευκαίας στεφάνωι καὶ τιμ[α]θεὶς εὐεργεσίαι καὶ ἀτελείαις δυσὶ | πάντων καὶ ἀναγορεύσει τᾶν τιμᾶν | ἐπὶ τῶν τόπων εἰς τὸν ἀεὶ χρόνον καὶ ἀρχερανιστήσας ἔτη δέκα ὀκτὼ | ἐπαύξησε τὸν ἔρανον.

C (IV 105) ἀρχερανιστὰς | Διονυσόδωρος Ἀλεξανδρεύς, εὐεργέτας, ἀρχερανιστήσας Ἁλιαστᾶν καὶ | Ἁλιαδᾶν ἔτη κη' ἑξὰν καὶ ἐπαυξήσας τὸν ἔρανον ἐπαινέθη καὶ ἐστεφανώθη ὑπὸ τοῦ κοινοῦ τοῦ Ἁλιαστᾶν καὶ Ἁλιαδᾶν | πρᾶτος θαλλοῦ στεφάνωι καὶ | στεφανωθεὶς ἐπ

ἀρετᾶι χρυσέωι | στεφάνωι καὶ τιμαθεὶς εὐεργεσίαι | καὶ ἀτελείαι πάντων, ἀνέθηκε [Διο]νύσωι Βακχείωι καὶ τῶι κοινῶι.

D (I 1) [ἐ]π' ἱερέως Δαμαινέτου, Διοσθύου δωδεκά|ται, Βουλαγόρας Ῥόδιος εἶπε· ἐπειδὴ | [Δ]ιονυσόδωρος Ἀλεξανδρεὺς εὐεργέτ[ας] | τοῦ κοινοῦ ἐρανίζων ἔτη τριάκοντα πέντε ἀνὴρ ἀγαθὸς ὢν διατελεῖ περὶ τ[ὸ] | πλῆθος τὸ Ἁλιαδᾶν καὶ [Ἁλιασ]τᾶν, καὶ πο[λ]|λὰς καὶ μεγάλας χρείας παρείσχηται τῶι κ[οι]|νῶι· ὅπως οὖν καὶ Ἁλιάδαι καὶ Ἁλιασταὶ τοὺ[ς] | ἀγαθοὺς ἄνδρας καὶ ζῶντας καὶ μεταλλ[ά-]ξαντας τὸν βίον φαίνωνται τιμοῦντες κ[αὶ] | καταξίας χάριτας ἀποδιδόντες τοῖς προα[ι]|ρουμένοις εὐεργετεῖν τὸν ἔρανον καὶ καλ[ὰν | ἀ]πόδειξιν ἐμ πᾶσι πεποιημένοις· τύχαι | [ἀ]γαθᾶι δεδόχθαι τῶι κοινῶι τῶι Ἁλιαδᾶν κα[ὶ Ἁ]λιαστᾶν, κυρωθεισᾶν τᾶνδε τᾶν τιμᾶν, ἐπα[ινέ]|σαι καὶ στεφανῶσαι Διονυσόδωρον Ἀλεξα[ν]|δρῆ εὐεργέταν τοῦ κοινοῦ εἰς τὸν ἀεὶ χρόν[ον] | χρυσέωι στεφάνωι τῶι ἐκ τοῦ νόμου μεγίστω[ι]· | καὶ ὁ γραμματεὺς ἀναγραψάτω τὰ δόξαντα, ὁ δὲ ἀρχερανιστὰς καὶ τοὶ ἄρχοντες οἵ τε ἐν[ε]|στακότες καὶ οἱ μετὰ ταῦτα ἀεὶ αἱρούμενοι ἐπ[ι]|μέλειαν ποιείσθωσαν, ὅπως ἐξαιρῆται αὐτῶ[ι] | εἰς στέφανον καθ' ἑκάσταν σύνοδον τριώβολο[ν]· | ὑπαρχέτω δὲ αὐτῶι τὰ τίμια καὶ μεταλλάξα[ν]τι τὸν βίον. καὶ ὅπως ἕκαστα γίνηται κατὰ τόδ[ε] | τὸ ψάφισμα καὶ κατὰ τοὺς νόμους καὶ ἀναγο-| [ρ]εύηται ἁ στεφάνωσις αὐτοῦ ἐν ταῖς συνό|δοις τᾶι δεύτερον ἁμέραι μετὰ τὰ ἱερά, ἐπιμέλει|[α]ν ποιείσθων ὅ τε ἀρχερανιστὰς καὶ τοὶ ἄρχοντες ἀεὶ τοὶ ἐν ἀρχᾶι ἐόντες. καὶ ὁ ἐπιστάτας τοῦ | κοινοῦ ἢ ὁ ἱεροκᾶρυξ ἀναγορευέτω τὸ κάρυ|γμα τόδε· ,τὸ κοινὸν τὸ Ἁλιαδᾶν καὶ Ἁλιαστᾶν | ἐτίμασε εἰς τὸν ἀεὶ χρόνον Διονυσόδωρον | Ἀλεξανδρῆ εὐεργέταν τοῦ κοινοῦ ἐπαίνωι, χρυσέωι στεφάνωι, δίδωτι δὲ αὐτῶι τὰς τι|μὰς καὶ ζῶντι καὶ μεταλλάξαντι τὸν βίον | ἀρετᾶς ἕνεκα καὶ εὐνοίας, ἃν ἔχων διατελεῖ | εἴς τε τὰ κοινὰ καὶ τοὺς αὐτοῦ ἐρανιστάς.' ἐπε[ὶ] | δέ κα μεταλλάξῃ τὸν βίον, τὸ ἐξαιρούμενον (II 52) αὐτῶι εἰς τὸν στέφανον εἰς τὸν ἀ|εὶ χρόνον λανβανόντω ὅ τε ἀρχε|ρανιστὰς καὶ τοὶ λογισταὶ καὶ ὁ ἐπι|στάτας, οἵ κα ἀεὶ ἐν ἀρχᾶι ἔωντι· καὶ | πριάσθων στέφανον καὶ διλήμνιον | καὶ ἀναγορεύσαντες τᾶι δεύτερον | ἁμέραι τᾶν συνόδων ἀποδόσθων κα[ὶ τ]ὸ εὑρὸν καταβαλέτω εἰς τὸ κοινὸν ὁ ἐπιστάτας ἐν τῶι συλλόγωι ἐν τῶι | ἐχομένωι μηνὶ τᾶν συνόδων, καὶ ὁ | γραμματεὺς ἀναγραψάτω εἰς τοὺς | ἀπολόγους· ,Διονυσοδώρου εὐεργέ|τα στεφανωθέντος χρυσέωι στεφάνωι εἰς τὸν ἀεὶ χρόνον, στεφάνου | τοῦ πραθέντος.' ὑπάρχειν δὲ αὐτῶι | τὰν ἀναγόρευσιν καὶ στεφάνωσιν | καὶ ἐπὶ τῶν τάφων ἐμ μηνὶ Ὑακινθί|ωι καὶ μεταλλάξαντι τὸν βίον, καὶ ποείσθων τὰν ἐπιμέλειαν ὁμοίως | ὅ τε ἀρχερανιστὰς καὶ τοὶ ἄρχοντες οἱ μετὰ

ταῦτα ἀεὶ αἱρούμενοι· τὸ δὲ ἐ|ξαιρούμενον αὐτῶι ἐν τῶι μηνὶ (III 85) *τῶι Ὑακινθίωι εἰς στέφανον εἰς τὸν ἀεὶ χρόνον | καταχρείσθων τοὶ ἄρχοντες καθ' ἕκαστον | ἐνιαυτὸν εἰς τὸν στέφανον τὸν ἀναγορευό|μενον ἐπὶ τάφοις μεταλλάξαντος αὐτοῦ | τὸν βίον, καὶ στεφανούντω αὐτοῦ τὸ μναμεῖον. ὅτι δέ κα μὴ ποιήσωντι κατὰ τόδε τὸ ψάφισμα οἷς | ἕκαστα ποτιτέτακται, ὀφειλέτω τῶι κοινῶι ὁ μὴ | πράξας τι τῶν γεγραμμένων δραχμὰς ἑκατόν, | ἔνοχος δ' ἔστω καὶ τῶι νόμωι (ὃ)ς κεῖται, εἴ τίς κα | κοινὸν ἀδικῇ, καὶ ἐξέστω⟨ι⟩ τῶι χρήζ(ο)ντι τῶν [ἐ]ρανιστᾶν ἀπογράψαι αὐτὸν τὸ ἐπιτίμιον. τ[ὸ] | δὲ ψάφισμα τόδ[ε κ]ύριον ἔστω εἰς τὸν ἀεὶ χρόνον, καὶ μὴ ἐξέστω μήτε ἄρχοντι μήτε ἰδι|ώται μήτε κινεῖν μήτε γνώμαν γράψασθαι | μήτε τοῖς ἄρχουσι προτιθέμειν, ὡς δεῖ τὰς δ[ε]δομένας τιμὰς Διονυσοδώρωι ἀκύρους εἶμ|μειν· ἢ ὁ γράψας ἢ ὁ προθεὶς ἀποτεισάτω τὸ γε|γραμμένον ἐπιτίμιον δραχμὰς ἑκατόν, καὶ ἁ γνώμ[α | α]ὐτοῦ ἄκυρος ἔστω, καὶ ἔνοχος ἔστω τῶι νό|μωι τῶι ἀκινήτωι.*

E (IV 116) *καὶ τιμαθεὶς εἰς τὸν ἀεὶ χρόνον | ἐπαίνωι, χρυσέωι στεφάνωι | [κ]αὶ λευκαίας στεφάνωι κα[ὶ] | ἀναγορεύσει τᾶν τιμᾶν ἐν ταῖς συνόδοις καὶ ταῖς | ἐπιχύσεσι ἐπὶ τῶν τόπων | εἰς τὸν ἀεὶ χρόνον.*

A—D vivo Dionysodoro inscripta sunt, E mortuo (IG). vs. 108 *κη'* i. e. *εἴκοσι τρία*; cf. IG XII 1, 4 II 46 (IG). 93 (δ) Howald: ω l. 94 (ο): ω l.

290ᵃ Rhodi. Marmor fuscum. II. — Dedicatio. — Maiuri, Annuario 2, 137 sq.

Κλεύπολις | Τιμακλεῦς | Ἀσκλαπιῶι καὶ Ὑγιεία[ι] | καὶ Ἡμεριδείοις.

Ἡ. ‚rasserenatrici dai mali' M.

---

291 [²185] Lindi. Basis marmorea I. — Tit. honorarius. — Ross RhM 4, 190/2. IG XII 1, 847. Mi 1303. DI 4201.

[Λίνδιοι ἐτίμασαν] | Ἀθανόδωρον Ἁγησάνδρου | καθ' ὑοθεσίαν δὲ Διονυσίου | ἐπαίνωι, χρυσ[έ]ωι στεφάνωι | καὶ εἰκόνι χαλκέαι — δεδώκαντι δὲ αὐτῶι καὶ ἀναγόρευσιν | τᾶνδε τᾶν τιμᾶν εἰς τὸν ἀεὶ χρόνον | καὶ προεδρίαν ἐν τοῖς ἀγῶσι | καὶ σίτησιν ἐν ἱεροθυτείωι καὶ στεφαναφορίαν | ἐν ταῖς παναγύρεσι καθ' ἕκαστον ἐνιαυτὸν αἷς ἄγοντι Λίνδιοι — καὶ | τᾶν τιμᾶν ἀναγορεύσει | εὐσεβείας ἕνεκα τᾶς ποτὶ τοὺς θεοὺς | καὶ ἀρετᾶς καὶ εὐνοίας καὶ φιλοδοξίας | ἂν ἔχων διατελεῖ εἰς τὸ πλ(ῆ)θος τὸ Λινδίων καὶ εἰς τὸν σύνπαντα δᾶμον.

vs. 14 (η): ε l. 15 *τὸν σύνπαντα δᾶμον*: i. e. universam civitatem omnium Rhodiorum; cf. ad nr. 279.

292 [²190] Lindi. Basis marmoris caerulei. I. — Tit. honorarius. — Ross RhM 4, 182 sq. IG XII 1, 828. Mi 1302. DI 4178.

Ζηνόδοτος Διοφάντου | τοῦ Ζηνοδότου | καθ' ὑοθεσίαν δὲ | Ὀνασάνδρου | γραμματεὺς μαστρῶν | ἱερατεύσας Ἀθάνας Λινδίας | καὶ Διὸς Πολιέως καὶ | Ἀρτάμιτος Κεκοίας.

vs. 5 de verbo *ἱερατεύειν* cum genitivo et cum dativo constructo cf. DI 3796 adn. — 8 *Κεκοίας*: cf. *Ἀρτάμιτος τᾶς ἐν Κεκοίαι* IG XII 1, 814 (s. II).

---

293 Rhodi in suburbio *Ἅγιοι Ἀνάργυροι.* Stela. — Post Selivanovum (1892) IG XII 1, 128. DI 4109.

μέρος Λιμήν, | κώμα Ἄφεσις, | κωμάρχας Ἀρι|στόβιος γ (i. e. *Ἀριστοβίου τοῦ Ἀριστοβίου*) *Δρυΐτας.*

---

294 Tituli ansarum vasorum Rhodiorum. IV—II (cf. Bleckmann Klio 12, 249). DI 4245. Cf. nr. 267.

1) (DI 2) Volcis. A *ἐπὶ Ἀθανοδότου. Βαδρομίου.* B *Ἀντίμαχος.*
2) (DI 10) Cypri. A *ἐπὶ Ξενοφ|ῶντος. | Ὑακινθίου.* B *Ἀμύντα.*
3) (DI 11) In Sicilia. A *ἐπὶ Παυ|σανία. | Πανάμου.* B *Ἶμα* (cf. *Ἰμᾶς* Nilsson Oversigt 1909, 437 nr. 254 et p. 99, 8).
4) (DI 12) Teli. A *ἐπὶ Σωδάμου. | Δαλίου.* B *Σωκράτευς.*
5) (DI 14) Catinae. A *ἐπὶ Τιμουρ|ρόδου. Βαδρομίου.* B *Ἶμα.*
6) (DI 78) Rhodi. *ἐπὶ Ἀγλ|ουκρίτου. | Σμινθίου.*
7) (DI 127) Alexandriae. *ἐπὶ Ἀμφείδους. Ὑακινθίου.*
8) (DI 222) Cypri. *Ἄρκευς.*
9) (DI 236) Alexandriae. *ἐπὶ Ἀρυλαΐδα. Δαλίου.*
10) (DI 348) Rhodi. *Λίτα.* 11) (DI 403) Rhodi. *Ζάνωνος.*
12) (DI 413) Regii. (*βουστρ.*) *ἐπὶ Θαρσιπόλιος. Πανάμου.*

---

295 [²171] Carpathi. Stela marmoris caerulei. II utique non antiquior (IG). — Menocriti medici honores. — Wescher RA 8 (1863), 469/91 (cf. Vercoutre ib. 39 (1880), 317/21). DS 491. BritM 364. IG XII 1, 1032. Mi 436. DI 4320.

. . . . . . *οίου Βρυκού[ν]τιος εἶπε· ἐπειδὴ [Μ]η[νό|κρι]τος Μητροδώρου Σάμιος δεδαμοσιευ|[κὼ]ς ἔτη ὑπὲρ τὰ εἴκοσι ἐκτενῶς τε καὶ φιλο|[τί]μως θεραπεύων διατετελέκει πάντας,* ⁵*[κ]ατά τε τὰν ἐμπειρίαν καὶ τὰν ἄλλαν ανα|στροφὰν ἀνέγκλητον αὑτὸν παρέσχηται, | λοιμικᾶς τε διαθέσιος γενομένας καὶ πολλῶν | εἰς τοὺς ἐσχάτους κινδύνους ἐμπεσόντων | οὐ μόνον τῶν δαμετᾶν ἀλλὰ καὶ τῶν παροικεύν*¹⁰*των, τὰν πᾶσαν ἐκτένειαν καὶ κακοπαθίαν | παρεχόμενος παραίτιος γεγόνει τᾶς σωτηρ[ί]|ας, πρὸ τοῦ τε μισθωθήμειν διατρίβων ἐν Ῥόδω[ι] | πολλοὺς τῶν δαμετᾶν ἐν ἐπικινδύνο[ις | δ]ιαθέσεσι γενομένους ἔσωσε μ[ι]σθὸν ο[ὐ* ¹⁵*δ]εξάμενο[ς] εὐνοϊκῶς τε καὶ*

δικαίως [πρὸς ἕ|κα]στον τῶν κατοικεύντων ἐν τῶι περιπολ[ί]|ωι εἰςπορευόμενος διατετελέκει· ὅπως οὖν | καὶ ὁ δᾶμος ὁ Βρυκουντίων φαίνηται εὐχάρι[σ]|τος καὶ τοὺς ἀγαθοὺς τῶν ἰατρῶν τιμῶν, χυρωθέντος τοῦδε τοῦ ψαφίσματος δεδόχθα[ι | τ]ῶι δάμωι· ἐπαινέσαι Μηνόκριτον Μητροδώρου | Σάμιον καὶ στεφανῶσαι χρυσέωι στεφάνωι | καὶ ἀναγορεῦσαι ἐν τῶι ἀγῶνι τῶν Ἀσκλαπιεί|ων, ὅτι ὁ δᾶμος ὁ Βρυκουντίων ἐπαινεῖ καὶ στεφανοῖ χρυσέωι στεφάνωι Μηνόκριτον | Μητροδώρου Σάμιον ἐμπειρίας ἕνεκα καὶ καλοκά|γαθίας· ἐξέστω δὲ Μηνοκρίτωι καὶ εἰς τὰς πανα|[γ]ύρεις παραγίνεσθαι ἃς συντελοῦντι Βρυκούντι|οι· τὸ δὲ γενόμενον τέλεσμα εἰς τὸν στέφαν[ο]ν τελεσάτω ὁ ταμίας. μετὰ δὲ τὰν κύρωσιν τοῦδε | [τ]οῦ ψαφίσματος ἑλέσθω ὁ δᾶμος παραχρῆμα | [ἄ]νδρα, ὁ δὲ αἱρεθεὶς αἰ[τ]η[σ]άσθω ἐν τῶι σύμπαντ[ι | δ]άμωι τὰν δόσιν τοῦ στεφάνου· καὶ ὥστε ἀναθέ|μειν εἰς τὸ ἱερὸν τοῦ Ποτειδᾶνος τοῦ Πορθμίου στάλαν λιθίναν καὶ ἀναγράψαι εἰς αὐτὰν τὸ | ψάφισμα καθ' ὃ τετιμάκει ὁ δᾶμος ὁ Βρυκουντίων | Μηνόκριτον Μητροδώρου Σάμιον· τὸ δὲ [τ]έλεσ[μα | τὸ γενόμενον εἰς τὰν στάλαν δότω ὁ ταμίας· αἱρέθη ὁ δεῖνα τοῦ δεῖνος Βρυκούντιος].

vs. 33 *ἐν τ. σ. δ.*: cf. ad nr. 291, 15.

296 Teli. Stela lapidis caerulei. IV (?) — IG XII 3, 37.

Ποτειδᾶνος.

297 [2170] Teli. Stela marmoris albi. III p. pr. — Proxenia. — Post Babington BritM 342. DI 3487. Mi 430. IG XII 3, 29.

ἔδοξε τῶι δάμωι, | γνώμα πρυτανίων· | Ἀρίονα Ἀριστονίκου | Πτολεμαιῆ πρόξενον ἦμεν καὶ εὐεργέταν | τᾶς πόλιος τᾶς Τηλίων | καὶ αὐτὸν καὶ ἐκγόνος· | ἦμεν δὲ αὐτοῖς εἴς|πλουν καὶ ἔκπλουν εἰς Τῆλον ἀσυλὶ καὶ | ἀσπονδὶ καὶ ἐμ πολέ|μωι καὶ ἐν ἰράναι· ἀνα|γράψαι δὲ τὸ ψάφισμα | [τ]όδε ἐστάλαν λιθίναν, [καὶ θέ]μεν εἰ[ς τ]ὸ ἱαρὸν | - -

297g E tit. IG XII 3, 30, 1 *ἱεραπόλου γνώμα* 5 *τελέσματα* 8 *ἀνοικοδομηθήμειν* 9 *ποτιδεόμενα* (s. II).

298 [2169] Teli. Basis marmorea. Probabiliter II. — Catalogus Pythaistarum. — Post Ross (1846) et Babington DI 3488. van Gelder Mn 24, 251 sq. IG XII 3, 34.

[Πυ]θ[ά]ρχας (?) Φ[ιλό]ξενος Φιλίσκ[ου καὶ Πυ]θ[αϊσταὶ (?)] οἱ [πρ]οά[ξαντε]ς | [τ]ὰν ἐνιαυσίαν ἐπὶ δαμιοργοῦ Φι[λ]ίσκου [Ἀπό]λλωνι Πυθίωι·

(I) *Ἀριστόβουλος Ἀριστομένευς, | Ἱερώνυμος Ἱέρωνος, Τίμαρχος Δαμοκράτευς, | Κλευμήδης Ἐχεδάμου, | Σιμίας Σιμία, | Κλείτων Δρούθου, | Χαιρέφιλος Ἀριστογένευς, Κλεισίθεμις Ἀλεξιμάχου, | Νικᾶναξ Νικαγόρα, Καλλιστόδικος Σαίνο*[*ντος*(?)], (II) *Ἀριστίων Ἀριστοτίμου, | Ἀριστόξενος Ἀριστωνύμου, Διόγειτος Φιλτοδάμου, | Ἀριστοκράτης Ἑρμανδρίδα, Ὀνάσανδρος Ἀριστάνδρου, | Ἀριστοδάμας Δαμοσθένευς, | Ἀν*[*τ*]*ικλείδας Χαιροφῶντος, Σῖμος Βλόσωνος, | Με*[*νέ*]*τιμος Ἀριστοφίλου*, ... *Ἀριστοφίλου*, (III) *Ἀριστόδοκος Δαμοδίκου, | Ἀριστότιμος Ξενοτίμου, Τιμοκρηῦν Ξενοφῶντος, Ἀριστανδρίδας Ἀνδρίσκου, | Ἑρμοκρηῦν Ἑρμανδρίδα, | Ἑρμοκρηῦν Νικάνακτος, | Κλειτόμαχος Καλλιστοκρ*[-], *Ἀριστόδοκος Δαμαρχίδα, | Ἡρογείτων Δαμοκράτευς.*

Versus duo primi supra tres columnas scripti sunt.

299 Teli. Tabula lapidis communis. ca. II. — IG XII 3, 38.
φυλᾶς | Ἀπόλλωνος.

300 Teli. Lapis caeruleus. — Tit. sepulcralis. — IG XII 3, 77.
Θηγόρ[*α*]*ς* i. e. *Θεαγ.* (Kretschmer ad IG XII 3, 31, 16).

301 In colossis templi ad Abu-Simbel in Aegypto extrema siti. 589. — Titt. mercennariorum. — Lepsius Denkmäler aus Aegypten und Aethiopien XII Blatt 98/9. Im 18sq. Mi 1315 (1). DI 5261 (3. 9 ib. 4109a, 5 ib. 5611). Hicks 3. Bu 97. NachmG 1. DS [3]1 (ubi alii comm.). Cf. Kirchh. A. 37, 43. 47. Bannier BphW 1916, 923sq.

1) [[2]174] *βασιλέος ἐλθόντος ἐς Ἐλεφαντίναν Ψα*(*μ*)*ματίχō | ταῦτα ἔγραψαν, τοὶ σὺν Ψαμματίχōι τōι Θεοκλōς | ἔπλεον. ἦλθον δὲ Κέρκιος κατύπερθε, υἷς ὁ ποταμὸς | ἀνίη. ἀ*(*λ*)*λογλō*(*σ*)*σōς δ᾽ ἦχε Ποτασιμτο, Αἰγυπτίōς δὲ Ἄμασις. | ἔγραφε δ᾽ ἁμὲ Ἄρχōν Ἀμοιβίχō καὶ Πέλεϙος ōὐδάμō.*

2) ***Ελεσίβυς*** (aut *Εγ.*) *ὁ Τήιος.* — 3) *Τήλεφος μ᾽ ἔγραφε ho Ἰαλύσιο*(*ς*) *Α . . ς Λεψ* - — 4) ***Πύθōν*** *Ἀμοιβίχ*(*ō*). — 5) ***Παβις*** *ὁ ϙολοφόνιος σὺν Ψαμματᾶ*: — 6) *Ηαγēσέρμō.* — 7) *Πασι*(*φ*)*ōν ὁ Ιππο* . . . . — 8) ***Κριθις*** *εγραν.* — 9) (*dex.*) *homλυσοβ hόκα βασιλε*|(*sin.*)*ὺς hέλασε τὸν στρατὸν τὸ πρᾶτο*(*ν*) . . . . [*há*](*μ*)*α Ψα*(*μ*)*ματίχō*[*ι*].

1—8 in femore sinistro colossi (Ramsis II.) qui est ante templum, 9 infra genu colossi alterius. Rex Psammetichus non primus (664—610), sed secundus (594—589; cf. Hdt II 160sq.) est. 1 *Θεοκλōς* an -(*έ*)*ος*? — *ἀλλογλ.* i. e. Graecos et Cares; cf. Ba. *Ἀμοιβ.*, *οὐδ.* i. e. *ὁ Ἀμ.*, *ὁ Εὐδ.* (Blass H 13, 382). *Πελ.*: cf. *Μαληϙος* nr. 215? 2 *Ελ.*: cf. Be hPN 102(?). 3. 4 (*ς*) (*ο*) desunt in l. 5 *Π.* i. e. *Πάμβις*? (DI); cf. Be hPN 94. — *Ψαμματᾶ* hypocor. DS, -*τ*(*ίχοι*) priores. 6 gen. defendit Ba.; -*ο*(*ς*) Nachm DS. 8 *εγραν* pro *ἔγρα*(*φε*)*ν* aut *ἔγρα*(*ψε*)*ν*. 9 *homλ.* aut *homγ.*; *ὁ* (*Ἰα*)*λύσ*(*ι*)*ος* G Hirschfeld RhM 42, 222. *hελ.*: an *ηελ.* (cf. ad nr. 215, 5)?

2. Tituli Gelenses et Agrigentini (nr. 302—307) cum appendice titulorum ab aliis eadem dialecto scriptorum (nr. 308—310).

302 Gelae. Lapis tofinus (sepulcralis). *βουστρ.* VI. — Salinas Not scav 1896, 254 sq. DI 4247. Im 34. Bu 98.

(*dex.*) *Πασιάδαϝο τὸ | σᾶμα. Κράτε̄ς ἐ|ποίε̄.*

Π.: cf. ad nr. 133 et Buck ClR 11, 190 sq. 307 (metr.).

---

303 Gelae. In cylice. VI. — Dedicatio. — Orsi Not scav 1900, 272 5. DI 5215.

Μνασιθάλε̄ς ἀνέθε̄κε Ἀντιφάμο̄ι.

Cf. annalium templi Lindensis c. XXVIII (C 29 sqq.): *Δεινομένης ὁ Γέλωνός καὶ Ἱέρωνος καὶ Θρασυβούλου καὶ Π[ο]λυζάλου πατὴρ Λίνδιος ὑπάρχων καὶ συνοικίξα[ς] Γέλαν μετὰ Ἀντιφάμου Γοργόνα κτλ. ἀνέθηκε* Blinkenberg, Oversigt 1912, 332; cf. ib. 375 (= Bonner Kleine Texte nr. 131 p. 23 sq.).

---

304 [²196] Lamina aenea Olympiae reperta. ca. 530/20. — Dedicatio Pantaris (cf. Hdt. VII 154). — Kirchhoff AZ 37, 161 sq. Roehl ib. 40, 87. Im 34. Rob 131. IvO 142. DI 4248. Ge 20.

Παντάρε̄ς μ' ἀνέθε̄κ[ε] Μενεκράτιος Διὸ[ς ἆθλον]
[ἅρματι νικάσας πέδο̄ ἐκ κλε̄]το̄ Γελοαίο̄.

Γελ.: cf. *Ἑρϝαοίοις* nr. 413; *Θισοαῖος* nr. 674.

---

305 [²197] Pondus aeneum astragali bovini vel ovini forma; in museo Vindobonensi. ca. 450. — CIG 8521. Kirchh. A. 48. Im 34. IG XIV 593 (et 2419, 7). DI 4249. Kubitschek ÖJ 10, 127 sq. Cf. nr. 311.

το̄ν Γελο̄ίο̄ν ἐ̄μί.

---

306 [²198] Apud Phintiam Geloorum. Lapis a. 1660 effossus. — Honores. — Post Maffeium aliosque CIG 5475. IG XIV 256. Mi 552. DI 4250.

ἐπὶ ἱεραπόλου Ἀριστίωνος | τοῦ Ἱστιείου, κατενιαυσίου | Σώσιος τοῦ Νυμφοδώρου. |

βουλᾶς ἁλίασμα τᾶ(ς) δευτέρας ἑξαμήνου, Καρνείου τριακάδι· προστάτας | Ἱπποκλῆς Ἱπποκλέος· στεφάνου | γυμνασιάρχῳ. ἔδοξε τᾷ ἁλίαι | καθὰ κα(ὶ τᾷ β)ουλᾶι· ἐπειδὴ ὁ αἱρη|μένος γυμνασίαρχος ἐς τὸν σᾶτες ἐνιαυτὸν Ἡρακλείδας Ζωπύρου | ἐπιμέλειαν πεποίηται τῶν τε | ἐφήβων καὶ νεωτέρων καὶ τῶν | ἄλλων τῶν ἀποδυομένων εἰς τὸ | γυμνάσιον τά τε ἄλλα τὰ κατὰ τὸ γυμνάσιον καλῶς διαπεπραγμέ|νος ἐστὶ ἄξια πράσσων αὑτοῦ τε | καὶ τᾶς τῶν προ[γό]νων ἀρετᾶς, | καλῶς οὖν ἔχον ἐστὶ στε|φανῶσαι ἐν τᾶι ἁλίαι τὸν γυμνασίαρχον Ἡρακλείδαν Ζω|πύρου ἐλαίου στεφάνωι ἐπιμε|λείας ἕνεκεν καὶ φιλοπονίας | τ[ᾶς] κατὰ τὸ γυμνάσιον. τὸ δὲ | δόγμα τόδε κο-

λαφθὲν εἰς στάλαν ἀναθέμειν εἰς τὸ γυμ|νάσιον· εἰς δὲ τὰν κατασκευὰν | τᾶς στάλας ἐξοδιάξαι τὸ τρι|ακοντάμερος καθά κα [ἁ] βουλὰ | καταν(α)γραφήση(?)· ὁ δᾶμος τῶν Γελῴων ἐπαινεῖ | καὶ στεφανῶι τὸν γυμνασίαρχον | Ἡρακλείδαν Ζωπύρου ἐλαίου στε|φάνωι ἐπιμελείας ἕνεκεν καὶ φι|λοπονίας τᾶς κατὰ τὸ γυμνάσιον. |

ἔφηβοι οἱ στεφανωθέντες· | Ἀσκλαπιάδας Ἀσκλαπιάδα, | Ἀρτέμων Εὐθύμου, | Ἄνταλλος Ἀντάλλου, Πολύξενος Ἀγαθάρχου, | Πρώταρχος Πρωτάρχου, | Γελῷος Γοργύλου, | Ἀριστίων Νυμφοδώρου, | Σωσίπολις Ἰσιδώρου, Νίκαρ(χ)ος Πυρρ(ω)ν[ίδα], | Ἀπολλώνιος Σατ(ύ)ρου, | Ζώπυρος Ἡρακλείδα.

Gela vetere a Mamertinis deleta (a. 281) intervallo sex horarum Phintia Geloorum condita est. Errores apographorum distinctim notare supersedeo; in fine est *ΧΑΙΡ*, fortasse pagi nomen (Wil. IG). vs. 27sq. *το(ὺς) τριάκοντα (τὸ) μέρος* Wilhelm ÖJ 4 Beibl. 21sq. 30 *ὁ δ. τ. Γ.* incolae Phintiae; cf. Pareti RM 25, 22/6.

---

307 [^{2}199] Tabula aenea paullo ante a. 1549 Romae reperta. Aliquanto ante a. 210. — Agrigentinorum proxenia. — Post Italos aliosque CIG 5491. IG XIV 952. Mi 553. DI 4254. Bu 99.

ἐπὶ ἱεροθύτα | Νυμφοδώρου τοῦ Φίλωνος | παραπροστά(τα) τᾶς βουλᾶς, | προεδρευούσας τᾶς φυλᾶς τῶν Ὑλλέων, προαγοροῦντος | Διοκλέος τοῦ Διοκλέος, | γραμματεύοντος Ἀδρανίωνος Ἀλεξάνδρου, | ἁλίασμα ἕκτας διμήνου, Καρνείου ἑξήκο[ντ]ος παντᾶι | ὑπὲρ προξενίας Δημητρίωι Διοδότου Συρακοσίωι.

ἔδοξε τᾶι ἁλίαι καθὰ καὶ τᾶι συνκλήτωι ρι´· ἐπειδὴ ἀνάγ|γελλον οἱ πρέσβεες οἱ ἐς Ῥώμαν πορευθέντες, Πασίων | Πασίωνος Κότητος καὶ Θεόδωρος Θεοδώρου Ξηνιάδα, | Δημήτριον Διοδότου Συρακόσιον πολλὰς καὶ μεγάλας χρείας | παρεισχῆσθαι τῶι ἁμῶι δάμωι καὶ μεγάλων ἀγαθῶν παραίτιο(ν) γεγόνειν, τοῖς δὲ Ἀκραγαντίνοις πάτριόν ἐστι καὶ ἐκ προγόνων | παραδεδομένον τιμεῖν τοὺς ἀγαθοὺς ἄνδρας καὶ προισταμέ|νους τοῦ ἁμοῦ δάμου ταῖς καταξίοις τιμαῖς· | δεδόχθαι ἐπὶ ἀγαθᾶι τύχαι καὶ σωτηρίαι τοῦ δάμου τῶν Ἀκραγαντίνων, εἶμειν πρόξενον καὶ εὐεργέταν Δημήτριον Διοδότου Συρακόσιον, ὅπως πᾶσι φανερὸν ᾖ, ὅτι ὁ δᾶμος τῶν Ἀκραγαντίνων ἐπί|σταται χάριτας ἀπονέμειν καταξίας τοῖς εὐεργετεῖν προαι|ρουμένοις αὐτόν. τὸ δὲ δόγμα τόδε κολάψαντας ἐς χαλκώ|ματα δύο τὸ μὲν ἓν ἀναθέμειν εἰς τὸ βουλευτήριον, τὸ δὲ | ἄλλο ἀποδόμειν Δημητρίωι Διοδότου Συρακοσίωι ὑπόμναμα τᾶς ποτὶ τὸν δᾶμον εὐνοίας· τοὺς δὲ ταμίας | ἐξοδιάξαι ἐς τὰ προγεγραμμένα, ὅσον κα χρεία ᾖ, καὶ φέ|ρειν τὰν ἔξοδον διὰ τῶν ἀπολόγων. | ὁμογνώμονες τοῦ συνεδρίου πάντες.

Exemplar est Demetrii (vs. 23sqq.) una inventum cum decreto Melitensium in eiusdem Demetrii honorem factum (IG XIV 953). IG. vs. 3 (*τα*) desunt in l. 15 (*ν*): *ς* l.

308 [[2]200] Dodonae. Lamina aenea. 338/7. — Proxenia Molossorum Agrigentinis decreta. — Carapanos t. 28, 2. DS 483 [3]942. Mi 316. DI 1340. 4256. Cf. Buck ClassPh 8, 150.

[θεός]. τύχα ἀγαθά. | [ἐπὶ π]ροστάτα Λευ|[κ]άρου, ἀφικομένω|ν Ἱπποσθένεος, Τεί[σιο]ς, Ἕρμωνος, Σελί|νιος, ἔδοξε τοῖς | Μολοσσοῖς προ|ξενία[ν] δόμειν | τοῖς Ἀκραγαντίνοις.

309 [[2]201] Dodonae. Lamina plumbea. — Consultatio oraculi. — Carapanos t. 37, 4. DI 1568 A. Mi 849. DS 800 [3]1166.

τύχα ἀγαθά. ἦ τυγχάνοιμί κα ἐμπορευόμενος | ὅπυς κα δοκῆι σύμφορον ἔμειν καὶ ἄγων τῆι κα δοκῆι | ἀμάται τέχναι χρεύμενος.

Cf. nr. 308. *ἀμάται* Schwyzer RhM 72, 435; *ἅμα τᾶι* priores.

309[g] E titt. Tauromenitanis IG XIV 427, I 14sq. *σιτο|φυλάκοις κυάμων λοιπὸν καταδίχιον* (pro *καδδ.*: cf. Wackernagel Hellenistica 1907, 11 sq.), *ὀκτὼ ἡμίεκτα, ἑπτὰ ἑβδο|μήκοντα μέδιμνοι* 19sq. *τούτου τρισχίλι|α τάλαντα ἐν ἀργυρωμάτοις* 430 I 13 *ἀγορασθήμειν* 431 *ῥέκτας* 432, 4 *δυςαγείτω* 5 *χρήματος καταβλαβέος* 9 *ἄνις* (i. e *ἄνευ*); RhM 60, 329/37, II 31 sq. *παρὰ τοῖς δυοῖς | ἄνδροις* 42 *περὶ τοῖς πωλησάντοις* III 71 *ἐν ἀνδοκείαις*; de *σ* loco *θ* in titt. Taur. DI III 2 p. 268. — *ἄμποχοι* i. e. *ἔγγυοι* in lamella argentea (I, Herbitae) apud Comparetti, Annuario 1, 113/8.

310 Regii. Basis aenea. I. — Honores. — Stornaiuolo Bull. inst. 1878, 125/7. IG XIV 612. DS 323. Mi 555. DI 4258. Bu 100.

ἐπὶ πρυτάνιος Νικάνδρου τοῦ Νικοδάμου, βουλᾶς προστατέοντος Σωσιπόλιος τοῦ Δαματρίου, Χίωι, Ἱππίου δυοδεκάται, ἔδοξε τᾶι ἁλίᾳ | καθάπερ τᾶι ἐσκλήτωι καὶ τᾶι βουλᾶι· ἐπεὶ ὁ στραταγὸς τῶν Ῥωμαίων Γναῖος Αὐφίδιος Τίτου υἱὸς εὔνους ὑπάρχει τᾶι ἁμᾷ πόλει, ἄξιος φαινόμενος | τᾶς αὐτοῦ καλοκἀγαθίας, δεδόχθαι Γναῖον Αὐφίδιον Τίτου υἱὸν στραταγὸν Ῥωμαίων στεφανῶσαι ἐν τῷ ἀγῶνι τοῖς πρώτοις Ἀθανίοις ἐλαία(ς) στεφά|νῳ καὶ πρόξενον καὶ εὐεργέταν ποιῆσαι τοῦ δάμ(ο)υ τῶν Ῥηγίνων καὶ ἐγγόνους αὐτοῦ, εὐνοίας ἕνεκεν ἃς ἔχων διατελεῖ εἰς τὸν δᾶμον τῶν Ῥηγίνων. τὰν δὲ βουλὰν τὸ ἁλίασμα κολαψαμέναν εἰς χαλκώματα δισσά, τὸ μὲν ἀναθέμειν εἰς τὸ βουλευτήριον, τὸ δὲ ἀποστεῖλαι Γναίῳ Αὐφιδίῳ.

vs. 4 (*ο*): *α* b. *Χίωι* obscurum DS. — Infinitivus in *-μειν* est in dedicatione Crotone reperta (lamina aenea, IV) *[ἀπελεύ]θερον εἶμειν τᾶς Ἥρας τᾶς Λακινίας* (Comparetti Not scav 1911 suppl. 94sq.; *ἀπ.* Vogliano Atti acc. Napol. 1913, II 348).

X. Tituli civitatum Doricarum Siciliae et Magnae Graeciae (praeter titulos coloniarum Corinthiacarum nr. 144 sqq., Megaricarum nr. 164 sqq., Rhodiacarum nr. 302 sqq., Locriarum nr. 365, Achaicarum nr. 435 sqq.); nr. 311—315.

311 Pondus aeneum caducei forma. — Salinas AA 1865, 140. IG XIV 589. DI 5253. Cf. Kubitschek ÖJ 10, 128/32 et nr. 305.

Ἰμαχαραίōν δαμόσιον.

Similia 1) *Λονγε̄ναῖός ἐ̄μι δημόσ[ιος* 2) *δαμόσιον Θουρίων | δαμόσιον Βρενδεσίνōν* (cf. ad nr. 661) 3) *Γναθίνōν* IG XIV 594. 672. 685 (Ku.). Sextum exemplum (*Ἀδεονζίνōν δαμοσ:*) e Fröhneri collectione edidit Bechtel KZ 46, 294.

---

312 [¹78] Segestae. Lapis, nunc in municipio oppidi *Calatafimi* muro infixus. Non ante s. III. — Tit. honorarius. — Post alios (in primis Gualterum) CIG 5543. IG XIV 287. DI 5188.

Διόδωρος Τιττέλου Ἀππειραῖος | τὰν ἀδελφὰν αὐτοῦτα | Μινύραν Ἀρτέμωνος ἱερατεύουσαν | Ἀφροδίται Οὐρανίαι.

,Minyra Artemonis uxor fuisse videtur; *Ἀππειραῖος* cognomen, siquidem est cognomen, rara et paene mira terminatione insigne' IG. Ex aliis titt. Segestanis IG XIV 288 II 2 *τ]ὰν αὐτοῦτα ματέρα* 291, 3 *τοῦ ἀνδρεῶνο[ς* 4 *τᾶς προέδρας.*

---

313 [¹77] Halaesae. Tabula marmorea, s. XVI reperta, postea amissa. I. — E descriptione agrorum Halaesinorum locandorum (cf. vss. 8 sqq. 64. 71 partis prioris). — Ex Alphonsi et Gualteri apographis CIG 5594. IG XIV 352. DI 5200.

II . . . . *ου καὶ* | . . . . *ν τὰν ὑπὸ τὸ* | . . . . *ἐς τὸν τέρμονα* | . . . . *[τὸ ὅρ]ιον τοῦ θ′ κλάρου καὶ* . . . . *ου κατὰ τοῦ ῥόου τοῦ Ὀπικανοῦ* | . . . . *[κ]αὶ ἐς τὸν τε. καὶ ἐς τὰν σκαφιὰν τὰν* | . . . . . *[κ]αὶ ὡς ὁ τέρμων καὶ αἱ σκαφιαὶ ἐς τὰν ἐλαί|[αν, ἐν ᾇ τε., καὶ] ἐς τὸ ὅριον τοῦ ι′ κλάρου καὶ ἀν τοῦ ὁρίου τοῦ ι′ [κλά]|(ρ)ου ἔστε ποτὶ τὸ ὅριον τοῦ Πικάττου καὶ ὡς τὰ ὅρια τοῦ Πικάττου· τούτῳ τῷ κλάρῳ ἕπονται αἱ ἐλαῖαι αἱ ἐπι|γεγραμμέναι αὗται. | **ΒΙ** ἀπὸ τοῦ τέρμονος τοῦ ὑπὸ τὰν Ἀσπίδα ἐς τὸν Πλάτα|μον, εἶ τε., καὶ ἐς τὰν ἐλαίαν, ἐν ᾇ τε., καὶ ἐς τὰν σκαφιὰν | καὶ ὡς αἱ σκαφιαὶ ἐς τὰν ἐλαίαν, ἐν ᾇ τε., καὶ ἐς τὰν ὁδὸν τὰν ἀπὸ Ταπάνου καὶ ἀν τᾶς ὁδοῦ ἔστε ποτὶ τὸ ὅριον | τοῦ ζ′ κλάρου καὶ ὡς τὰ ὅρια τοῦ ζ′ κλάρου ἐς τὸν τέρμο|να καὶ ὡς ὁ τέρμων ἄχρι παρὰ τὸν Πλάταμον· τούτῳ | τῷ κλάρῳ ἕπονται αἱ ἐλαῖαι αὗται αἱ ἐπιγεγραμμέναι. | **ΓΙ** ἀπὸ τοῦ ὁρίου τοῦ αι′ κλάρου κατὰ τοῦ Ὀπικανοῦ ἐς τὰν σκα-*

φιὰν τὰν παρὰ τὸν Ὀπικανὸν καὶ ὡς αἱ σκαφιαὶ αἱ ὑπὸ τὸν τέρμονα | ἐς τὰν ὁδὸν τὰν ἄγουσαν ἐπὶ τὸ Τάπανον καὶ ἀν τᾶς ὁδοῦ | ἔστε ποτὶ τὸ ὅριον τοῦ βι΄ κλάρου καὶ ὡς τὰ ὅρια τοῦ βι΄ κλάρου.

τοῖς παρὰ τὸν ῥοῦν τὸν Ἅλαισον δαιθμούς [ζ΄].

Α ἀπὸ τοῦ ῥόου τοῦ Ἁλαίσου ἐς τὸν τε. τὸν ἐν τῷ πέτρῳ τὸν παρὰ τὰς πυάλους καὶ ἀν τοῦ ῥαχᾶ ἐς τὸν πέτρον, ἐν ᾧ τε., καὶ ἐς τὰν ὁδὸν καὶ | ἀν τᾶς ὁδοῦ ἐς τὸν ῥοΐσκον καὶ ἀν τοῦ ῥοΐσκου ἐς τὰν σκαφιὰν | τὰν ὑπὸ τῷ τέρμονι καὶ ὡς ὁ τέρμων ὁ ὑπὲρ τᾶς σκαφιᾶς ἔσ|τε ποτὶ τὰν ἅλον καὶ ὑπὲρ τᾶς ἅλου ὡς ὁ τέρμων ὑπὲρ τὰν | σκαφιὰν | καὶ ἐς τὰν σκαφιὰν τὰν παρὰ τὰν ἐλαίαν καὶ ὑπὲρ τᾶς ἐλαίας ὡς ὁ τρίβος καὶ αἱ σκαφιαὶ ἐς τὰν ἐλαίαν | τὰν ἐπιγεγραμμέναν πό(λις) Ἁ(λαισίνων) καὶ ἐκ τᾶς ἐλαίας ὡς ὁ τέρμων | ὑπὲρ τὰν ἐλαίαν ἐς τὰν σκαφιὰν καὶ ἄνω ἐς τὰς ῥάμνους | καὶ ὡς αἱ ῥάμνοι περὶ τὸν τέρμονα καὶ ἐς τὰν σκαφιὰν | καὶ ἄνω ἐς τὸν τε. τὸν ἐν τῷ λίθῳ καὶ ὡς ὁ τέρμων ὑπὸ τὰν ἅλον καὶ ἐς τὸν τε. τὸν ἐν τῷ πύργῳ καὶ ὑπὸ τὸν πύρ|γον ἐς τὸν ῥοΐσκον τὸν ὑπὸ τὰν ῥῖνα τὰν ἐν τῷ πύργῳ, εἶ | τε., καὶ κατὰ τοῦ ῥοΐσκου ἐς τὸν ῥοῦν τὸν Ἅλαισον καὶ ἀν τοῦ | Ἁλαίσου ἐς τὰν ἀρχὰν τᾶς περιωρεσίας· ἐν τούτῳ Ἀγρίου. | **Β** ἀπὸ τᾶς ῥινὸς τᾶς ἐν τῷ πύργῳ, εἶ τε., ὑπὸ τὸν πύργον ἔστε ποτὶ τὸν τε. τὸν ἐν τῷ πύργῳ καὶ ἀπὸ τοῦ τε. κάτω ὡς αἱ σκαφι|αὶ ἐς τὰν ἀχράδα τὰν ἐπιγεγραμμέναν πό(λις) Ἁ(λαισίνων) καὶ ὡς αἱ σκα|φιαὶ ἐς τὰν ἐλαίαν τὰν ἐπιγεγραμμέναν πό(λις) Ἁ(λαισίνων) καὶ ἐς τὰν | συκέαν τὰν ἐπιγεγραμμέναν πό(λις) Ἁ(λαισίνων) καὶ ὡς ⟨τ⟩αἱ σκαφιαὶ ἔστε πο|τὶ τὸν τέρμονα καὶ ὡς ὁ τέρμων ἐς τὸν ῥοΐσκον καὶ κατὰ τοῦ ῥοΐσκου ἐς τὸν ῥοῦν τὸν Ἅλαισον καὶ ἀν τοῦ Ἁλαίσου ποτὶ τὸ | ὅριον τοῦ α΄ κλάρου. ἐν τούτῳ Ἐλαφέος. | **Γ** ἀπὸ τοῦ τε. τοῦ ἐν τῷ πύργῳ τοῦ ὁρίζοντος τὸν β΄ κλᾶρον ἔστε | ποτὶ τὸν ῥοΐσκον τὸν ἐκ τοῦ διαπαύματος ῥέοντα καὶ κα|τὰ τοῦ ῥοΐσκου ἐς τὰν συμβολὰν τοῦ ῥοειδίου καὶ ἀν τοῦ ῥοειδίου ἐς τὸν τέρμονα καὶ ὡς τὰ ὅρια τοῦ β΄ κλάρου· | ἐν τούτῳ Ἐλαφέος. | **Δ** ἀπὸ τοῦ ῥοΐσκου τοῦ ἐκ τοῦ διαπαύματος ὑπὸ τὸν πύργον | ἔστε ποτὶ τὸν ῥοΐσκον τὸν ῥέοντα ἐκ τᾶς ῥινὸς τᾶς κα|τὰ τὸ ἱερόν, εἶ τὰ χαλκία, κατὰ τὸ μαγειρικὸν καὶ κατὰ τοῦ ῥοΐσκου ἔστε ποτὶ τὸν τέρμονα, εἶ σκαφιά, καὶ ὡς ὁ | τέρμων ἄχρι ποτὶ τὸν ῥοΐσκον τὸν ῥέοντα ἐκ τοῦ διαπαύ|ματος τὸν ὁρίζοντα τὸν γ΄ κλᾶρον. | **Ε** ἀπὸ τοῦ τέρμονος, εἶ ἁ σκαφιά, κατὰ τοῦ ῥοΐσκου ἐς τὰν | σκαφιὰν καὶ ὡς αἱ σκαφιαὶ ἐς τὸν ῥοῦν τὸν Ἅλαισον καὶ ἀν τοῦ Ἁλαίσου ἔστε ἐς τὸν ῥοΐσκον τὸν ὁρίζοντα τὸν β΄ κλᾶ|ρον καὶ ἀν τοῦ ῥοΐσκου ἔστε ἐς τὸν τέρμονα τὸν

ὁρίζον|τα τὸν δ′ κλᾶρον. | *Ε ἀπὸ τᾶς ῥινὸς τᾶς κατὰ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τᾶς κα|τὰ τὰ χαλκία τὰ ποτὶ τῷ μαγειρικῷ ὑπὸ τὸν πύργον ἔστε ποτὶ τὰν ῥεῖνα τὰν πελαστάταν ποτὶ τὸ τυρρίδι|ον καὶ κατὰ τοῦ ῥαχᾶ ὡς αἱ σκαφιαὶ ἐς τὰν ἅλον καὶ ἐς* | *τὸν τε. καὶ κάτω ὡς αἱ σκαφιαὶ ἐς τὸν τέρμονα καὶ ὡς ὁ* | *τέρμων καὶ αἱ σκαφιαὶ ἐς τὸν β′ ῥοΐσκον καὶ κατὰ τοῦ ῥοΐ|σκου ἐς τὸν ῥοῦν τὸν Ἄλαισον καὶ ἂν τοῦ Ἁλαίσου ἐς τὸ ὅριον τοῦ ε′ κλάρου.* | **Ζ** *ἀπὸ τοῦ πύργου κατὰ τοῦ βαθέος ῥόου ἐς τὸν ῥοῦν τὸν Ἅλαι|σον καὶ ἂν τοῦ Ἁλαίσου ἄχρι ποτὶ τὸν α′ ῥοΐσκον καὶ ἂν τοῦ* | *ῥοΐσκου ἄχρι ποτὶ τὸν πύργον· ἐν τούτῳ Ἡρακλείδα Ἀπολ|λωνίου καὶ Φιλοξένου Μενίσκου.*

Σκυρεώνοις δαιθμοὺς | | |.

Α ἀπὸ τᾶς ῥεινὸς καθὼς ὁ πύργος ἄχρι ποτὶ τὰν ῥεῖνα τὰν ἐ|χομέν(α)ν τοῦ β′ τυρριδίου καὶ ἀπὸ τᾶς ῥεινὸς κατὰ τοῦ ῥοει|δίου ἄχρι ποτὶ τὸν τέρμονα καὶ ὡς ὁ τέρμων ὑπὲρ τᾶς ἅ|λου καὶ ἂν τοῦ ῥαχᾶ ὡς αἱ σκαφιαὶ ἐς τὰν ῥεῖνα· ἐν τούτῳ Ἱστιείου Θέστωνος καὶ Πελαγίου. | **Β** *ἀπὸ τοῦ τέρμονος κατὰ τοῦ ῥοΐσκου ἔστε ποτὶ τὸν τέρμονα,* | *εἶ σκαφιά, καὶ τῷ τέρμονι ἔστε ποτὶ τὸ ῥοείδιον τὸ ῥέον ἀ|νὰ μέσον τῶν γαεώνων καὶ ἂν τοῦ ῥοειδίου ἔστε ποτὶ τὸν τέρμονα καὶ ὡς ὁ τέρμ(ω)ν ἐς τὸ ῥοείδιον.* | **Γ** *ἀπὸ τοῦ τέρμονος κατὰ τοῦ ῥοειδίου τοῦ ἀνὰ μέσον τῶν γα|εώνων ἔστε ποτὶ τὸν τέρμονα, εἶ σκαφιά, καὶ ὡς ὁ τέρμων* | *καὶ αἱ σκαφιαὶ ἂν τοῦ ῥαχᾶ ἐς τὸν τε. καὶ ὑπὲρ τᾶς ἅλου καὶ ἐς τὸν τέρμονα καὶ ὡς ὁ τέρμων ἄχρι ποτὶ τὸν ῥοΐσκον.*

τε. (primum vs. 7) est *τέρμων* = *terminus* IG. vs. 12. 17 *Πλάταμος* i. e. *πλαταμών* IG. vs. 15 *Ταπάνου*: cf. I 52 sq. *ἐς τὰν γωνίαν τὰν ἀνωτάταν τοῦ περιτειχίσματος τοῦ Ταπάνου* IG. *δαιθμοί* (vs. 23. 75) ‚agri portiones, quas ipso iure licebat quibusque conducere', *κλᾶρος* (saepius) ‚ea particula, quae cuique sorte obtigisset' IG. vs. 24 *τοῖς παρὰ κτλ.* et vs. 75 *Σκυρεώνοις*: ‚illi ut homines sunt qui iuxta Halaesum fluvium incolunt, ita Scyreoni ab regione vel tribu vel pago aliquo nomen videntur duxisse' IG. 31. 41. 42. 43 *πό(λις) Ἁ(λαισίνων)*: in apographis est ligatura, quam Kaibel (IG) hoc modo explicandam esse putat. 35 *πύργος* castellum IG., *ῥίς* nares canalis (Wilh.). 38 *περιωρεσία* i. e. *-ισία* (Fraenkel KZ 42, 238. 45, 177 sq.). *ἐν τούτῳ* (scil. *τῷ κλάρῳ*) *Ἀγρίου*: ‚medii inter publicos agros privati siti fuerunt, quos videtur civitas ad iungendos agri publici fines suis impensis coemisse' IG; cf. vs. 46. 51. 73. 80.

---

314 Glans missilis plumbea musei Panormitani. — Salinas Annali 1878, 3. IG XIV 2407, 1a.

νίκα | ***Ἀθάνας.***

Cf. ib. 1b *νίκη Ἀθά(νας)* (Leontinis) 3a *νίκη* | *Διὸς* | *κεραυ|νίου* 7a *νίκη Ματέρος* 7b *νίκη Ματέρων* 7c *νίκη Μητέρων*. Has glandes omnes ad bellum servile alterum pertinere et ex servorum rebellium castris provenisse patet (IG).

315 [[1]80] In Bruttio. Tabula aenea exigua a. 1755 reperta. — Dirae. — CIG 5773 (ex Hamiltonis et Panofkae apographis). DI 1658. IG XIV 644. Mi 1329. IG III app. p. IX. Audollent 212.

ἀνιαρίζει Κολλύρα ταῖς προπόλοις τᾶς θεῶ τὼς τρῖς χρυσέως, τὼς ἔλαβε Μελίτα | καὶ οὐκ ἀποδίδωτι. ἀνθείη τᾶι θεῶι | δυωδεκάπλοα σὺν μεδίμνωι λιβάνω⟨ι⟩, | ὧι πόλις νομίζει. μὴ πρότερον δὲ τὰν | ψυχὰν ἀνείη, ἔστε ἀνθείη τᾶι θεῷ. εἰ δὲ συνπίοι ἢ συμφάγοι, μὴ εἰς ἀῶ σᾶ | ἀθῶιος εἴην, ἢ ὑπὸ τὸν αὐτὸν ἀετὸν ὑπέλθοι.

E versibus 1sqq. 2 *τὸ ἱμάτιον*] *τὸ πελλόν* 4 *ἴσατι πῆ ἐστιν* (Wilhelm ÖJ 3, 44). 12sqq. de optativis cf. Jacobsthal IF 21 suppl. 83, 1. vs. 15sq. ,Sententia clara, nisi quod verba *μὴ — εἴην* collocata oportebat post *ὑπέλθοι*' (IG).

B. Tituli dialectorum Doricarum septemtrionalium cum Eliacis et Achaicis

(nr. 316—439).

Praeter vetustiores commentarios de dialectis supra dictis scriptos cf. Thumb IF 31, 222/9 (de *στ* loco *σθ*).

I. Tituli Phocii (nr. 316—358).

1. Tituli Delphici (nr. 316—347).

Dialecti Delphicae monumentorum laterculos composuit Rüsch 1, 9/19. In definiendis temporibus Pomtow (Pw) secutus sum (Delphische Chronologie. P-W 4, 2583/2700; Neue delphische Archontentafel des 3. Jhdts. GöttAnz 1913, 143/188; Klio 14, 305. 15, 44; titt. Delph. in DS[3]; archontum laterculos s. III repetivit Rüsch 1, 332sq.); nova temptavit Johnson AJPh 39, 145/72. 40, 286/307.

a) Tituli vetustiores (usque ad s. IV in.); nr. 316—324.

316 [[2]202] Crissae. Ara. *βουστρ.* VII. — Dedicatio. — CIG 1. Kirchhoff Ph 7, 191/5 (A. 144). E 742. IGA 314. Im 87/9. Rob 228. DI 1537. Ge 28. Cf. Pomtow BerlBer 1887, 703/5; Ph 71, 90; Klio 15, 328.

τάςδε γ' Ἀθαναίαι δραϝεος . . . | ἄριστος ἔθε̄κε
Hε̄́ραι τε hō̄ς καὶ κ|ε̄̃νος ἔχοι κλέϝος ἄπθιτον αἰϝεί.

δραϝεῦς (collato Hes. *δραιόν· μακρὸν πύελον* et *δροίτη· πύελος*) DI (ex Ulrichsii apographo Annali 1848 tab. A; cf. ib. p. 57/9 et Ulrichs apud Preuner RhM 73, 280sq.).

317 Delphis. Bases statuarum Cleobis et Bitonis. VI in. — Dedicatio et tit. artificis. — Post aliorum tentamina (cf. FdD IV p. 8sq.) legit v. Premerstein ÖJ 13, 41/9. DS [3]5. Cf. Kretschmer Gl 4, 321f. Buck ClassPh 8, 141sq. Robert Münch Ber 1916, 2 p. 3/9.

(A) (*dex.*) [Κλέοβις καὶ Βί]τōν ⁝ τὰν ματάρα (B) (*sin.*) εαγαγον ⁝ τõι δυγõι. | (*sin.*) Π̣ο̣λ̣υ̣μέδες ἐποίεε hαργεῖος.

ματάρα Delphicae (v. Pr.), *hαργ.* Argivae est dialecti (Buck); Pw (DS) et Rüsch 1, 159 tit. artificis ab artifice ipso, reliquum postliminio a Delphis additum esse statuerunt. — *εαγαγον*: cf. Kretschmer apud v. Pr. et l. c.; Gl 7, 332 (*ἐ(ν)άγαγον*); J Baunack Ph 70, 312sq. (*Ηεραῖόνδ]ε ἄγαγον*); Solmsen IF 31, 473 (*εαγ.* mendo sculptoris); (*π)ε(δ)άγαγον* (cf. nr. 89, 16)? — *τõι δ.* Wilh. v. Pr. Rob; *τοίδ' υἱοί* Pomtow BphW 1911, 526 et DS; cf. Bannier BphW 1916, 925sq.; ad *δ.* cf. *Δάν* in basi Delph. (Pomtow BphW 1909, 1578sq.)? — *Πολυμ. κτλ.* Homolle BH 24, 447; . . . . *μ. κτλ.* v. Pr. — *ἐποίεε*: cf. Kretschmer l. c.; *ἐποί(ϝ)ε* Solmsen l. c. et Buck l. c.

---

318 [[2]203[a]] Basis marmoris Parii. VI ex. (Pw). — Dedicatio. — Haussoullier BH 6, 445sq. Im 90. Rob 230 bis. FdD IV p. 54 6. DS [3]16. Cf. Kirchh. A. 144. W Schulze GöttAnz. 1897, 880. Buck ClassPh 8, 140.

τοὶ Χαροπίνō παῖδες ἀνέθεσαν τõ Παρίō.

τοί Delphicae, cetera Ionicae sunt dialecti (W Schulze). Idem tit. est in columna Ionica Delphis reperta (FdD).

---

319 In templo Minervae pronaae. 1. 2 Bases lapidis calcarii, 3. 4 in muro super aras. 1. 2 VI/V, 3 ca. 450, 4 V ex. — Dedicationes. — Poulsen Oversigt 1908, 345. 347. Pomtow Ph 71, 75/77. 99.

1) Ἀθάναι | ϝαργάναι. — 2) [Ἀθ]άναι | ζōστερίαι. — 3) Εἰλειθυίας. — 4) Ὑγιέας.

Ad 3. 4 cognomina Minervae intellegi posse monet Pw.

---

320 [[2]203] In saxo quod decidit de rupe ad fontem Castalium sita. ca. 430 (Pw, V in. priores)). — Rationes redditae a Labyadarum curatoribus. — Wescher Bull. inst. 1861, 135. Annali 1866, 5/18. Im 90. Rob 229. DI 1683 (et II p. 722). Pomtow BphW 1897, 96. Bu 49. Cf. Rüsch 1, 10 et nr. 323.

τοὶ πεντεκαίδεκ[α] | τõν Λαβυαδᾶν, τοὶ [πὲρ] | Θ[ρ]ασύμαχον καὶ Ι. . | ι. . α, ἐπὶ Τριχᾶ ἄρχ[ον]|τος ἀπέδειξαν [μνᾶ]|ς δεκατέτορες [καὶ] | hεμιμναῖον [κα]|ὶ δραχμὰς πεν[τέ]|κοντα καὶ ϝέξ.

vs. 5 *ἀπ.*: cf. nr. 323 A 6 *κἀποδειξέω*, att. *ἀποφανῶ* (Homolle). 6 *δεκατέτορες*: de nom. acc. loc. cf. Wackernagel IF 14, 368sq. et ad nr. 268.

---

321 In muro stadii. *στοιχ.* V p. post. (Pw). — Lex sacra (cf. nr. 696). — Homolle BH 23, 611/2. *Κεραμόπουλλος* EA 1906, 157/85. LS 2, 73. Im 90. Bu 50. Cf. Buck ClassPh 7, 78/81. Pomtow Ph 71, 89. 93. Rüsch 1, 10.

τὸν ϝοῖνον με̄̀ φάρεν ἐς τοῦ δρ|όμου· αἰ δέ κα φάρε̄ι, hιλαξάστο̄ | τὸν θεὸν hõι κα κεραίε̄ται, καὶ | μεταθυσάτο̄ κἀποτεισάτο̄ πέν|τε δραχμάς· τούτου δὲ τõι κατα|γορε̄́σαντι τὸ hε̄́μισσον.

vs. 1 sq. ἐς τοῦ δρ. (Κερ.; probavit Wilh. Beitr. 29) i. e. ἐκ τοῦ δρ. Buck, Bechtel (GöttNachr 1918, 399 sq.), ἐς τὸ [Ε]ὐδρόμου scil. τέμενος priores.

---

322 Prope templum Apollinis. Lapis calcarius V ex. (Pw), V/IV (H.). — Delphorum et Phaselitarum de pelano conventum. — Homolle, Mélanges Nicole 1905, 625/38. Pomtow BphW 1909, 252 (cf. 746 sq.).

ἅδε Δελφοῖς Φασε̄λίτας τὸν | πέλανον διδόμεν· τõ δαμοσί|ο̄⟨ν⟩ ἑπτὰ δραχμὰς Δελφίδες δ|ύ' ὀ(δ)ελός, τõν δὲ ἰδίο̄ν τέτορε|ς ὀδελός. Τιμοδίκο̄ καὶ Ἱστι(α)ί|ο̄ θεαρόντο̄ν, Ἑ̄ρύλο̄ ἄρχοντος.

vs. 1 ἅδε hoc modo H. 2 πέλανος: pretium legitimum deo concessum; cf. DS 644, 11. 645, 11 sq. (H.). 2 sqq. τõν δ., τõν δὲ ἰ Wilhelm ÖJ 14, 232, qui τõ(δ) δ. legi vult; sed cf. Rüsch 1, 257 sq.; τὸ δαμόσιον, τὸν δὲ ἴδιον (= ἰδιώτην) H. Intellege τõ δ. (πελάνο̄), τõν δὲ ἰδ. (πελάνο̄ν). 3 Δελφίδες cf. Φωκαΐδες DS 586, 42. 44 (H.). 4. 5 (δ), (α): Λ l. 5 sq. Theori sunt Phaselitae, archon Delphus (H.); cf. Haussoullier (n. 328a) p. 147 sq. — θεαρόντο̄ν (non -ο̄́ν-) explicavit Be D 1, 43 sq. (e θεαρεόν-).

---

323 Prope porticum Atheniensium. Cippus fere quadratus lapidis calcarii a quattuor lateribus inscriptus. στοιχ. ca. 400/390 (Pw). — Leges phratriae Labyadarum. — Homolle BH 19, 5/69. DI 2561. DS 438 et add. Mi 995. Rij 28. LS 2, 74 (C 19 sqq. D). Im 91 (B). So 39. Bu 51; aliorum commentarios collegerunt So. LS. Cf. nr. 320.

A [ὁ δὲ hόρκος] | ἔστω· ταγε[υ]σέω δι[καίως κ]|ατὰ τοὺν νόμους τᾶς [π]ό[λι]|ος καὶ τοὺς τῶν Λαβυαδ[ᾶν] | πὲρ τῶν ἀπελλαίων καὶ τᾶν δαρατᾶν· καὶ τὰ χρήματα | συμπραξέω κἀποδειξέω [δι]|καίως τοῖς Λαβυάδαις [κ]|οὔτε κλεψέω οὔτε [β]λα[ψ]έω | οὔτε τέχναι οὔτε μαχαν[ᾶι] τῶν τῶλ Λαβυαδᾶν χρημ[ά]|των· καὶ τὸ̄ς ταγού[ς ἐπ]αξέ|ω τὸν hόρκον τοὺς ἐ[ν ν]έω[τ]|α κὰτ τὰ γεγραμμένα. hόρκ|ος· hυπίσχομαι ποὶ τοῦ Διὸς τοῦ πατρῴιου· εὐορκέο|ντι μέμ μοι ἀγαθὰ εἴη, αἰ δ' | ἐφιορκέοιμι [ϝε]κών, τὰ κα|κὰ ἀντὶ τῶν ἀγαθῶν. |

ἔδοξε Λαβυάδαις Βουκατίου μηνὸς δεκάται ἐπὶ Κ[ά]|μπου ἐν τᾶι ἁλίαι σὺν ψάφ|οις hεκατὸν ὀγδοήκοντα | δυοῖν· τοὺς ταγοὺς μὴ δέκ|εσθαι μήτε δαρατᾶν γάμελα μήτε παιδῆια μήτ' ἀπελ|λαῖα, αἰ μὴ τᾶς πατριᾶς ἐπ|αινεούσας καὶ πληθυο̄́σα|ς (h)ᾶς κα ἦι. αἰ δέ τι κα πὰρ νό|μον κελεύσωντι, τῶν κελευσάντων ὁ κίνδυνος ἔστω· τὰ δὲ ἀπελλαῖα ἄγεν Ἀπέλ|λαις καὶ μὴ ἄλλαι ἁμέραι μήτε ἄγεν τοὺς ἄγοντας μ|ήτε τοὺς ταγοὺς δέκεσθαι· αἰ δέ κα [δ]έξωνται ἄλλαι ἁμέραι ἢ Ἀπέλλαις, ἀποτε|ισάτω ϝέκαστος δέκα δρα|χμάς· ὁ δὲ χρή|ζων καταγορ|εῖν τῶν δεξαμένων ἐπὶ τῶν hυστέρων ταγῶν κατα

γο|ρείτω ἐν τᾶι ἀλίαι τᾶι με|τὰ Βουκάτια, αἴ κ᾽ ἀμφιλλέ|γωντι τοὶ ταγοὶ τοὶ δεξά|μενοι. ἄγεν δὲ τἀπελλαῖα ἀντὶ ϝέτεος καὶ τὰς δαρά|τας φέρεν. hόστις δέ κα μὴ | ἄγηι τἀπελλαῖα ἢ τὰν δαρ|άταν μὴ φέρηι, ἀμμόνιον κ|ατθέτω στατῆρα ἐπὶ ϝεκατέρωι, τῶι δὲ hυστέρωι ϝέ|τει ἀγέτω τἀπελλαῖα καὶ | τὰν δαράταν φερέτω· αἰ δέ | κα μὴ ἄγηι, μηκέτι δεκέσθ|ων ἀμμόνια, ἀλλ᾽ ἢ ἀγέτω ἀπελλαῖα ἢ ἀποτεισάτω ϝίκ|ατι δραχμὰς ἢ hυπογραφόμενος τόκιομ φερέτω· καὶ | τὰν δαράταν τῶι hυστέρω|ι ϝέτει φερέτω ἢ ἀποτεισ|[άτω . . . . . .

B .θ . . . . | .μα η . . . . [πα|τ]ριας απ . . . . | [π]ατριώτα[ς . . . . τ]οὶ Λαβυάδα[ι Εὐκλείοι]|ς περὶ τᾶν δα[ρατᾶν ἐπι]|κρινόντων καὶ [Ἀπέλλα]|ις περὶ τῶν ἀπελ[λαίων, | π]αρεόντες μὴ μείō[ς hεν]ὸς καὶ hεκατόν· τὰ[ν δὲ] | ψᾶφον φερόντων ἀνδ[εξ]|άμενοι ποὶ τō Ἀπόλλω[ν]|ος καὶ τοῦ Ποτειδᾶνος | τοῦ φρατρίου καὶ τοῦ Διὸς πατρῴιου δικαίως | οἰσεῖν κὰτ τὸν νόμους | τῶν Δελφῶν· κἠπευχέσθω δικαίως τὰν ψᾶφον φέ|ροντι πόλλ᾽ ἀγαθὰ τοὺ[ς θ]εοὺς διδόμεν, αἰ δὲ ἀ[δ]|ίκως, τὰ κακά. τοῦτα δὲ τ|οὶ ταγοὶ ἐπιτελεόντω|ν καὶ τῶι δεομένωι συν|αγόντων τοὺς Λαβυάδας· αἰ δέ κα μὴ ποιῶντι κὰ|[τ] τὰ γεγραμμένα ἢ μὴ το|[ὺ]ς ταγοὺς τὸν hόρκον ἐ|παγάγωντι, ἀποτεισάτ|[ω] ϝέκαστος ἐπὶ ϝεκατέ[ρ]ωι δέκα δραχμάς. hόστ|[ι]ς δέ κα μὴ ὀμόσηι, μὴ τα|[γ]ευέτω· αἰ δέ κ᾽ ἀνώμοτο|ς ταγεύηι, πεντήκοντα | δραχμὰς ἀποτεισάτω. αἰ δέ κα δέξωνται τοὶ [τ]|αγοὶ ἢ γάμελα ἢ παιδῆι|α πὰρ τὰ γράμματα, ἀποτ|εισάτω πεντήκοντα δρ|αχμὰς ϝέκαστος τῶν δεξαμένων· αἰ δέ κα μὴ ἀπο|τείσηι, ἄτιμος ἔστω ἐγ | Λαβυαδᾶν καὶ ἐπὶ τούτ|ωι καὶ ἐπὶ ταῖς ἄλλαις | ζαμίαις, hέντε κ᾽ ἀποτείσηι. καὶ hō κα δέξωντα|ι ἢ δαράταν ἢ ἀπελλαῖα | πὰρ τὰ γράμματα, μὴ ἔστ|ω Λαβυάδας μηδὲ κοινα|νείτω τῶν κοινῶν χρημάτων μηδὲ τῶν θεμάτων. | αἰ δέ τίς κα τῶν ταγῶν κ|αταγορῆι ποιῆσαί τι π|ὰρ τὰ γράμματα, hο δὲ ἀν|τι[φ]ᾶι, τοὶ ταγοὶ ἐν τᾶι . . . .

C [ὀμ|νύτω ποὶ τοῦ Ἀπόλλωνος κ|αὶ Ποτειδᾶνος τοῦ φρ]ατ[ρ|ίου καὶ Διός, καὶ δικ]άζο[ν]τι μὲν δικαίως ἐπ]ευχέσ[θ|ω πόλλ᾽ ἀγαθὰ τ]οὺς θεοὺς [διδόμεν, αἰ δ᾽ ἐ]φιορκέοι, κα|[κά· αἰ δέ κα μ]ὴ δικάζηι | hαι|[ρεθείς, ἀπ]οτεισάτω πέντ|[ε δραχμάς], ἄλλον δ᾽ ἀνθελό|[μενοι τ]ὰν δίκαν τελεόντ[ων. hόσ]τις δέ κα πὰρ νόμον | [τι] ποιέοντα τᾶι δίκαι hέ|ληι, τὸ hήμισσον ἐχέτω. το|ὶ δὲ ταγοὶ τῶι καταγορέο|ντι τὰν δίκαν ἐπιτελεόντων· αἰ δὲ μή, τὸ διπλὸν ϝέ|κ|αστος ἀποτεισάτω. hόστι|[ς] δέ κα ζαμίαν ὀφείληι, ἄτ|[ι]μος ἔστω, hέντε κ᾽ ἀποτεί|σηι. — hόδ᾽ ὁ τεθμὸς πὲρ τῶν ἐντοφήιων. μὴ πλέον πέν|τε καὶ τριάκοντα δραχμ[ᾶ]|ν ἐνθέμεν μήτε πριάμενο|[ν] μήτε ϝοίκω· τὰν δὲ παχεῖ|[α]ν χλαῖναν φαωτὰν εἶμεν. αἰ δέ τι

τούτων παρβάλλο|ιτο, ἀποτεισάτω πεντήκο|ντα δραχμάς, αἴ κα μὴ ἐξομ|όσηι ἐπὶ τῶι σάματι μὴ πλ|έον ἐνθέμεν. στρῶμα δὲ hὲν hυποβαλέτω καὶ ποικεφ|άλαιον hὲν ποτθέτω· τὸν δ|ὲ νεκρὸν κεκαλυμμένον φ|ερέτω σιγᾶι, κὴν ταῖς στρ|οφαῖς μὴ καττιθέντων μη[δ]αμεῖ, μηδ' ὀτοτυζόντων ἐ|[χ|θὸς τᾶς ϝοικίας, πρίγ κ' ἐ|πὶ τὸ σᾶμα hίκωντι, τηνεῖ | δ(ὲ μηδ)ὲν ἄγος ἔστω, hέντε κα hα | θιγάνα ποτθεθῆι. τῶν δὲ πρόστα τεθνακότων ἐν τοῖς | σαμάτεσσι μὴ θρηνεῖν μη|δ' ὀτοτύζεν, ἀλλ' ἀπίμεν ϝο|ίκαδε (ϝ)έκαστον ἔχθω hομε|στίων καὶ πατραδελφεῶν καὶ πενθερῶν κὴσγόνων [κ]|αὶ γαμβρῶν. μηδὲ τᾶι hυσ[τ]|εραία(ι) μηδ' ἐν ταῖς δεκάτ[α]|ις μηδ' ἐν τοῖς ἐνιαυτο[ῖς | μ]ήτ' οἰμώζεν μήτ' ὀτοτύ[ζεν]· αἰ δέ τι τούτων παρβ|άλλοιτο τῶν γεγραμ|μένων . . . .

D . . . . *αχα . . . δ . . . | . . . . θοῖναι δὲ ταίδ|[ε νόμιμ]οι· Ἀπέλλαι καὶ Β|[ουκά]τια, Hηραῖα, Δαιδαφ[όρια], Ποιτρόπια, Βυσίου | [μην]ὸς τὰν hεβδέμαν καὶ | [τ]ὰν hενάταν, κηὔκλει[α κ]|αρταμίτια καὶ Λάφρι[α κ]|αὶ Θεοξένια καὶ Τελχίνια καὶ Διοσκουρῆια, Μεγ|αλάρτια καὶ Hηράκλεια, | καἴ κ' αὐτὸς θύηι hιαρῆ[ι]ον καἴ κα λεκχοῖ παρῆι [κ]|αἴ κα ξένοι ϝοι παρέωντι hιαρῆια θύοντες καἴ κ|α πενταμαριτεύων τύχη|ι· αἰ δέ τι τούτων παρβάλ|λοιτο τῶν γεγραμμένων, | θωεόντων τοί τε δαμιοργοὶ καὶ τοὶ ἄλλοι πάντε|ς Λαβυάδαι, πρασσόντων | δὲ τοὶ πεντεκαίδεκα. α[ἰ] | δέ κα ἀμφιλλέγηι τᾶς θω|ιάσιος, ἐξομόσας τὸν νό[μιμ]ον hόρκον λελύσθω. α[ἰ δ' ἀ]|λίαν ποιόντων ἄρχω|[ν ἀ]πείη, ἀποτεισάτω ὀδε|λόν, καὶ συγχέοι, ἀποτεισάτω ὀδελόν. τοῖα δὲ κὴν Φανατεῖ γέγραπται ἐν [τ]|ᾶι πέτραι ἔνδω. τὰ δὲ Φά[ν]|οτος ἐπέδωκε τᾶι θυγατ|ρὶ Βουζύγαι, τὰ hεμιρρ[ῆ]|νια κὴκ τᾶς δυωδεκαΐδος χίμαιραν καὶ τὴμ Προν|αίαν δάρματα καὶ τὰ τῶι | Λυκείωι δάρματα καὶ τὰ|ν ἀγαίαν μόσχον, πάντων | καὶ ϝιδίων καὶ δαμοσίων τὸμ προθύοντα καὶ προ|μαντευόμενον παρέχεν | τὰ γεγραμμένα Λαβυάδα|ις· τᾶι δὲ θυσίαι Λαβυαδ|ᾶν τὠπελλαίου μηνὸς τῶι Διονύσωι, Βουκατίοις | τῶι Δὶ πατρώιωι καὶ τὠπ|όλλωνι τὰν ἀκρόθινα κα|ὶ συμπιπίσκεν hαμεῖ το|ὺς Λαβυάδας· τὰς δ' ἄλλας θοίνας κὰ[τ] τὰν hώραν ἀπ|άγεσθαι.*

Textum dedi So. paucis locis mutatum, praecipue receptis novis lectionibus quas Bourguet REGr 26, 106sq. proposuit, Wilhelm ZöGg 1913, 602 probavit. A 11 *τὸς* Meillet MSL 15, 269sq. 17 *ἐφ.* [*ϝε*]*κών*, Bourguet. 19sq. nomina mensium Delph.: *Ἀπελλαῖος* (Iul.-Aug.) *Βουκάτιος Βοαθόος Ἡραῖος Δαιδοφόριος Ποιτρόπιος Ἀμάλιος Βύσιος* (cf. Rüsch 1, 187) *Θεοξένιος Ἐνδυσποιτρόπιος* (cf. Rüsch 1, 311 adn. 1) *Ἡράκλειος Ἰλαῖος* P-W 20, 1589). 28 (*h*) deest in l.; cf. Rüsch 1, 215. 38 *χρ.*: cf. Rüsch 1, 127sq. 45 *ἀ. ϝ.* singulis annis Buck IF 25, 259 sq. EFraenkel ib. 40, 86/92. B 25 *ποι.*: cf. Rüsch 1, 147sq. C 12 *τὸ h. ἐ.*: de delatorum praemiis cf. Ziebarth H 32, 620. 23 *ϝοίκω* cas. abl. Solmsen RhM 51,

303 sq. 38 (ε μηδ) desunt in l. 43. 47 (ϝ), (ι) desunt in l.; cf. Rüsch 1, 154. 120. 48 τ. ἐνι.: cf. BeL 125. D 5 Βυσ.: cf. Rüsch 1, 187. 7 hεν.: cf. ad nr. 218. 8 Λάφρια: cf. contra ἐμ μὲν Αἰτωλίαι ἐν Θέρμωι . . . καὶ ἐλ Λοφρίωι ca. 292[a], foed. Aetol. Phoc. Boeot., Pomtow Klio 15, 5/7 = DS [3]366, 4). 9 sq. Τελχίνια Bourguet; Τραχίνια priores. 35 sq. τῆμ Πρ. i. e. τὰ ἐμ Προναίαν (Ἀθηνᾶν; cf. nr. 325, 35) Bourguet; τῆμιρ[η]ναιᾶν priores.

---

324 In pariete thesauri Cnidiorum. στοιχ. ca. 380/65 (Pw). — Lex de usuris — FdD III 1, 294. Cf. Rüsch 1, 11.

θεός· τύχα. ὁδ' ὁ τεθμὸς [ὁ ϝαδὼν ἐν] ἀγορᾶι τελείω[ι] | ἐπὶ Κάδυος ἄρχοντος [σὺμ ψά]φοις τετρακατί[α]|ις πεντήκοντα τετόρε[σσι· τ]ὰ μὲν παροιχόμε[ν]|α χρέα ὁπᾶι συνάλλαξαν [καὶ τ]ὰ κοινὰ καὶ τὰ ϝίδια ἐκπράξασται τὸν τόκ[ον ἐν] τὸμ Βύσιον μῆνα | τὸν ἐπὶ Κάδυος· ἀπὸ δὲ τõ [Θεοξε]νίō μηνός, μὴ το|κίξ[ειν πλ]έονος ἢ τριῶν [ὀδελῶν] τὰν μνᾶν τõ μη|νὸς ϝεκ[άστ]ου μήτε τέχ[να]ι μ[ήτε μαχα]νᾶι μήτε | παρευρέσ[ι] μηδεμιᾶι μ[ή]τε πατρι[ὰν] μήτε ἠρωιασστὰς μήτε θίασον μηδὲ ἄλλο κοι[ν . . .]ν μηδ|έν, μηδὲ ϝιδίαι μήτ' ἄνδρα μήτε γυνα[ῖκα μήτε π]|αῖδα μήτε κόραν, μηδὲ [δ]õλον μηδὲ δόλ[αν, μηδὲ σ]|ύνϝοικον μηδὲ ξένον [ἐ]ν Δαλφοῖς. αἰ δέ [κά τις χ]|ρέῃ πὰρ τὰ γεγραμμένα ἢ κοινὸν ἢ ϝίδι[ον ἀργύ]ριον, τοῦ τε χρέος στ[α]ρέστω καὶ ποταπο[τεισά]|τω πεντήκοντα δραχμὰς κὰτ τὰν μνᾶν ϝε[κάστα]|ν ὅσσας κα κιχρῆι· α[ἰ] δέ κα μεῖον κιχρῆι [μνᾶς π]|ὰρ τὸν νόμον, τõ χρέ[ος] σταρέστω κἀποτει[σάτω] | ϝίκατι δραχμάς· [στα]τῆρας δὲ ϝέξ, ἀν τετα[ρτη]μόριον. Αἰγιναί[ō δὲ ἀζ]άμιος κιχρέτω κ[ἀποδ|ε]ιξάτω - - -

vs. 2 sq. cf. Haussoullier Traité (nr. 328a) p. 109 sq. vs. 10 κοι[νόβιο]ν FdD. 13 Δαλφοῖς: in nummis VI ex. Δαλφικόν, V Δαλ; in tit. II[p] (FdD III 2, 238) Δερφοί; cf. DI II p. 932 sq.; Rüsch 1, 159. 201; Δολφοί in Calymna et Co insulis DI 3607, 5; BritM 968 A 17 (Wilh.). — In fragmento II 12 est ϝερυσάτω (Rüsch 1, 209), in fragm. III/IV 9 κιχρεντε; FdD III 1, 295, 5 διένθηι (Rüsch 1, 201), 15 ἁ δὲ ὁμολογά.

---

b) Tituli Amphictyonum (nr. 325. 326). Decreta urbis Delphorum (nr. 327—334) cum foedere Pellanensi (nr. 328a).

325 [[2]204] Tabula marmorea Athenis Aeginam(?) transportata, nunc in museo publico Parisino. 380. — Legis Amphictyonicae exemplar Atticum. — CIG 1688. Ahrens 2, 484/92. IG II 545 [2]II 1126. DI 2501. Mi 702. LS 2, 75. DS [3]145.

[Π]υθέō ἄρχοντος ἐ[πὶ] τῆς Ἱπποθ[ω]ντίδος τρίτης [πρυτανείας - - - | ὅ]ρ]κο[ς]. | § 1 δικα[ξέω τ]ὰς δίκας ὥς κα δ[ι]καιοτάτα[ι] γνώμαι τ[ὰ] μὲγ γεγραμμ[ένα κατὰ τὸς νόμōς, περὶ ὧν δὲ μὴ γέ]|γρα-[πται κ]ατὰ γνώμαν τὰν αὐτ[οῦ], καὶ ἔγχēρα ἀ[νὰ] τὰν δ[ίκ]αν οὐ

[δεξέομαι οὔτ᾽ αὐτὸς οὔτ᾽ ἄλλος ἐμοὶ οὐδέ]ποκα· [κα]ὶ τὰ καταδικασθέντα ἐκπραξέω ἐν δ[ύ]νασιν [κα]ὶ τὰ εν - - - - ¦ τῶι ἔ[χ]οντ[ι] οὐδὲ τῶν χρημάτων τῶν Ἀμφικτιονικῶν ὑπο[βαλέομαι οὐδὲν - - -]| ἐμίνγα οὐδ᾽ ἄλλωι δωσ[ῶ] τῶγ κοινῶν χρημάτων ὑ[ποβά]λ[λ]ε[σθαι - - - οὕτως ποὶ] τ[ō] Ἀπόλλωνος τοῦ Π[υ]θίου καὶ τᾶς Λατōς καὶ τᾶς Ἀρτάμι[τος ὑπίσχομαι καὶ εὐορκέοντι μέμ μοι πολ]|λὰ ⟨καὶ⟩ τἀγαθὰ, αἰ δ᾽ ἐφιορκέοιμι, τὰ κακὰ ἀντὶ τῶν ἀγαθῶν [εἶμεν: § 2 ὅρκος γραμματέος· ὑπίσχομαι τῶγ γ]εγραμμένων μὴ ἀπογραψέν, ἀλλ᾽ ὧν κὰ(τ) τὰ τοὶ ἱερομνάμονες κε[λευσέοντι - - -] | κ[ὰ](τ) τὰν ἀξίαν μηδὲ δῶρα δεξεῖσθαι μηδέποκ[α]· οὕτ[ω]ς ὑπ[ί]σχ[ο]μα[ι ποὶ τō Ἀπόλλωνος τō Πυθίō καὶ τᾶς Λα]|τōς καὶ τᾶς Ἀρτάμιτος, καὶ εὐορκέοντι μέμ μοι πολλὰ καὶ ἀγαθά, [αἰ δ᾽ ἐφιορκέοιμι, κακὰ εἶμεν· τὸ̄ς δὲ] | ἱερομνάμονας ὁρκιξέω καὶ τὸ̄ς κάρυκας τὸν αὐτὸν ὅρκον: § 3 π[- - - ἐκπρασσόντων] | τὸμ φόρον καὶ τὰ ἱερῆια ἁθρόα συναγόντων τὸ̄ς ὄ̄νōς τōν δοκιμ[ασθέντων ἀποδόντες, ὁ δὲ ἐπὶ τὰν ἐκ]ατόμβαν ὅ[ρ]κον ὀμόσας εἶπερ τοὶ ἱερομνάμονες δοκιμαζέτω: § 4 π[έροδος γᾶς ἱαρᾶς· αἴ τις τὰν γᾶν ἐπιερ]|γάζ[ο]ιτ[ο] ἂν Ἀμφικτίονες ἱάρωσαν, ἐπεί κ[α] ἁ πέροδος γίνηται, ἀποτ[εισάτω πὸτ τὸν θεὸν - -] | στατῆρας Αἰγιναίος κὰτ τ[ὸ] πέλεθρον ἕκαστον· τοὶ δὲ ἱερομνάμ[ονες περιιόντων ἀεὶ τὰν ἱερὰν γᾶν] | καὶ πρ[ασ]σόντων τὸν ἐπι[ε]ργαζόμενον· αἰ δὲ μὴ περιιεῖεν ἢ μὴ πρ[άσσοιεν, ἀποτεισάτω ὁ μὴ περιιὼν] | μηδ᾽ ἐ[κπ]ράσσων τριάκοντα στατῆρας· αἰ δέ κα μὴ ἀποτίνηι ὁ [ὀφείλων, ἁ πόλις ἐξ ἇς κ᾽ εἶ ὁ ἱερομνάμων,] εἰλέσ[θω] τοῦ ἱαροῦ, καὶ στρατευόντων ἐπ᾽ αὐτὸς Ἀμφικτύονες, [κὰ(τ) τά κα οἱ ἱερομνάμονες ἐπαγγέλ]|λωντ[ι. ἐκ] τᾶς ἱερᾶς γᾶς κόπρον μὴ ἄγεν μηδεμίαν[:] § 5 οἰκήσιος· ἐπι - - - - - | ἐν ϝιδία[ν] ἐπὶ θαλάσσαι, τὰς δὲ παστάδας κοινὰς εἶμεν πάντεσσι [τοῖς - - - - μι-]| σθὸν μ[ηδ]ένα φέρεν μηδενὶ μηδ᾽ ἐνοικὲν τὸν αὐτὸν πλέον τριάκ[οντα ἀμερᾶν - μηδὲ γυναῖκα?] | ἐνοικὲ[ν μ]ηδεμίαν, μηδὲ μύλαν ἐνεῖμεν μηδὲ ὅλμον. αἰ δέ τις τ[ὸ̄ς νόμους τούτους παρβαίνοι, τοὶ ἱ]αρομ[νάμ]ονες ζαμιόντων, ὅτινί κα δικαίωι σφιν δοκῆι εἶμεν ἐπι[ζαμίωι, - δὲ τοὶ θέλοντες] | κἀξαγ[γε]λλόντων ποὶ τὸ̄ς ἱαρομνάμονας: § 6 λῶτις· ἁ λῶτις τᾶς Ἀμφ[ικτιον - - στατῆρες] Αἰγινα[ῖο]ι· τὸ δ᾽ ἀμπέχονον πεντήκοντα καὶ ἑκατὸν στατῆρ[ες Αἰγιναῖοι· τῶν δ᾽ ἐπὶ τούτωι πορπαμά]|των ἑκατὸν στατῆρες Αἰγιναῖοι· τᾶς στεφάνας ἑκατὸν στατ[ῆρες Αἰγιναῖοι - πεντεκαί?]|δεκα στατῆρες Αἰγιναῖοι· τᾶς ἀσπίδος διακάτιοι στατῆρες Αἰγι[ναῖοι - - στα]τῆρες Αἰγιναῖοι· λόφου πεντεκαίδεκα στατῆρες Αἰγιναῖοι· δόρατ[ος - - στατῆρε]|ς Αἰγιναῖοι· καὶ τὰ πορπάματα καὶ ἁ στεφάνα χρύσεα ἐόντων· πι - - | ἐνέστω· [τ]οῦ βοὸς τιμὰ τοῦ ἥρωος ἑκατὸν στατῆρες Αἰγιναῖοι τασ

- - - | *ὀφειλέτω· χρηστήριον αἴ τίς κα μὴ παρέχηι, ἑκατὸν στατῆρας ὀφε[ιλέτω - - - ἐ]||ς ἔφοδον θύεν ἐν Ἀνεμαίαις τρικτε[ύ]αν κηΰαν, τῶι τρικτεύαν κηΰαν [- - -: § 7 ἀκέσ]ιος· τὸν ναὸν τοῦ Ἀπόλλωνος τō Πυθίō καὶ τὰν αὐλὰν καὶ τὸν τᾶς Ἀ[θάνας τᾶς προναίας ναὸν καὶ τὸν] | δρόμον καὶ τὰν κράναν τὰν ἐμ πεδίωι τοὶ ἱαρομνάμονες τοὶ Ἀμφι[κτιονικοὶ κατὰ τὰν πυθιάδα ἑκά]||σταν ἐφακείσθων πρὸ Πυθ[ί]ων, ὅτινός κα δέωνται. αἴ κα μὴ τοὶ ἱαρομ[νάμονες τοὶ Ἀμφικτιονικοὶ] | ἐν τᾶι ⟨ται⟩ πυθιάδι τᾶ(ι) ἱαρᾶι ἐπικοσμήσωντι, ὅτινός κα δέωνται, ἀπο[τεισάτω ἕκαστος-] | στατῆρας Αἰγιναίος· αἴ κα μὴ ἀποτίνηι τ[οῖ]ς ἱερομναμόνεσσι το[ῖς Ἀμφικτιονικοῖς, εἰλέσθω τοῦ ἱ]αροῦ ἁ πόλις, ἐξ ᾶ̆ς κ' εἶ ὁ ἱαρομνάμων, ἔντε κα ἀποτείσηι: § 8 ὁδῶν· τὰ κ[- - - καὶ τ]||ὰς γεφύρας ἐφακε̄̃σθαι Ἀμφικτίονας κὰτ τὰν αὐτō ἕκαστον κ[αὶ ἐπιμελεῖσθαι ἐς τὸ λοιπόν, ὅπως] | μὴ σίνηται· καὶ τοῦ δρόμ[ου] τοὺς ἱαρομνάμονας τοὺς Ἀμφικτι[ονικοὺς ἐπιμελεῖσθαι, ὅτινός κα δ]||έηται, καὶ ζαμιούντων τοὶ ἱαρομνάμονες κἠπὶ τοῖς ποταμοῖς [- - - § 9 ἱερομηνί]||α πυθιάς: ἐνιαυτία ἁ ἱερομηνία ἁ πυθιὰς ἴσα πάντεσσι ἐκ τᾶς ἠ - - - - Πύθια δ' ἀ(γ)όντων τοῦ Βουκατίου μηνὸς τοῦ ἐν Δελφοῖς, τὸ̄ς δὲ Π[ύθια ἐπαγγέλλοντας πεμπόντων οἱ Δ]||ελφοὶ τοῦ Βυσίου μηνός· α[ἰ] δέ κα μὴ πέμπωντι, ἀποτεισάντω[ν - στατῆρας Αἰγιναίος -] | πὸτ τὸν θεὸν κὰτ τὰ πάτρια διδόντων τοῖς Δελφοῖς· αἰ δέ κα μ[ὴ διδῶντι - - - μηδὲ | δέ]χωνται τὰν ἐκεχηρίαν, εἰλέσθων τοῦ ἱαροῦ π[- - - - - - | . . . τὰν ἐ]κεχηρίαν ἱερομη[νί]ας . . . . . τον - -.*

Dedi textum Kirchneri (IG[2] et DS). vs. 3 *ὥς κα δ.*: cf. *ὅπαι κα δικαιότατα* Thuc. V 79 (WSchulze KZ 45, 368). 5 *οὐδέ ποκα*: cf. Wackernagel Gl 7, 277. 10. 24 *ἀπογραψέν, ἐνοικέν* an *-ε̄̃ν*? 20 *Ἀμφικτύονες*: cf. Rüsch 1, 37. 33 *χρηστ.* victima (cf. EFraenkel KZ 45, 216 adn. 1). 34 *θύεν* sc. *τοὺς ἱερομνάμονας* — *ἐν Ἀνεμ.*: alia locorum Delphicorum nomina in decr. Amph. 178[a] DI 2536 (Pomtow GöttAnz 1913, 153), 19sqq.: *τᾶς ἱερᾶς χώρας ὑπάρχειν τόπον* (20) *ταῖς ἱεραῖς βόοις καὶ ἵπποις καταλελειμμένον ἀπὸ τᾶς ὁ|δοῦ τᾶς ἐπὶ τὸ Ἄστυρον ἀγούσας, ᾶ̆ι ἁ ὁδὸς ἄγει ἐπὶ τὸν Παι|παλίδαν καὶ ἐν τὸ Λακωνικόν· ἀπὸ τοῦ Λακωνικοῦ ἐν σκαι|ὰν ἐν τὰν νάπαν τὰν ἐν Ἱεραπέτειαν [κατ' ὀρθόν], ὡς ἁ ὁδὸς ἄγει ἁ ἐξ ἱπποδρόμου, ἁ ξενὶς ἁ ἐπὶ τὸ Λ[ακωνικόν· ἁ (δὲ) νά](πα)* (25) *ταῖς ἱεραῖς βόοις καὶ ἵπποις ἔστω* (26) *ποτὶ τᾶι Κεραμείαι*; nec non in monumento bilingui (BH 27, 104sq.; DS [3]826/7) et FdD III 136 (e. gr. vs. 27 *ἐπὶ τὸν Πέτραχον*). — *τρικτ. κ.*: de formatione Bechtel GöttNachr 1918, 400/2. 41 *ἐφακε̄̃σθαι*: de asp. cf. Rüsch 1, 225. 45 (*γ*): *ε* l. — Bourguet RA 7 (1918), 227sq. denuo sibi legisse visus est vs. 4 *ἐγκερδανῶ τᾶν δικᾶν οὐδεμίαν*, vs. 7 *οὔτε μεγάλα οὔτ]ε μικρά*, vs. 45 *πυθιάδα ἐόντων.*

---

326 Prope thesaurum Atheniensium. Tabula calcaria. *στοιχ.* — Specimen pensionum naopoeorum ann. 360sqq. — Bourguet BH 20, 197/241. DI 2502. Mi 591. Hicks [2]129 (vss. 1—33). DS 140 [3]241.

ἐπὶ Ἀργιλίου ἄρχοντος (360), ὀπωρινᾶς πυλαίας, πὰρ τὰν πόλιν τῶν Δελφῶν λοιπὰ χ[ρ]ήματα τοῖς ναο|ποιοῖς· τάλαντα ἴκατι, μναῖ δέκα τέτορες, στατῆρες δέκα. μετὰ τοῦτο ἀπεδώκαμες, ἐπιστει|λάντων τῶν ναοποιῶν πάντων, τᾶι ἠρινᾶι πυλαίαι, ἐπὶ Ἡρακλείτου ἄρχοντος (357), ἀργύριον διδόμεν. | ἔδωκε ἁ πόλις τῶν Δελφῶν, ἐπὶ Ἀριστοξένου ἄρχοντος (356), μηνὸς Ἀπελλαίου, βουλευόντων Καλλίππου, Σακεδάλλου, Αἰγύλου τοῦ Ἵερωνος, Ἀρισταγόρα μὲν ἀφισταμένου τᾶς ναοποιΐας, | Νικομάχου δὲ τοῦ Μενεκράτεος ναοποιέοντος, ἐπιμηνιεύοντος δὲ Φιλολάου Λακεδαιμονίου, | Λαφάρεος Φωκέος, Πασίωνι ἰσχεγάου μνᾶς δέκα, στατῆρας ἑπτά, ὀβολοὺς ἐννέα· Ἁρμοδίωι | χαλκεῖ δεσμῶν μνᾶς ἕξ, στατῆρας δέκα πέντε. ἄλλο ἔδωκε ἁ πόλις τῶν Δελφῶν, ἐπὶ Ἀριστοξένου | ἄρχοντος (356), μηνὸς Ἡραίου, ὀπωρινᾶι πυλαίαι, ναοποιέοντος Νικομάχου Δελφοῦ, βουλευόντων Καλλίππου, Σακεδάλλου, Αἰγύλου, τοῖς ἐργώναις κελευόντων πάντων τῶν ναοποιῶν, | παρεόντων δὲ ναοποιῶν τῶνδε· Νικομάχου Δελφοῦ, Νικοτέλευς Ἀργείου, Κλεοδώρου Ἀργείου, | Ξενοτίμου Σικυωνίου, Δαμοφάνευς Κορινθίου, Νικοδάμωι ξύλων ποτὶ τὰ μαχανώματα μνᾶς [ἕξ]· | Πασίωνι ἄλλο τοῦ ἰσχεγάου, τοῦ αὐτοῦ ἔργου, μνᾶς δέκα, στατῆρας τρεῖς, ὀβολοὺς τρεῖς. | Νικοδάμωι, Πασίωνι λατομίας μνᾶς τριάκοντα τέτορας, στατῆρας ἴκατι ἕξ· Πραξίωνι, Ἀριστάνδρωι λιθαγωγοῖς μνᾶς δέκα τέτορας, στατῆρας δέκα· Κλεινίαι σκαπέτων στατῆρας | ἴκατι τέτορας, ὀβολοὺς ὀκτώ· Ἀριστίωνι λίθων ἀπαγωγᾶς στατῆρας δέκα· τῶι μαγίρωι | τρία ἡμιωβέλια. ταῦτα ἀπελογιξάμεθα ποτὶ πάντας τοὺς ναοποιούς, καὶ ἐγένετο | κεφάλωμα τάλαντον, μναῖ ἴκατι δύο, στατῆρες ἴκατι ἕξ, ὀβολοὶ ἐννέα, ἡμιωβέλιον. |

Cf. e sequentibus A 56 πισσῶσαι 62 ἀκέσιος 67 τετρώκοντα 106 λατύπας B 10 ταῦται ἐδόθεν 16 ἐννέα (sed ἐννή BH 27, 22; cf. W Schulze KZ 42, 113; Rüsch 1, 172) 30 παρῆν ναοποιοὶ τοίδε 38 ὄκα ὁ λογισμὸς ἧς 39 ἐπὶ τοῖς ζυγάστροις ἐφεστάκεον.

---

327 Stela marmorea. στοιχ. ca. 326. — Proxenia. — Bourguet BH 23, 495/6.

Δελφοὶ ἔδωκαν Ἀμ|φαλκίδαι Ἡάβρων|ος Ἀπολλωνιάται | προξενίαν αὐτῶ[ι] καὶ ἐκγόνοις καὶ | [τ]ἆλλα πάντα ὅσσα | [κ]αὶ τοῖς ἄλλοις | προξένοις, ἄρχο|ντος Πλείστωνος, βουλευόντων Μν|ασιδάμου, Ἐρασί|ππου, Εὐαρχίδα.

,Ici l'emploi de H atteste la persistance d'une aspiration forte dans le langage des Apolloniates' B.

328 Stela marmoris candidi. *στοιχ.* 258. — Proxenia. — Homolle BH 23, 376/8.

Ἀρ(κάδων). | Δελφοὶ ἔδωκαν ἐν ἀγ|ορᾶι τελε(ί)ωι σὺν ψάφ|ωι τᾶι νικεούσαι Φιλοξένωι Φιλοξενίδ|α Ἀρκάδι Μεγαλοπολ|ίται αὐτῶι καὶ ἐκγό|νοις προξενίαν, ἀτέ|λειαν, ἀσυλίαν, προδικίαν, προμαντείαν, | ἐπιτιμίαν καθάπερ | Δελφοῖς· ἄρχοντος Δ|ίωνος, βουλευόντων | Γοργίππου, Γλαύκωνος, Εὐίππου, Κλεοδώρ|ου, Πάτρωνος.

vs. 1 *Αρ* ligatis litt. scriptum. 2 (*ι*) deest in l.

328ª Septem fragmenta marmoris Pellanensis opisthographi diversis locis Delphorum inventa. 262/51. — Foedus Delphorum et Pellanensium. — Haussoullier, Traité entre Delphes et Pellana. Paris 1917 (Bibl. de l'école des hautes études 222).

I A - - - *αρ* . . . . - - - | - - [*ἐ*]*ν Πελλάναι ἐν* - - - . *δικαίων τ* - | - *αρων καὶ ὑπακούσας μ*[- - - *κ*]*αὶ ἔλασσον ἕνδεκα ἀνδ*[*ρ* . . . | *τ*]*ὰς δὲ ὑπὲρ πέντε μνᾶς ἔντε δ*[*έκα καὶ πλέον δεκαπέντε ἀνδρ* . . .· *μὴ πα*-*ρ*]*εόντων δὲ τοὶ μάρτυρες μηδατέρων τῶ*[*ν ἀντ*]*ιδίκων μηδὲ ὅσοι τοῦ αὐτοῦ ἐνκλή*[*ματος μετέχοντι, μηδὲ πατὴρ*] *μηδὲ γυναικὸς πατὴρ μηδὲ ἀδελφός. προλεγέτω | δὲ ἁ ἀρχὰ πρὶν κλαρώεν ὑπὲρ το*[*ῦ δι-καστηρίου ἁμέραν, ἐν*]*δεικνύτω δὲ ὁ ἀδικείμενος ἐν αὐτᾶι τᾶι ἁμέραι ποὶ τὰν | ἀρχὰν τὰν εἰςάγουσαν τὰν δίκ*[*αν τὸ ἔνκλημα ὅτι γέγραπται*] *ἐ*[*ν*] *τῶι συμβόλωι.* — *ὅρκος. ὁρκιζόντων δὲ τοὺς δικαστῆρα*[*ς*] | *καὶ τοὺς ἀντιδίκους ἑκάτεροι νομ*[*ίμωι χρειμένους ὅρκωι, τὰ δὲ ἱερὰ*] | *παρεχέτω ἁ πόλις ἐν ἇι κα ἁ δίκα ἦι.* — *ὀμνυόν|των δὲ κατὰ τῶν ἱερῶν τὸ αἷμα* [*σπένδοντες δικαίως μὲν δικάζεν, λ*]*όγον δὲ ἀποδιδόμεν ἐπὶ τᾶι τιμάσει τῶι δικαζομένωι καὶ τῶι ἀντιδίκωι ὑπὸ τ*[*ὸν αὐτὸν χρόνον.* — *τῶν δὲ ἀντιδίκων μ*]*ετὰ τὰ μαρτύρια λεγέτω πρότερος ὁ ἐπάγων | τὰν δίκαν.* — *τῶν δὲ μαρτυρίων,* [*αἴ κα χρήιζωντι, παρίσκεσις ἔστω καὶ τ*]*ῶν ψευδομαρτυρίων προτέρα, ἔπειτα δὲ ἁ δίκα τελείσθω· εἰ δέ κα ἁλῶι ψευδῆ* [*μεμαρτυρηκώς, ἐξέστω καὶ ἐπεξίμε*]*ν τῶι βουλομένωι.* — *ψαφοφορία.* — *τοὺς δὲ δικαστῆ|*[*ρας ψαφοφορὲν ὑπὲρ τοῦ μὲν προτέρου λέγοντος πρότερον, τοῦ δὲ ὑ*]*στέρου λέγοντος ὕστερον.* — *αἰ δέ κα μὴ παρίσκε|*[*σις ἦι, τὰν ἔσπραξιν ἐπιτελείτω ἁ ἐπιστᾶσα ἀρχὰ κατὰ τὸ σύμβολον*]. — *αἰ δέ κά τις ἐπάμφορο(ν)* [*π*]*οιῆται τὰν δίκαν ἐν* [- - - *δικάζεσθαι αὐτὸν ἐγγύους καταστάντ*]*α δύο ἀξιοχρέους.* — *οἱ δὲ ἐ*[*π*]*άκ(ο)οι ἐπέσθων.τ* . .

I B - - - | - - - *α*]*ἰ δέ κα ἐξέλε*[*ι*]: *ο* . *σ* . . . | - *ι ὁ ἔγγυος* [- - - *ἄλ*]*λας ὅσας καταγρ(α)* . *ν* . . . . | - *ενων πλοίων ἐκ* [*το*]*ῦ μέρεος τ*[*οῦ* - - - *το*]*ὶ δικασταὶ διαγνόντων.* — *αἰ δέ κ*[*α πρί*]*ατα*[*ι ἀγ*]*μένων, ἀποτινέ*[*τ*]*ω ἐπιτίμιον ἑκα*[*τὸν δραχμὰς καὶ μὴ ἐξέστω αὐτῶι*

ὠ]νεῖσθαι. — ὁ Δελφὸς τὸμ Πελλανέα [μὴ] ἀ[γέ|τω] μηδὲ ὁ Πελλανεὺς τὸ[ν] Δελφόν, εἰ μὴ κελ[εύοντος· εἰ δὲ εἰδὼς ἐλεύθερον ὄ]ντα πρίαται, στερ[έ]σθ[ω] τᾶς τιμ[ᾶ]ς [καὶ] | τὰν βλάβαν ὀφειλέτω ἅν κα τοὶ δικασταὶ γν[ῶντι κατὰ τοὺς νόμους τᾶς πόλιος·] τετραπόδων δὲ πά(ν)των καὶ ἀνδραπό|δων τὰν ἀξίαν δικασταὶ διαγνόντων. — φιλατίας. — [αἰ δέ κά τις κλέπτων ἁλῶι] ἐπ᾽ αὐτοφώρωι, ἀπαγέτω αὐτὸν λαβὼν δή|σας ἐμ μὲν Δελφοῖς πὸ[τ] τὰν βουλὰν [εἴ]σω τοῦ ἱεροῦ, ἐν [δὲ τῶι ἱερῶι ἔγγυον ἀ]ξιόχρεων ἐγγυασάσ[θω] ποτ[ὶ] τῶι βοιο . . ἐν Δελφοῖς, ἐν δὲ Πελλάναι πὸτ τοὺς θεαροὺς ἀποτρ[εχέτω καὶ ἐνδεικνύτω τὰ] σύββολα καὶ τὸν ἔγγυο[ν] ἐ[γ]γρα[φέσθω·] | εἰ δὲ μὴ καθ[ι]σταίη τὸν ἔγ[γ]υον, δήσασα αὐτὸν ἁ βουλὰ ε[ἱ]ργέτω· τοὶ δὲ ἄρχοντε]ς ἐν τριάκοντα ἁμέραις τὸν ἀπά[γον]|τα, αἴ κα χρήζωντι, ἐγγυασάσθων, αἴ κα ἁλῶι, ἐκτε[ίσειν αὐτὸν ἢ ὀφείλ]ειν αὐτὸν ὅτί κα τοὶ δικασταὶ γνῶντι· [αἰ δέ κα] | μὴ ἐγγυῶντ(α)ι, χρήσθ[ων] περὶ αὐτοῦ τοῖς νόμοις το[ῖς περὶ τῶν . . . . .· εἰ δὲ] κελεύει τὰν βουλάν, καὶ τ[οὶ ἄρχοντες ἅμα] | ἐγγύους λαββάνο[ντες κ]αββαλόντων ἄξιον ἐν[έχυρον - - -] χηται ὀφείλ[ειν -]κια [δ]ὲ τοὶ ναῦται - - | - - ειδεν καὶ ἐξαγ[γειλατ - - | - - χρ]ημάτων ο - -.

II A --ια-- | --τι τὸν ἀπα[γο--] | καθομολογία--|--ων εἶμεν δια-- [- - γεγ]ένηντ[α]ι πρ[ότερον - - | - - - | - - π]αργραψ[άσθω] ποὶ τὰν [ἀρχὰν τὰν εἰςάγουσαν τὰν δίκαν - | - - ὁ δικα]ζόμενος· αἰ δέ κα γν[ῶντι τοὶ δικασταὶ - -] | - - τριῶν ἐτέων. — αἴ τίς κα περὶ κοινῶ[ν ἐγκλημάτων - - - ἀντιλέγηι ἀδίκως] κατ᾽ αὐτοῦ γεγράφθαι, πα[ρα]γραψά[σθω ποὶ τὰν ἀρχὰν τὰν εἰςάγουσαν | τὰν γραφὰν - -]. ν αἴ κα χρήιζηι· ἂν δὲ νικάσηι, μ[ὴ] ἔνδικον ε[ἶμεν μήτε τῶι δικαζομένωι μήτε | ἄλλωι τινί· ποτοφειλέτω δ]ὲ χιλίας δραχμὰς ὁ αἰσχύνας τῶι παθόντι, τὸ δὲ βλάβο[ς ὅτί κα γνῶντι τοὶ δικασταί· | ὅτι δὲ καὶ - - ἐμμέ]νοι βίαι, ἀποτεισάτω πεντήκοντα δρα[χ]μάς. — φιλα[τίας. — αἰ τίς κα ἔνδοθεν κλέψηι, | διπλόον ἀποτεισάτω ὅτ]ί κα τιμαθῆι ἄξιον εἶμεν τὸ κλέμμα· [αἰ δ]έ κα ἔξοθεν [κλέψηι ἢ Δελφὸς παρὰ Πελλανεῖ ἢ Πελλανεὺς παρὰ Δ]ελφῶι, ὁ ἔχων ἀναγέτω, τῶι ἐφαπτομέν[ωι] ἔγγυον καταστάσ[ας ποὶ τὰν ἀρχὰν τὰν εἰς|άγουσαν τὰν δίκαν ἔ]νδικον καὶ ἄνδρα ἀξιόχρεο(ν), ἃ μὲν ἐν [Δ]ελφοῖς ἢ Πελλανε[ῦσιν ἔχει δικαίως πεπᾶσθαι κατὰ | τοὺς νόμους τᾶς πόλιος· ἐξέ]στω δὲ τῶι μὲν μὴ δέξασθαι τὰν (ἀν)αγωγὰν εἰπόντι καθ᾽ [ὅτι δικαίως ἐφάπτοιτο, | τῶι δὲ ἀποδείξασθαι ὅτ]ι ἀνάγοι καθότι πέπαται. — αἰ δέ κά πη ἀνάγηι ἐν τῶι χρόνω[ι τῶι γεγραμμένωι ὁ ἔχων, | ἁ ἀναγωγὰ ἀτελὴς καὶ ἄκυρ]ος ἔστω. — αἰ δέ κα μὴ καθιστᾶ[ι] τὸν ἔγγυον ὁ ἔχων, ἐξέσ[τω τῶι ἐφαπτομένωι ἀποδοῦναι ἔντε κα εὕρηι τὰν ἀξίαν καὶ] τὸ βλάβος· αἰ δέ κα μὴ

ἦι, τὰ[ν] ἀξίαν καὶ τὸ βλάβος τὰν δ[ιπλόαν ὀφειλέτω ὁ ἔχων | τῶι ἐφαπτομένωι, καὶ σῶσ]τρα καὶ ἐπιτίμιον ἀποτι[ν]έτω πεντακατίας δραχμὰ[ς κατὰ τὸ σύμβολον τὸ περὶ τῶν | - -]των· αἰ δέ τί κα ἄλλο [ἀ]ποδῶι, γραφέσθω μὲν τὰν δ[ιπλόαν ὁ ἔχων, ὁ δὲ ἐφαπτόμενος | - - - αἰ κά τις ἀνδράποδον] ἐκδεδρακὸς σ[υ]λλάβηι, ἀπαγέτω ἐν Δελφοῖς κ[αὶ ἐν Πελλανεῦσι ποὶ τοὺς ἄρχοντας τοὺς | παρ᾽ ἑκατέροις ἐπιστάντας, τοὶ δὲ παραλαβό]ντες δήσαντες φυλασσόντων καὶ ἐξαγγειλά[ντων τοῖς ἄρχουσι - - [25]- - -] τῶι δεσ[π]όται μετίμεν, σῶστρα δὲ μὴ ἐξεῖμ[εν ἐσπρᾶξαι - - | - -]ες τ[ε]τρώκοντα ἀμερᾶν ἀπο - - - | - - - - κυρ - -

B [1][τὰ πρότερον γεγενημ]ένα ἢ [2]τᾶ]ι πόλει ε [3]ἑκάτεροι, ἁ δὲ πόλις φ [4]διπλ]όαν τὰν δίκαν. — ἐξέστω [δὲ [5]ὅσαι ἐπάμφοροι ἔσονται ἃς δ [6]γ]ραφεὺς ἀνελέσθω ἅν κα χρήιζηι. — α[ἰ δέ κα [7]α]ἴ κα χρήιζηι, ἐν δὲ ταῖς αἱρεθείσαις ἀεὶ [πόλεσιν [8]πόμενος καὶ τᾶς ἐν τᾶι προδίκωι καὶ τᾶς ἐ[ν τᾶι ἐκκλήτωι [9]νικ]αθέντος, ἁ πόλις πρασσέσθω⟨ν⟩ νόμοις τοῖς αὐτ[ᾶς [10]αι. — εἰ δέ κα ὁ ἐκκαλεσάμενος νικάσηι ἐν τᾶ[ι ἐκκλήτωι [11]ων μηδὲ [συ]νδικήσω(μ) μήτε τῶι δικαζ[ομ]ένωι [μήτε ἄλλωι τινί [12]ττασταιας. εισ [13]Πελλάναι ..... αυτ ¦. . . . τ . νται . . λ . . . . ενεδ [14][αἰ δέ κα ὁ νικάσας τὰ μὴ ἀπο]δοθέντα ἀφαιρῆται ἢ ἐν τὰν [οὐ]σίαν ἐνίσταται τὰν τοῦ ἁλ[όντος — [15]ὑπόδικος ἔστω τοῦ βλάβους - -]ωι αὐτί(κ)α αὐτοῦ καὶ τ[ο]ῦ ἡμιολίου· αἰ δέ κα μὴ λύσηται, κρ[ατὲν τὸν - - [16]τὰν ἔ]σπραξιν, ἁ δὲ ἐπιστᾶσα ἀρχὰ ἐπιτελείτω κατὰ τὸ σύββολον [17]τα κατὰ τὸ σύββολον τὸ περὶ τ[ῶ]ν τὰς δίκας ὀφλόντων. — τὸν δὲ - - [18]νομ βουλᾶς κατ᾽ αὐτά. — ὁ δ[ὲ κ]αταδικαξάμενος ἀπαγ[γειλάτω τὰν καταδίκαν [19]τοῖς παρ᾽ ἑκατέροις ἄρχουσι. — ἐξαγγέλ]λεν δὲ τὰς δίκας Πελλανεῦσι καὶ Δελφοῖς περὶ τ[- - [20]- - - εἰς ἄγεν δὲ διὰ π]αντὸς τοῦ χρόνου· τὰ δὲ ἄλ[λ]α ἐκκλήματα πάντα [ὅσα μήπω - - [21]- διαλυθῆναι ἐν τρισὶν] ἔτεσιν ἀφ᾽ οὗ τὸ σύββολον ἐ[γ]ένετο, αἴ κα μὴ π[ολέμου γενομένου - [22] - τῶν πολιτᾶν ὑπὲ]ρ τὸ τρίτον μέρος ε(ἰ)ς τὰν ὑπερ[ό]ριον στρατεύ[εσθαι - - [23] - - ἤ τις τῶν ἀντιδίκ]ων ἐκ τᾶς πόλιος στρατεύηται ἢ πρεσβ[εύηται - - [24] - - - α]ὐ[τ]ίκα δὲ ἀρχέτω ἁ ἀμέρ[α α]ὐτοῖς [ἀπὸ τᾶς καθόδου - - [25] - - - μοις δισχιλίας δραχ[μὰς - -.

III A [1][τὰν ἀξίαν καὶ τ]ὸ βλάβος δια[γνόντων τοὶ δικασταὶ] [2]Δελφικὰ εἶμεν ἢ Π[ελλανικὰ] [3]ἑκάστας πεντα[κατίας δραχμάς] [4][τὰν τ]ρίταν ἁμέραν κ [5][ὅ]τί κα τοὶ δικαστ[αὶ γνῶντι] [6]ἀπολυέτω α [7][ἐνα]ντία, τὸ δικ[αστήριον] [8]αντιοτομ [9]ἐγγο [10]ο

B [1]εἰ δέ κα μὴ [2]αν, ἐν δὲ Δελφοῖς [ποὶ τὰν βουλάν] [3]τηι, ἀποτεισάτω π[εντ -] [4][ἀμερ]ᾶν τριάκοντα καὶ [5]ο τοῦ αὐτοῦ φεύ-

γ[οντος] [6]*οις παρ τοῦ τὰ τ* [7]*[ἀ]ντιλέγηι δικ[αίως* [8]*[τᾶ]ς πόλιος ει* [9]*εντ*

IV A [1]*και* [2]*σταν [ἐ]μ Πελοπο[ννάσωι]* [3]*εἴσω Πυλᾶν ἅδει.* — [4]*[ὅσοι δὲ δ]ίκας ἀμφέροντ[ι]* [5]*[τὸ π]εντηκοστὸν τᾶς δ[ίκας]* [6]*[αἰ] δὲ νικῶν (?) τὸ αὐτοῦ* [7]*ωι παρκαταβάλοι* [8]*ος* [9]*[ἀπο]τεισά[τω]* [10]*[πα]ρβολ*

B [1]*που τοῦ πε[ρὶ* [2]*ω ἁ δίκα ἐνιαυτὸν* [4]*. . ιμολεῖν* [5]*[ποὶ τὰν βουλ]ὰν τὸ ἐπιδέκατον τᾶ[ς δίκας]* [6]*[τὸν ἐλεύθ]ερον ἢ τὰν ἐλευθέρ[αν* [7]*τὸ κλέμμα ἀποτιν[έτω* [8]*ιασηναωστει . λγ* [9]*[ἁ] βουλά.* — *α[ἰ δὲ* -

I A 14 (*ν*): *ς* l. 15 (*ο*) deest in l. B 7. 13 (*ν*) (*α*): *μ*, *ω* l. 9 *π. τῶι β.*: *πὸτ τῶι βωμῶι?* II A 16 (*ν*): *ς* l. 17 (*αν*), B 11 (*μ*) desunt in l. 15 (*κ*): *μ* l. 22 *τ. π.* *ὑπέρ* Wilhelm Wien. Anzeiger 1922, 27 f. (*ι*): *υ* l.

---

329 In muro polygonio. ca. 239. — Proxenia. — W.-F. 7. DI 2606. DS [3]481 A.

θεοί. | *ἁ πόλις τῶν Δελφῶν ἔδωκε Μένωνι καὶ Φίλωνι τοῖς Πολύας υἱοῖς* | *ἀτέλειαν πάντων ὡς καὶ τοῖς ἄλλοις πολίταις καὶ αὐτοῖς καὶ ἐκγόνοις* | *καὶ γᾶς καὶ οἰκίας ἔμπασιν· ἄρχοντος Καλλικλεῦς, βουλευόντων* | *Κρίτωνος, Πλείστωνος, Ἀχαιμένευς, Ἱππία, Κλέωνος.*

vs. 2 *Πολύας*: gen. matris (cf. *Φίλων Δικαίας* DI 1732, 12); erant metoeci et parthenii. DS (Baunack genn. patris quales sunt allati ad nr. 140 agnoscere sibi visus erat).

---

330 [[2]206] In muro polygonio. 228. — Proxenia. — ECurtius Anecd. 46. Le Bas II 874. Pomtow JbbPh 149, 536. DI 2582. Mi 260.

θεοί. | *ἔδοξε τᾶι πόλει τῶν Δελφῶν· ἐπειδὴ Εὐρ[υ]τίων* | *Τύχωνος Ταναγραῖος ἱερομναμονήσας εὐεργέ|τας ἐγένετο τοῦ ἱεροῦ καὶ τᾶς πόλιος τὰ δίκαια πράσ*[5]*σων, δεδόσθαι αὐτῶι καὶ ἐκγόνοις προξενίαν,* | *προμαντείαν, ἀσυλίαν, ἐπιτιμίαν καθάπερ Δελφοῖς,* | *προεδρίαν ἐμ πάντεσσι τοῖς ἀγώνεσσι, οὓς ἁ πό|λις ἄγει, καὶ τὰ ἄλλα πάντα ὅσα καὶ τοῖς ἄλλοις* | *εὐεργέταις καὶ προξένοις· ἄρχοντος Ἡρακλεί*[10]*δα, βουλευόντων Στράτωνος, Κλευφάνευς,* | *Ἀθάμβου, Αἰνησίδα.*

vs. 2 *Εὐρ[υ . . .]τίων* l.

330[a] Stela marmorea. 213/03. — Asylia fani Apollinis in finibus Chalcedonis siti. — Pomtow Klio 15, 14 sq. DS [3]550.

- - | *[δεδ]όχθαι τᾶι πόλι τῶν Δελφῶ[ν* | *τ]ὸ ἱερὸν τοῦ Ἀπόλλωνος το[ῦ]* | *Πυθαίου τὸ ἐν τᾶι Καλχαδο*[5]*νίαι ἄσυλον καὶ φύκτιμον ε[ἶ]|μεν ἀπὸ πάντων, ὧι ταὶ στᾶ|λαι ὁρίζοντι, κατὰ τὰν τοῦ* | *θεοῦ*

μαντείαν· ἀγγράψαι δὲ | τὸ ψάφισμα τόδε ἐστάλαν λ[ι]θίναν καὶ ἀνθέμεν ἐν τὸ ἱε|ρὸν τοῦ Ἀπόλλωνος. | Ῥοδοκλῆς Ἡροδώρο(υ) Βοιώτιος | ἐπεμελήθη.

vs. 6 ὧι adv. Pw.

---

331 [^{2}208] Tei (et Delphis). Lapis (in muro thesauri Atheniensium). 201 (Pw ad DS ^{3}564). — Decretum de asylo Teio (cf. nr. 188). — Le Bas III 84. Wilhelm GöttAnz 1898, 218sq. DI 2675. Mi 67. FdD III 2, 134c (exemplar Delph.). DS ^{3}565. Cf. nr. 387.

Δελφῶν. | [ἔδοξε τ]ᾶι πόλει ἐν ἀγορᾶι τελείωι σὺμ ψάφοις ταῖς ἐννόμοις· ἐπε[ι]|δὴ Τήιοι πρεσβευτὰς ἀποστείλαντες Πυθαγόραν Κλείτου καὶ Κλεῖτον | Κλείτου τάν τε οἰ[κ]ει[ό]τατα καὶ φιλίαν ἀνενεώσαντο καὶ παρεκάλεον τὰν πόλιν, ὅπως ἅ τε πόλις καὶ ἁ χώρα αὐτῶν ἐπιχωρηθῆ ἱερ[ὰ εἶ]|μεν καὶ ἄσυλος τοῦ Διονύσου· δεδόχθαι τᾶι πόλει, τάν τε φιλίαν [καὶ οἰ]|κειότατα τὰν ὑπάρχουσαν πὸτ τοὺς Τηΐους διαφυλάσσειν καὶ ἐπὶ π[λεῖ]|ον αὔξειν καὶ εἶμεν αὐτῶν τάν τε πόλιν καὶ τὰν χώραν | ἱερὰν καὶ ἄσυλον τοῦ Διονύσου, καθὼς καὶ οἱ πρεσβευταὶ παρεκάλεον, καὶ εἶμεν αὐτοῖς τὰν ἀσφάλειαν καὶ ἀσυλίαν καὶ | τοῖς ἐν Τέωι κατοικεόντοις καθὼς καὶ τοῖς Διονυσιακοῖς] | τεχνίταις. ὅπως δὲ διαμένηι τόδε τὸ ψάφισμα | ἐν τὸν πάντα ⟨τὸν⟩ χρόνον, ἀναγράψαι τοὺς ἐνάρχους | βουλευτὰς ἐν τῶι ἱερῶι. ἄρχοντος Μεγάρτα, βουλευόντων Μνασιθέου, Πρωτάρχου. Ἀθάμβου, Φιλίνου, Νικοβούλου.

Litteris in neutro exemplari servatis unci adhibiti. vs. 1 Δ. ex. T., θεοί ex. D. 2 post ψάφοις ⟨ο⟩ ex. T. 12 τεχ⟨ι⟩ν. ex. T. 13 prius τον omisit ex. D. 16 Πρ. Α. ex. T., Α. Πρ. ex. D.

---

332 [^{2}209] In sede prope porticum Atheniensium. ca. 205. — Proxenia Nicandri poetae. — Haussoullier BH 6, 217/9. DI 2653. Mi 274. Bu 52. DS ^{3}452.

ἀγαθᾶι τύχαι. Δελφοὶ ἔδωκαν Νικάνδρωι | Ἀναξαγόρου Κολοφωνίωι ἐπέων ποιητᾶι, αὐ|τῶι καὶ ἐγγόνοις, προξενίαν, προμαντείαν, ἀσυλίαν, προδικίαν, ἀτέλειαν πάντων, προεδρίαν ἐν πάντε(σ)σι τοῖς ἀγώνοις οἷς ἁ πόλις τί|θητι, καὶ τἆλλα ὅσα καὶ τοῖς ἄλλοις προξένοις καὶ | εὐεργέταις τᾶς πόλιος τῶν Δελφῶν. ἄρχοντος | Νικοδάμου, βουλευόντων Ἀρίστωνος, Νικοδάμου, Πλεί|στωνος, Ξένωνος, Ἐπιχαρίδα.

---

333 [^{2}207] In muro polygonio. 192. — Chersonesitarum honores. — Haussoullier BH 6, 213/7. DS 231. DI 2652. Mi 261.

θεοί. | ἄρχοντος Κλεοδάμου, βουλευόντων Ἀμύντα, Θεοφράστου, Πραξία, ἔδοξε τᾶι πόλει τῶν | Δελφῶν· ἐπειδὴ ἐπανελθόντες θεωροὶ

οἱ ἀποσταλέντες ἐπὶ τὰν ἐπαγγελίαν τῶν Πυ|θίων Ἀμύντας καὶ Χαρίξενος ψάφισμά τε ἀνήνεγκαν παρὰ Χερσονασιτᾶν τῶν ἐ[κ τ]οῦ Πόντου καθὼς ἦν λελυτρωμένοι ὑπ' αὐτῶν καὶ πεπολυωρημένοι ἐμ πάντοις κ[αὶ αὐ]|τοὶ διελέγεν ἀκολούθως τοῖς γεγραμμένοις ἀπολογιζόμενοι ἃν ἔχοιεν αἵρε[σιν] | ποτὶ τὰμ πόλιν τῶν Δελφῶν καὶ κοινᾶι καὶ καθ' ἰδίαν πάντοις, καὶ νῦν ἀποστείλα[ντες] | Φορμίωνα καὶ Ἡρακλείδαν θυσίαν συνετέλεσαν τῶι θεῶι ἑκατόμβαν βούπρω[ιρον καὶ] | δωδεκαΐδα βούπρωιρον τᾶι Ἀθάναι καὶ τὰ κρέα τᾶμ βοῶν διένειμαν τοῖς π[ολίταις], ἐποιήσαντο δὲ καὶ αὐτοὶ τὰν ἐνδαμίαν καταξίως καὶ αὑτῶν καὶ τῶν ἀποστειλά[ν]|των αὐτούς· δεδόχθαι τᾶι πόλει τῶν Δελφῶν, ἐπαινέσαι τε τᾶι πόλει τῶγ [Χε]ρσο|νασιτᾶν τῶν ἐκ τοῦ Πόντου καὶ τοῖς ἀποσταλέντοις ὑπ' αὐτῶν ἐπί τε τᾶι αἱρέσει | ἇι ἔχοντι καὶ εὐνοίαι ποτί τε τὸν θεὸν καὶ τὰμ πόλιν τῶν Δελφῶν, δεδόσθαι δὲ καὶ τᾶι | [πόλ]ει τῶν Χερσονασιτᾶν προμαντείαν καὶ τοῖς ἀποσταλέντοις Φορμίωνι καὶ Ἡρα|[κλεί]δαι προξενίαν· ἀναγράψαι δὲ τὸ ψάφισμα τοὺς ἄρχοντας τοὺς ἐνάρχους ἐν τῶι | [ἱ]ερῶι τοῦ Ἀπόλλωνος· ἀποστεῖλαι δὲ καὶ ξένια τοῖς παραγεγονότοις Φορμίωνι | [κ]αὶ [Ἡ]ρα[κλεί]δαι τοὺς ταμίας Χαρίξενον, Διόδωρον.

---

334 Basis calcaria. 175. — P r o x e n i a. — Homolle BH 23, 541/3. Nikitski, izslědovanija vъ oblasti grečeskichъ nadpisej. Jurjev 1901, 273.

ἀγα[θ]ᾶι τύχα[ι]. | ἄρχοντος Ἀρχελάου τοῦ Δαμοσθένεος, βουλευόντων δὲ τὰν δευτέ⟨ιε⟩ραν ἑξά[μη]|νον Ταραντίνου, Καλλία, Ἀρχελάου, ἔδοξε τᾶι πόλει τῶν Δελφῶν ἐν ἀγορᾶι τελεί|ωι σὺν ψάφοις ταῖς ἐννόμοις· ἐπεὶ παραγενόμενος Ἀνδροσθενίδας Κρινία Τολφώνιος καὶ Ἀριστόμαχος Κρινία Οἰανθεὺς καὶ ποτιπορευθέντες ποτὶ τὰν ἐκκλησίαν ἀνενεό|οντο τὰν παππώιαν προξενίαν καὶ ᾤιοντο δεῖν αὐτοῖς ἀναγραφῆμεν τὰν προυπάρχου|σαν προξενίαν· δεδόχθαι τᾶι πόλει τῶν Δελφῶν ἀν⟨αν⟩εώσασθαι τὰν προξενίαν Ἀν|δροσθενίδαι Κρινία Τολφωνίωι καὶ Ἀριστομάχωι Κρινία Οἰανθεῖ καὶ ὑπάρχειν αὐτοῖς | παρὰ τᾶς πόλιος καὶ ἐκγόνοις προξενίαν, προμαντείαν, προεδρίαν, προδικίαν, ἀσυλίαν, ἀτέλειαν, ἀσφάλειαν, καὶ τὰ ἄλλα ὅσα καὶ τοῖς ἄλλοις προξένοις καὶ εὐεργέταις | δίδοται. — ἔγγυος τᾶς προξενίας Δεξικράτης Μνασιθέου Δελφός.

vs. 2 ⟨ιε⟩ omisit N. 7 (αν) desunt. 10 -αις N.

334[g] DI 2676 (334/3[a]), 3 *τοὶ ἀδελφε[οί]* 13sqq. *π[ρο]|αλιωτᾶν*(?) *[ἐόν]*(15)*των Ταραν[τί|ν]ου κτλ.* 2508, 4sq. (III[a]) *ἔδοξε τοῖς ἱε*(5)*ρομνήμοσι καὶ τοῖς ἀγορατροῖς.* 2642 (159/8[a]), A 18sqq. *εἶμεν τὸ ἀργύριον* (ab Attalo II. rege *ὑπὲρ παίδων δι-*

δασκαλίας donatum) *ποθίερον τοῦ θεοῦ, καὶ μὴ ἐξεῖμεν μήτε ἄρχοντι | μήτε ἰδιώται μηθενὶ εἰς ἄλλο καταχρήσασθαι μηθὲν μηδὲ καθ᾽ ὁποῖον τρόπον μήτε κατὰ ψάφισμα μήτε κατ᾽ αἶνον· εἰ δέ τις τούτων τι ποιή|σαι ἢ ἄρχων ἢ ἰδιώτας, κατάμαστρος ἔστω ἱερῶν χρημάτων φω|ρᾶς, καὶ οἱ μάστροι καταγραφόντω κατ᾽ αὐτοῦ κατὰ τὸ ψαφισθὲν ἢ ἄλ|λω[ς μ]ετενεγχθὲν ἀργύριον ὀκταπλοῦν, καὶ τὸ ψαφισθὲν ἢ διαινε|θὲν ἄκυρον καὶ ἀτελὲς ἔστω.* 47 *ἐν τὸν ἐπεχεῖ ἐνιαυτὸν μισθοδοτεόντω.*

---

c) Acta manumissionum s. II et I (nr. 335—347).

Omnes titt. in hanc collectionem recepti in muro polygonio scripti sunt praeter duo primos, qui sunt in muro Pelasgico. Cf. de re E Curtius Anecd. Delph. p. 10/47; Gesammelte Abhandlungen 2, 393/417; Pomtow Beitr. z. Topographie von Delphi 13sqq. (tab. III. IV); Colin BH 22, 1sqq.

335 a. 186. — W.-F. 369. DI 2034. Bu 53.

ἄρχοντος [Ν]ικοβούλου μηνὸς Βουκατίου, ἐπὶ τοῖςδε ἀπέδοτο Νεοπάτρα Ὀρθαίου | Δελφὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα γυναικεῖα δύο αἷς ὀνόματα Ζωπύ|ρα, Σωσίχα, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καθὼς ἐπίστευσαν Ζωπύρα, Σωσίχα τῶι | θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέρας εἶμεν καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸμ πάντα βίον· βεβαιωτὴρ κατὰ τὸν νόμον Δαμένης Ὀρέστα Δελφός. παραμε[ι]νάν|των, δὲ Ζωπύρα, Σωσίχα παρὰ Νεοπάτραν ἄχρι κα ζώηι Νεοπάτρα ποέουσαι | τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως· εἰ δέ τί κα μὴ ποιέωντι | Ζωπύρα ἢ Σωσίχα τῶν ποτιτασσομένων ὑπὸ Νεοπάτρας καθὼς | γέγραπται δυναταὶ οὖσαι, ἐξέστω Νεοπάτραι κολάζειν καθώς κα αὐτὰ δείληται καὶ ἄλλωι ὑπὲρ Νεοπάτραν, ἀζαμίοις ὄντοις καὶ ἀνυ|ποδίκοις πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα πάθηι Νεοπάτρα, ἐλεύθεραι | ἔστων Ζωπύρα καὶ Σωσίχα κυριεύουσαι αὐτοσαυτᾶν παὶ ποέουσαι ὅ κα θέλων|τι, καθὼς ἐπίστευσαν τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Ζωπύρας | ἢ Σωσίχας ἐπεί κα τελευτάσηι Νεοπάτρα, βέβαιον παρεχέτω ὁ βεβαιωτὴρ τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόν|των συλέοντες ὡς ἐλευθέρας οὔσας ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα ἀζετωθέωντι περὶ Νεοπάτραν πεπο|νηρευμέναι ἢ τῶν Νεοπάτρας ὑπαρχόντων τι, κύριοι ἐόντω οἱ ἐπίνομοι κολά|ζοντες αὐτὰς καθ᾽ ὅτί κα αὐτοῖς δοκῆι, ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας. μάρτυρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος, τῶν ἀρχόντων Εὐκλείδας, | ἰδιῶται Ἱεροκλῆς, Χαρίξενος, Βάκχιος.

vs. 10sq. cf. ex eiusdem generis titt. DI 2324, 11sqq. *ἐξ[ουσίαν] | ἐχέτωσαν ἐπιτιμέουσαι Ὀνασιφόρωι τρόπωι ὧι κα θέ[λωντι] καὶ μαστιγοῦσ[α]ι καὶ δι-*

δέουσαι πλὰν μὴ πωλέουσα[ι. FdD III 2, 129, 10 ἐπιτ]ιμέοντες — καὶ φοβίζοντες καὶ διδέντες. 131, 5 sq. ἐπιτιμέουσα καὶ ψοφεύσασα(?) καὶ δ[ιδέ]|ουσ[α.

---

336 [²212] 183. — Haussoullier BH 5, 419 sq. DI 2133.

στραταγέοντος τῶν Αἰτωλῶν Προξένου Τριχονέος μηνὸς | Διονυσίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἀρισταινέτου μηνὸς Ἐνδυσ|ποιτροπίου, ἀπέδοτο Μεγακλῆς Θηβαγόρα Ἀμφισσεὺς τῶι Ἀπό[λ]|λωνι τῶι Πυθίωι σῶμα γυναικεῖον, ἇι ὄνομα Νίκαια, τὸ γένος Θε[σ σα]λὰν ἐξ Σκοτούσσας, τιμᾶς ἀργυρίου μνᾶν δέκα, ὥστε ἐλευθ[έραν] | εἶμεν Νίκαιαν, πολιτεύουσαν αὐτὰν εἶ κα θέληι, κυριεύου[σαν] | αὐτοσαυτᾶς, ἐλευθέραν οὖσαν καὶ ἀνέφαπτον ἀπὸ πάντω[ν] | πάντα τὸν χρόνον· παραλαβὼν Μεγακλῆς τὰν ὠνὰν παρὰ [τᾶν] | ἀδελφᾶν τᾶν Εὐμνάστου θυγατέρων, Κρινίου Ἀμφισσίδος, Δ . . . . . Καλλιπολίτιδος καὶ ὑπὲρ Κλευπάτραν Τριχονίδα Εὐμνάστου Τριχο|νέος, τὰν ἐπίστευσε Νίκαια αὐτοσαυτᾶς ὠνὰν ἐπὶ σωπονπίαι Εὐμνά|στωι τῶι πατέρι αὐτᾶν. βεβαιωτῆρες· Θεύτιμος Κλεάνδρου Ἀμφισσεύς, | Ἀρχέλαος Θηβαγόρα Δελφός. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ξένων, Ἄθαμ[βος] | καὶ οἱ βουλευταὶ Κλέων Καλλιγένεος, Εὐκράτης Καλλίκωνος, ἰδιῶται Πραξί[ας], Καλλίας, Ἐκέφυλος, Εὔαρχος, Σωτύλος, Ἀνδρόνικος, Μνάσων, Ταραντῖνος, Ἀρχ[έ]|λαος Δελφοί, Εὔνικος Φυσκεύς, Δαμαίνετος, Εὔτυχος, Φιλόμηλος, Δαμύλο[ς], | Γενναῖος Ἀμφισσεῖς. ἁ ὠνὰ παρὰ τὸν ἱερῆ⟨ι⟩ Ἄθαμβον.

---

337 [²213] 182. — W.-F. 396. DI 2061.

ἄρχοντος Δαμοσθένεος μηνὸς Βου[κ]ατίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Κλεοβούλα Δελφὶς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον, ἇι ὄνομα Ζωπύρα — τὸ δὲ | πρότερον ἦν Σῖμον — τιμᾶς ἀργυρίου μνᾶν δύο, καθὼς ἐπίστευσε Ζωπύρα τῶι θεῷ, ἐφ' ὧτε ἐλευθέρα εἶμεν καὶ | ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιοῦσα ὅ κα θέ|λη καὶ ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτῆρες κατὰ τὸν | νόμον· Δεξικράτης, Πεισίλαος Δελφοί. εἰ δέ τίς κα ἅπτηται | Ζωπύρας τᾶς πρότερον καλειμένας Σίμου, βέβαιον παρεχόντω τῷ θεῷ τὰν ὠνὰν ἅ τε ἀποδομένα Κλευβούλα καὶ οἱ | βεβαιωτῆρες Πεισίλαος, Δεξικράτης· εἰ δέ κα μὴ παρέχωντι, πρά|κτιμοι ἐ⟨ε⟩όντω κατὰ τὸν νόμον· ὁμοίως δὲ καὶ οἱ παρατυνχά|νοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλευθέραν οὖσαν | ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄθαμβος, οἱ ἄρχοντες | Πεισίλαος, Κλεόδημος· Διονύσιος Ἀρίστωνος Βοιώτι|ος, Καλλίκων, Ἀγασέας, Ἀριστίων Δελφοί.

vs. 16 Κλ.: de η cf. Rüsch 1, 57.

338 [²214] 178. — W.-F. 244. DI 1909.

ἄρχοντος Πραξία μηνὸς Ἀμαλίου, ἀπέ|δοτο Φιλοκράτης Θεοφράστου Δελφὸς | τοῖ Ἀπόλλωνι τοῖ Πυθίοι σῶμα ἀνδρεῖον, | οἷ ὄνομα Κῶμος, τιμᾶς ἀργυρίου μνᾶν δεκατριῶν, καθὼς ἐπίστευσε τοῖ θεοῖ τὰν ὠνὰν Κῶμος. βεβαι|ωτὴρ κατὰ τὸν νόμον Πραξίας Εὐδόκου. κατενενκάτω δὲ Κῶ|μος Φιλοκράτει ἀργυρίου μνᾶς δεκατρεῖς ἐν ἐτέοις δεκατρίοις | φέρων τοῦ ἐνιαυτοῦ μνᾶν ἐν τὸν ἔρανον τὸν Ἀρχελάου· εἰ δέ τι | πάθοι Φιλοκράτης, κατενενκάτω τὸ ἀργύριον τοῖς ἐπινόμοις Θεοφράστοι, Ξένωνι Κῶμος, ἑκατέροι τὸ μέρος· εἰ δὲ τοῦ ἐπιλοίπου | ἀργυρίου τις ἐνάπτοιτο Κώμου ἢ ἀντιποιέοιτο κατενένκαντος | τὸ ἀργύριον, κύριοι ἐόντω οἱ βουλευταὶ καὶ ὁ θέλων συλέων | ἐπ᾽ ἐλευθερίαι, ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι. μάρτυ|ρες· οἱ ἄρχοντες Καλλίας, Δαμένης, Βάκχιος, Ἧρυς Πλειστωνος, Κλεόδαμος Ἀτεισίδα, Πάτρων Ἰατάδα, Εὔαρχος Μενέστα. [Ν]ίκα|ιος Δεξίππου, Κλέων Ξενοφίλου.

vs. 15 [Ν]. Δ.: Rüsch 1, 133 (3).

339 [²215] 160. — W.-F. 54. DI 1719.

ἄρχοντος ἐν Ἐρινεῶι Ἀντιμάχου μηνὸς Λαφρίου, ἐν Δελφοῖς | δὲ ἄρχοντος Ἀνδρονίκου τοῦ Φρικίδα μηνὸς Θευξενίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Μνασίξενος Τηλεκλέα Ἐριναῖος τῶι | Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον, ἇι ὄνομα Νικώ, τὸ γένος Θρᾶ(σ)σαν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε | Νικὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφα|πτον ἀπὸ πάντων τὸν πάντα βίον. βεβαιωτῆρες κατὰ τὸν νόμον· | Νικέας Σωσιξένου Δελφός, Νικόμαχος Δεξίππου Δελφός. παραμεινάτω δὲ Νικὼ παρὰ Μνασίξενον, ἄχρι κα | ζώη Μνασίξενος, καὶ ἐκθρεψάτω παιδάρια δύο ἀδόλως, καὶ τὰ λοιπὰ ποιοῦσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δέ τί κα μὴ ποιήσῃ Νικὼ τῶν ποτιτασσομένων ὑπὸ Μνασιξένου, καθὼς | γέγραπται, δυνατὰ ἐοῦσα, ἐξέστω Μνασιξένῳ κολάζειν καθώς κα αὐτὸς θέλῃ, καὶ ἄ(λ)λῳ ὑπὲρ Μνασίξε|νον ὅν κα Μνασίξενος κελεύσῃ, ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα πά|θῃ Μνασίξενος, ἐλευθέρα ἔστω Νικὼ κυριεύουσα αὐτοσαυτᾶς καὶ ποιοῦσα ὅ κα θέληι καὶ ἀποτρέχουσα οἷς κα θέ|ληι, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται ἐπὶ καταδουλισμῶι Μνασιξένου τελευτάσαντος, βέβαιον παρεχόντων οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον· ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν, ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας

δίκας καὶ ζαμίας. | μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας Ταραντῖνος, καὶ τῶν ἀρχόντων Νικόμαχος, ἰδιῶται Ξεναγόρας, Εὐκλεί|δας, Μένης, Κάρπος Δελφοί, Ξενίας, Καλλίερος, Καλλίστρατος Ἀμφισσεῖς. ἁ συγγραφὰ παρ' Εὐκλείδαν.

vs. 3 *T.* (non *Π*): Rüsch 1, 199.

340 [^{2}216] 167. — W.-F. 189. DI 1854.

στραταγέοντος τῶν Αἰτωλῶν Παναιτώλου Φυταιέ|ος μηνὸς Ὁμολωΐου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ξενέα | μηνὸς Βυσίου, ἐπὶ τοῖςδε ἀπέδοτο Κριτόδαμος | Δαμοκλέος Φυσκεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Μαιφάτας, τὸ γένος Γαλά|ταν, καὶ γυναικεῖον, ἆι ὄνομα Ἀμμία, τὸ γένος | Ἰλλύραν, τιμᾶς ἀργυρίου μνᾶν ἑπτά. παραμεινάτω δὲ | Μαιφάτας καὶ Ἀμμία παρὰ Κριτόδαμον ἇς κα ζώη Κριτό|δαμος, ποιέοντες Κριτοδάμωι τὸ ποτιτασσόμενον· εἰ δέ κα μὴ παραμείνωντι ἢ μὴ ποιέωντι τὸ | ποτιτασσόμενον, ἁρμένα καὶ ἀτελὴς αὐτοῖς | ἁ ὠνὰ ἔστω. ἐπεὶ δέ κα τελευτάσηι Κριτό|δαμος, ἐλεύθεροι ἔ(σ)των Μαιφάτας καὶ Ἀμμία | καὶ ἁ ὠνὰ μενέτω τῶι θεῶι, καθὼς ἐπίστευσαν, ἐφ' ὧιτε ἐλευθέρους εἶμεν καὶ ἀνεφάπτους ἀπὸ | πάντων τὸμ πάντα βίον ποιέοντες ὅ κα θέλωντι | καὶ ἀποτρέχοντας οἷς κα θέλωντι. βεβαιωτῆρες | κατὰ τὸν νόμον καὶ τὰν συμβολάν· Φίλων Ἀρι|στέα, Ἀστόξενος Διον⟨υ⟩υσίου. μάρτυροι· οἱ ἱερεῖς Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Δεξικρά|της, Σώτιμος, Καλλί⟨μ⟩μαχος, Εὐάγγελος, - | . χαιος Δελφοί, Λυκίσκος, Μενέδαμος Φυσκεῖς.

vs. 5 de nomine (Persico) *Μαιφ.* cf. Stähelin, Geschichte der kleinasiat. Galater^2 47. 13 (*σ*): Rüsch 1, 207. 19. 21 ⟨*υ*⟩, ⟨*μ*⟩: Rüsch 1, 235. 21 sq. ‚In lapide *Αρι|μαιος*, quod cum nullum nomen Delphicum sit, ex ectypo *Γεν|ναιος* fuisse colligam; res tamen incerta' Pomtow apud Rüsch 1, 157.

341 a. 157. — Rüsch 1, 328 (nr. 27).

ἄρχοντος ἐν Δελφοῖς Πατρέα, μηνὸς Ποιτροπίου, ἀπέδοτο | Δώρημα τῶι θεῶι τῶι Ἀπόλλωνι, συνευδοκεούσας τᾶς θυ|γατέρος Ἡδύλας, κορίδιον ἐπ' ἐλευθερίᾳ, ἆι ὄνομα Μέλισσα, τιμᾶς | ἀργυρίου μνᾶς. βεβαιωτὴρ κατὰ τὸν νόμον Τεισέας. παραμενέ|τω δὲ Μέλισσα παρὰ Δώρημα μέχρι κα ζῆ Δώρημα, ποιήου|σα ὅ κα δῆ· εἰ δέ κα μὴ παραμείνη ἢ μὴ ποιῆ ὅ κα δῆ, ἄκυρος ἁ ὠνὰ | ἔστω. μάρτυροι· ὁ ἱερεὺς Ἀνδρόνικος, Νικόμαχος, Ἀρίστων, | Ἄστυλος, Τιμόκριτος, Ἀστύοχος.

vs. 5 *ποιήουσα*: cf. ad nr. 347, 10.

342 [²217] ca. 149. — W.-F. 31. DI 1696.

ἄρχοντος Εὐχαρίδα μηνὸς Δαι[δαφορί]ου, ἐπὶ τοῖςδε ἀπέδοτο Λίριον συνευδοκέ|οντος καὶ τοῦ ἀνδρὸς αὐτᾶς Θευγένεος [τῶι] Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον, ὧι ὄ|νομα Μάνης, τὸ γένος Παφλαγόνα τιμ[ᾶς ἀ]ργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Μάνης τὰν ὠνὰν τ[ῶι θε]ῶι, ἐφ' ὅτωι ἐλεύθερος ἦται τὸν πάντα χρόνον ποιῶν ὅ κα θέλη. εἰ δέ τις ἐφάπτοιτο Μάνε[ος ἐ]π[ὶ κ]αταδουλισμῶι, κύριος ἔστω Μάνης αὐ|σωτὸν συλέων ὡς ἐλεύθερος ὤν· ὁμοίως δὲ κα[ὶ] εἴ τις ἄλλος συλέοι Μάνην ὡς ἐλεύθερον | ὄντα, ἀζάμιος ἔστω ὁ συλέων καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. βεβαιωτὴρ κατὰ | τὸν νόμον τᾶς πόλιος Θρασυκλῆς Πραξία. παραμεινάτω δὲ Μάνης παρὰ Λίριον ἔτη τρία ἀ|νέγκλητος ποιῶν τὸ ποτιτασσόμενον [τ]ὸ δυνατό[ν]· εἰ δέ κα μὴ παραμένη ἀνένκλητος Μάνης παρὰ Λίριον, καθὼς γέ[γ]ραπται, περὶ οὗ κα ἐπι[κ]αλῆ αὐτῶι, κριθέντων συνελό|μενοι ἐν ἄνδροις [τ]ρίοις· ὅ τι δέ κ[α κρίνων]τι, κύριον ἔστω. ἄρχει τῶν τριῶν ἐτέων ὁ ἐνιαυτὸς ὁ μετὰ τὰν Εὐχαρίδα ἀρχά[ν]. εἰ [δ]έ τι ἀνθρώπινον γένοιτο περὶ Μάνη, εἴ τί κα κατ[αλείπη ὑπά]ρ|χον Μάνης, Λιρίου ἔστω, καὶ μὴ ἔστω ἐξουσία Μάνει διδόντι μηθενὶ τά κα [ἔχη. μάρτυ]|ροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀν[δ]ρόνικος καὶ οἱ ἄρχοντες Πασίω[ν, Βαβύλος,] Τιμοκλῆς, ἰδιῶται Μένης, Δάμων Δαμοκράτεος, Ἀντιφάνης, Νικέας, Τιμ[ό]κ[ριτ]ος.

vs. 3 De nomine *Μάν.* ad nr. 732. 15 *Ν. Τ.* W.-F.; *Νικεα* - - DI.

343 a. 148. — Rüsch 1, 320 (nr. 10).

ἄρχοντος ἐν Ἀμφίσσαι Θεοτίμου τοῦ Θεοτίμου, μηνὸς | Παναγυρίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Θρασυκλέος τοῦ | Πραξία, μηνὸς Ποιτροπίου ἐπὶ τοῖςδε ἀπέδοντο Ἀρχέλα|ος καὶ Λύσιον, συνευδοκεούσας καὶ τᾶς θυγατέρος αὐτοῦ Ἀθανοῦς, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖ|ον, ὧι ὄνομα Σωσίνικος, τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ τὰν τιμὰν ἔ|χοντι πᾶσαν, καθὼς ἐπίστευσε Σωσίνικος τῶι θεῶι τὰν ὠνάν, ἐ|φ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν | πάντα χρόνον· παραμεινάτω δὲ Σωσίνικος παρὰ Ἀρχέλαον καὶ Λύσιον ἄχρι οὗ κα ζώωντι, ποιέων τὸ ποτιτασσόμε|νον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως· εἰ δέ κά τι πάθη Ἀρχέλαο[ς] | καὶ Λύσιον, ποιησάτω τὰ ποτὶ γᾶν, τὰς ἀλλαθεάδας Σωσίνικος· εἰ δέ τις ἅπτοιτο μετὰ τὸ μεταλλάξαι Ἀρχέλαον καὶ Λύσιον ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνάν. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Σω-

σί|νικον ὡς ἐλεύθερον ὄντα, ἀζάμιοι ἐόντες καὶ ἀνυπόδι|κοι πάσας δίκας καὶ ζαμίας. βεβαιωτῆρες κατὰ τοὺς νό|μους τᾶς πόλιος καὶ κατὰ τὸ σύμβολον· Λύκωπος, Αἰνίας Ἀμ|φισσεῖς, Νικόμαχος Δελφός. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες | Τίμων, Ἀριστόβουλος, Δαμόστρατος καὶ ἰδιῶ|ται Νικόμαχος, Τιμόκριτος, Ξεναγό|ρας Εὐκλείδα, Ἀστόξενος, Νικάσιππος, Θεύ|φιλος, Τυρβαῖος, Λυσίας, Βαβύλος (Δελφοί), Νικόμαχος, Εὐκράτης, Δαμόφιλος, Μελίτων, Δαμόφαντος | Ἀμφισσεῖς.

344 a. 146. — Rüsch 1, 319 sq. (nr. 9).

ἄ[ρχ]οντος Βαβύλου τοῦ Αἰακί[δ]α, μηνὸς Ἰλαίου, βουλευόντων τὰν | [δευτέρ]αν ἑξάμηνον Ἰατάδα τοῦ Πάτρωνος, Ἀρχελάου τοῦ Δαμο|σθένεος, γραμματεύοντος δὲ Ἁγίωνος τοῦ Κλευδάμου, ἐπὶ τοῖς|[δε] ἀπέδοτο Πολυξένα Πολύωνος, συνευδοκέοντος καὶ τοῦ ἀνδρὸς αὐτᾶς Φιλοκράτεος καὶ τοῦ υἱοῦ Ξένωνος καὶ τᾶς θυγα|τέρος Δαντοῦς, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον, ἇι | ὄνομα Εὐφροσύνα, τὸ γένος Καππαδόκισσαν, τιμᾶς ἀργυρίου | μνᾶν τριῶν καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, καθὼς ἐπίστευσε Εὐφρο|σύνα τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέουσα ὅ κα θέλη. βεβαιωτὴρ κα|τὰ τὸν νόμον τᾶς πόλιος Διόδωρος Ἡράκωνος· εἰ δέ τις ἅπτοιτο | ἐπὶ καταδουλισσμῶι Εὐφροσύνας, βέ⟨βε⟩βαιον παρεχόντων τῶι θε|ῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Πολυξένα καὶ ὁ βεβαιωτὴρ Διόδωρος· | εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι | ἐόντων συλέοντες Εὐφροσύναν ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι | ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μὴ οἰκησάτω δὲ Εὐ|φροσύνα ἐν ἐγδαμίᾳ πανοικίᾳ, ἄχρι οὗ κα Δαντὼ ἐν ἁλικίαν ἵκη|ται καὶ ἀνδρὶ ἐκγδοθῆ· εἰ δὲ ἀπέλθοι καὶ οἰκήσαι ἄνευ τᾶς Πολυξένας γνώμας, ἄκυρος καὶ ἀτελὴς ἁ ὠνὰ ἔστω. μάρτυ|ροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἀνδρόνικος, καὶ οἱ ἄρχον|τες Ἰατάδας, Ἀρχέλαος, Ἁγίων καὶ ἰδῶται Τιμόκριτος, | Ἀριστόξενος, Ἁγίων [Ἐ]χεφύλου, Γλαῦκος Ξένωνος.

345 [²219] 144. — Haussoullier BH 5, 428 sq. DI 2143. Cf. Rüsch 1, 58.

ἄρχοντος Θαρρέος μηνὸς Παναγυρίου ὡς Ἀμφισσεῖς | ἄγοντι, ἐν Δελφοῖς δὲ ἄρχοντος Δαμοστράτου μηνὸς | Ποιτροπίου, ἀπέδοτο Τέλων καὶ Κλητώ, συνευδοκέον|τος καὶ τοῦ υἱοῦ Στράτωνος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σῶσος, τὸ γένος Καππάδοκα, τιμᾶς ἀρ|γυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Σῶσος

τῶι θεῶι τὰν | ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ | πάντων τὸν πάντα χρόνον. βεβαιωτὴρ κατὰ τὸν νόμον καὶ κα|τὰ τὸ σύμβολον Φιλόξενος Δωροθέου Ἀμφισσεύς. ἁ δὲ προτερασία ὠνὰ ἁ γενομένα Σώσου τῶι Ἀπόλλωνι ἐπὶ ἄρχον|τος ἐν Δελφοῖς Θρ[α]συκλέος καὶ τὰ ἐν τᾶι ὠνᾶι ποτιγεγραμμέ|να, ὥστε παραμεῖναι Σῶσον παρὰ Τέλωνα καὶ Κλητὼ ἇς | κα ζώωντι, ἀτελὴς καὶ ἀρμένα ἔστω. μάρτυροι· οἱ ἱερεῖς | τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ ὁ ἄρχων Πυρρίας Ἀρχελάου καὶ Ἀμφισσεῖς Χαρίξενος Ἐχεφύλου, | Πολύκριτος, Ἀριστόδαμος Καλλικλέος, Εὐθύδαμος Πο-|λυκρίτου, Δωρόθεος Τιμασίου, Δημήτριος Μονίμου. τὰν | ὠνὰν φυλάσσοντι οἵ τε ἱερεῖς Πραξίας καὶ Ἀνδρό|νικος καὶ Ἀμφισσεῖς Πολύκριτος, [Χαρί]ξεν[ος] Ἐχεφύλου.

346 a. 144. — Rüsch 1, 317 (nr. 4).

ἄρχοντος Δ[α]μοστράτου, μηνὸς Ἀπελλαίου, βουλευόν|[τ]ων τὰν πρώταν ἑξάμηνον Σωστράτου τοῦ Σωτύλου, | [Ἡ]ρακλείδα τοῦ Καλλία, γραμματεύοντος Πυῤῥία τοῦ Ἀρχε|λάου, ἐπὶ τοῖςδε ἀπέδοτο Μενὼ καὶ Καλλίας οἱ Δίωνος, συνευδοκέοντος καὶ τοῦ ἀνδρὸς Μενοῦς Πολίτα, τῶι Ἀπόλλωνι τῶι | [Π]υθίωι σῶμα γυναικεῖον, τεχνῖτιν ῥαφίδηαν, ἇι ὄνομα Λαΐς, | [τὸ γ]ένος Θρονιάδα, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων καὶ στατήρων | [τριά]κοντα, καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, καθὼς ἐπίστευσε Λαΐς | [τῶι] θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος. μὴ εἰπάτω δὲ Λαΐς κακῶς μήτε Μενὼ μήτε Καλλίαν· εἰ δὲ λέγοι, ἐξουσίαν ἐ|χόντων ἐπιτιμέοντες αὐτᾶι, καθώς κα θέλωντι. ὁμοίως δὲ καὶ εἴ | τι πάθοι ἀνθρώπινον Λαΐς, εἰ μὲν γενεὰν ἔχουσα ἐξ αὐτοσαυ|τᾶς, ἔστω τὰ ὑπάρχοντα τᾶς γενεᾶς τᾶς Λαΐδος, εἰ δὲ ἀγενὴς ἐοῦσα, | ἔστω τὰ καταλειφθέντα τὰ Λαΐδος Καλλία καὶ Μενοῦς τῶν Δίωνος. μὴ ἐχέτω δὲ ἐξουσίαν Λαΐς, μηδὲ ἐν ἄλλαν πόλιν ἀπελθοῦσα καὶ | οἰκέουσα ἄνευ τᾶς Καλλία καὶ Μενοῦς γνώμας. βεβαιωτῆρες κα|τὰ τὸν νόμον τᾶς πόλιος· Διονύσιος Ἀσάνδρου, Δάμων Ξενοστράτου. | εἰ δέ τις ἐφάπτοι(το) ἐπὶ καταδουλισμῶι Λαΐδος, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν | οἵ τε ἀποδόμενοι Μενὼ καὶ Καλλίας καὶ οἱ βεβαιωτῆρες Διονύσιος, Δάμων· ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Λαΐδα ὡς ἐλευθέραν ἐοῦσαν, ἀζάμι|οι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρ[τυρ]οι· τοὶ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Ἀνδρόνικος, Πραξίας, Μένης καὶ τῶν ἀρχόντ[ων] Σώστρατος, Πυῤῥίας καὶ | ἰδιῶται Δαμόφιλος, Τιμόκριτος, Πράοχος, Δάμων.

vs. 6 τ. ῥ.: cf. Rüsch 1, 88sq. et τεχνεῖταν χαλκῇ ib. 32 (150ᵃ).

347 [[2]218] ca. 52. — W.-F. 435. DI 2100 (cf. ad 2150). Cf. Rüsch 1, 94 sq.

ἄρχοντος Στράτωνος τοῦ Ἰατάδα μηνὸς Ἀμαλίου, βουλευόντων Ἐράτωνος, | Νικία, Κλεομάντιος, ἀπέδοντο Γρῖπος καὶ Φιλὼι τῶι Ἀπόλλωνι τῶι Πυθίωι παιδάρια | δύο οἰκογενῆ, οἷς ὀνόματα Φίλιππος καὶ Θεοκλῆς, τειμᾶς ἀργυρίου μνᾶν | ἓξ καὶ τὰν τιμὰν ἀπέχοντι πᾶσαν, καθὼς ἐπίστευσαν τῶι Ἀπόλλωνι Φίλιππος καὶ Θεοκλῆς τὰν ὠνάν. βεβαιωτῆρες κατὰ τοὺς νόμους τᾶς | πόλιος· Πύρρος Δρομοκλείδα, Νικίας Κλέωνος. εἰ δέ τις ἐ[φ]άπτοιτο Φιλίπ|που ἢ Θεοκλέος, βεβαίου⟨ου⟩ς παρεχόντων τῷ θεῷ τὰς ὠνὰς οἵ τε ἀποδόμενοι | καὶ οἱ βεβαιωτῆρες· εἰ δὲ μὴ παρέχοισαν τὰς ὠνάς, πράκτιμοι ἔστω|σαν κατὰ τοὺς νόμους τᾶς πόλιος· κύριοι δὲ ἔστωσαν καὶ οἱ παρατυγχάνοντες συλήοντες Φίλιππον καὶ Θεοκλῆν ὡς ἐλευθέρους ὄντας ἀζάμιοι ὄντες | καὶ ἀν⟨α⟩υπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· ἱερεῖς τοῦ Ἀπόλλωνος | Λαιάδας Βαβύλου, Νικόσστρατος Ἄρχωνος καὶ ἰδιῶται Φιλόνικος Διοδώ|ρου, Καλλίστρατος Αἰακίδα, Πάσων Ὀρέστα, Βαβύλος Αἰακίδα, Κλέων Κλεοδά|μου, Δάμων Μένητος, καὶ ὁ νεοκόρος τοῦ Ἀπόλλωνος Δάμων Ὀρθαίου. εἰ δέ τι γένοιτο περὶ Γρῖπον ἢ Φιλὼ ἀνθρώπινον. ποησάτω τὰ ποτὶ γᾶν πάντα | Φίλων, καὶ ὅσα κα ἀπολίπω(ντι) πάντα λαβέτωσαν κοινῶς Φίλων καὶ Φίλιππος. | παραμεινάτω δὲ Φίλιππος Γρείπωι καὶ Φιλοῖ.

vs. 2 *Φιλώι*: cf. Rüsch 1, 135. 10 *συλήοντες*: cf. Rüsch, 1, 61 et ad nr. 362, 14.

2. Tituli Phocii praeter Delphicos (nr. 348—358).

348 Abis. Saxa rudia (1. 3); stela (2). — Titt. sepulcrales. — IG IX 1, 81/3. Im 89. 91.

1) *μνᾶμα Χίōνος.* — 2) *ἐπὶ Διοφείδει.* — 3) *ἐπὶ Παμπείρα.*

ἐπί c. dat. in titt. sepulcr. apud Phocenses Locros Boeotos Aeolios (IG VII 589; Günther IF 20, 113 sq.).

349 [[2]226, 4] Abis. Tit. incisus in ventre scyphi nigri. — Girard BH 2, 588. DI 1512. Rob 230 a. IG IX 1, 80. Im 89.

Διογείτōν.

350 Prope Elateam. Lapis. V ex. — Lex sacra. — Foucart BH 8, 216/8. DI 1531. Rob 229 bis. IG IX 1, 129. Im 91. DS 562 [3]979. Mi 703. LS 2, 79.

ἐν τοῖ ϝα|νακείοι | θύοντα | σκανε̄ν· | γυναῖκα | με̄ παρίμε[ν].

ϝαν.: sacellum Cabiri (*ϝάνακος*) aut Castorum (*ϝανάκοιν*). LS. *θ. σκ.*: ‚Si quis sacrificaverit, carnes ne domum asportato, sed tentorium facito, sc. ubi epulans illas comedat'; cf. *σκανοπαγείσθω* legis Coae DI 3632 (LS).

351 [²α 221] Nummus ducis belli sacri 354/2. Head 339.
Ὀνυμάρχου.

---

352 Elateae. Pars inferior tabulae marmoris leucophaei in muro quodam templi Minervae Cranaeae. III p. pr. — Commune Phocensium decretum de asylia Teniis danda; cf. nr. 188. — Paris BH 11, 332/7. Mi 278. IG IX 1, 97.

[. . . . . . . *τὰν ὑ]πάρχουσαν Τηνίοι[ς* . . . . . . | . . . . . . *δ]εδόχθαι τῶι κοινῶι Φωκέων τ[ὸ] ἱε|ρὸν τοῦ [Πο]τειδᾶνος καὶ τᾶς Ἀμφιτρίτας ἐν Τήνωι καὶ τὰν νᾶσον ἄσυλα εἶμεν, κα[ὶ] | ἐν τὰν κατασκευὰν τοῦ ναοῦ τοῦ θεοῦ ἐπὶ μὲν τ[οῦ] παρόντος [δ]όμεν πέντε μ[ν]ᾶς, ὕσ|τερον δέ, γενομένων Φωκεῦσι τῶν πραγμάτω[ν] | καὶ τοῦ πολέμου κατὰ λόγον, ἀποστεῖλαι καταξίως τῶν θεῶν καὶ τᾶς ὑπαρχούσας | οἰκειότατος ποτὶ Τηνίους. ἐπαινέσαι δὲ καὶ | τὰν πόλιν Τηνίων, ὅτι τοῦ τε ἱεροῦ τὰν ἐπιμέ|λειαν ποιεῖνται καὶ τὰν ποτὶ Φωκεῖς οἰκειότα|τα ἀνανεοῦνται, καὶ εἶμεν Τη[ν]ίοις ἰσοπολιτείαν πᾶσι δεδομέναν ἐμ Φωκεῦσι. δόμεν | δὲ καὶ Θεστίαι Διαίτου τῶι θεαρῶι μ[ν]ᾶν, καὶ ἐ[πὶ] | ξένια καλεσάντων αὐτὸν τοὶ Φ[ω]κάρχαι. ἀν[α]|γράψαι δὲ καὶ ἐν στάλας τρεῖς τὸ ψάφισμα, κ[αὶ] | ἀναθέμεν τὰν μὲν ἐν τῶι ἱερῶι τᾶς [Ἀ]θάνας ἐν Κράναις, τὰν δὲ ἐν τᾶι ἀγορᾶι ἐν Ἐλατεί[αι], | τὰν δὲ ἐν Δελφ[ο]ῖς· τὸ δὲ ἀνά[λ]ωμα δόμεν τ[οὺς] | Φωκάρχας, καὶ τοὺς ἀρ[τ]ιστῆρας θέσθα[ι].*

Nomen Elateae est ϝελ. in tit. Boeot. nr. 526, 26. 28. vs. 13 ποιεῖνται: cf. Thumb D 192.

---

353 [²223] Stiride. Tabula marmoris subcaerulei. Paullo post 181 (ca. 175 aut 135. DS³). — Pactum quo Stiriorum et Medeoniorum civitates in unam confunduntur. — Beaudouin BH 5, 42/54. DS 426 ³647. DI 1539. IG IX 1, 32. Mi 24. So 40. Bu 54. Bleckm. 3.

A *[θ]εὸς τύχαν ἀγα|[θ]άν. στραταγέοντος | [τ]ῶν Φωκέων Ζευξίο(ς), | [μ]ηνὸς ἑβδόμου, ὁμολο[γί]α τᾷ πόλει Στειρίων καὶ | [τᾷ] πόλει Μεδεωνίων. συ[ν|ε]πολίτευσαν Στείριοι κα[ὶ | Μ]εδεώνιοι ἔχοντες ἱερά, πό|[λι]ν, χώραν, λιμένας, πάντα [ἐ]λεύθερα ἐπὶ τοῖσδε· εἶμεν | [τ]οὺς Μεδεωνίους πάντας | [Σ]τιρίους ἴσους καὶ ὁμοίους, | καὶ συνεκλησιάζειν καὶ συ|ναρχοστατεῖσθαι μετὰ τᾶς [πό]λιος τᾶς Στιρίων καὶ δικά|[ζ]ειν τὰς δίκας τὰς ἐπὶ πόλι|[ο]ς πάσας τοὺς ἐνικομένους | [τ]αῖς ἁλικίαις. ἱστάνθω δὲ κα[ὶ | ἱ]εροταμίαν ἐκ τῶν Μεδεω[ν]ίων ἕνα τὸν θυσέοντα τὰς | θυσίας τὰς πατρίους Μεδεων|[ί]οις, ὅσαι ἐντὶ ἐν τῷ πολιτικῷ νόμ[ῳ], | μ]ετὰ τῶν ἀρχόντων τῶν στα|[θ]έντων ἐν Στίρι· λανβανέτω [δ]ὲ ὁ ἱεροταμίας ἀρέσμιον ὃ τ[οὶ | ἄ]ρχοντες ἐλάμβανον, ἡμι|[μ]ναῖον καὶ τῶν χοῶν τὸ ἐπ[ι-|*

β]αλὸν τῷ ἱεροταμίαι· συνδι|[κ]αξεῖ δὲ ὁ ἱεροταμίας μετὰ [τ]ῶν ἀρχόντων τὰς δίκας ἃς | [τ]οὶ ἄρχοντες δικάζοντι, καὶ | [κ]λαρωσῖ τὰ δικαστήρια, ἅ κα | δέη κλαρώειν μετὰ τῶν ἀ[ρ]|χόντων. μὴ ἔστω δὲ ἐπάναγ[κ]ες λειτουργεῖν τοὺς Μεδε|ωνίους ἐν Στίρι τὰς ἀρχάς, ὅσοι | γεγένηνται ἐν Μεδεῶνι ἄρ|χοντες, ξενοδίκαι, πρακτῆρες, | δαμιουργοί, ἱερεῖς, ἱεράρχαι, καὶ τᾶν γυναικῶν ὅσαι ἱερητεύ|κατι, εἰ μή τις ἑκὼν ὑπομένοι· | ἱστάνθων δὲ ἐκ τῶν ἀλειτου|ργήτων τῶν Μεδεωνίων κ|αὶ ἐκ τῶν Στιρίων. δαμιουρ[γ]εόντων δὲ καὶ τὰ ἐν Μεδε|[ῶνι ἱ]ερὰ καθὼς ὁ πολιτικὸς νό|μος κελεύει. καὶ τὰν χ[ώ]|ραν τὰν Μεδεωνίαν εἶμεν | [π]ᾶσαν Στιρίαν καὶ τὰν Στιρίαν Μεδεωνίαν κοινὰν π[ᾶ|σα]ν. κοινωνεόντω δὲ οἱ Μεδε|[ώ]νιοι τᾶν θυσιᾶν τᾶν ἐν Στί|[ρι] πασᾶν καὶ τοὶ ⟨τοὶ⟩ Στίριοι τᾶν ἐν Με|δεῶνι πασᾶν. μὴ ἐξέστω δὲ ἀποπολιτεύσασται τού[ς] | Μεδεωνίους ἀπὸ τῶν Στιρί|[ω](ν) μηδὲ τοὺς Στιρίους ἀπὸ | [τ]ῶν Μεδε[ωνί]ων· ὁπότεροι | [δ]έ κα μὴ ἐμμείνωντι ἐν τοῖ[ς] γεγραμμένοις, ἀποτει|σάντων τοῖς ἐμμεινά[ν]|τοις ἀργυρίου τάλαν|τα δέκα.

B . . . . [π]οιεόντων, | [γ]ραψάντων δὲ τὰν ὁμ[ο]|λογίαν ἐν στάλαν καὶ ἀν[αθέ]|ντων ἐν τὸ ἱερὸν τᾶς Ἀ[θάν]ας, θέστων δὲ τὰν ὁμο[λογί]|αν καὶ παρὰ ἰδιώταν ἐσ[φρα]|γισμέναν. ἁ ὁμολογία π[αρὰ] | Θράσωνα Λιλαιέα. μάρ[τυ]|ρες· Θράσων Δαματρίου Ἐλατεύς, Εὐπαλίδας Θρά|σωνος Λιλαιεύς, Τιμο|κράτης Ἐπινίκου Τιθορρε|ύς· δόντων δὲ τοὶ Στίριοι | τᾷ φατρίᾳ τῶν Μεδεωνίων ἐν ἐτέοις τεττάροις | ἀργυρίου μνᾶς πέντε κα[ὶ | τ]όπον τὰν καλειμέναν | [Δ]α[μα]τρείαν.

A 3 (ς): υ l.; corr. Pw (DS^3). 27sq. ἑ.: cf. ad nr. 811, 13. 40sq. ἱερητεύκατι; cf. ἀνατε]θήκατι IG XII 1, 924, 1sq. (III, Rhodi) et GMeyer gr. Gr.^{3} 56sq.; καθεστάκατι BH 22, 111 (So.). B 17 suppl. Pw (DS^3); Δαματρείαν est -ριείαν (Schwyzer Gl 11, 77).

354 [^{2}224] Stiride. Tabula marmoris leucophaei. II p. pr. — Manumissio. — Ross IG in 73. Le Bas II 993. DS 841. DI 1545. IG IX 1, 42. Mi 1418.

θεὸς τύχαν ἀγαθάν. ἄρχοντος ἐν Στείρι | Κάλλωνος τοῦ Ἁγήσωνος μηνὸς τετάρ|του, Πραξίας Θέωνος ἀφίητι ἐλευθέρους Εὔπραξιν | καὶ τὸ ἐξ αὐτᾶς παιδάριον ᾧ ὄνομα Δωρίων. μὴ καταδουλιξάσθω δὲ αὐτοὺς μηθεὶς μηδὲ καθ᾽ ὁποῖ|ον τρόπον, οἳ καὶ παραμεινάτωσαν Πραξίᾳ καὶ τᾷ γυ|ναικὶ αὐτοῦ Ἀφροδισίᾳ ἕως ἂν ζῶντι, καὶ θαψάντω καὶ τ[ὰ] | ὥ(ρ)ια αὐτῶν ποιησάτωσαν· εἰ δὲ μὴ θάψωντι καὶ ποιήσω[ν]|τι τὰ ὥρια αὐτῶν, καθὼς προγέγραπται, ἀτελὴς ἔστω ἁ ἀνάθεσις καὶ ποταποτισάτωσαν ἀργυρίου μν|ᾶς τριάκοντα. εἰ δέ τις ἐπιλανβάνοιτο αὐτῶ|ν ἢ καταδουλίζοιτο, ἁ

τε γενηθεῖσα δουλαγω|γία αὐτῶν ἄκυρος καὶ ἀρ⟨ε⟩μένα ἔστω καὶ ποτα|ποτισάτω ὁ καταδουλιζόμενος μνᾶς τριάκοντα, [κα]ὶ τὸ μὲν ἥμισον ἔστω τοῦ προστάντος, τὸ | [δὲ] ἥμισον τοῦ Ἀσσ(κ)λαπιοῦ· ἐξέ(σ)τω δὲ προστ|[ᾶ]μεν ὑπὲρ εὐτοὺς τὸν θέλοντα Φωκέων.

vs. 3 post *ἐλ.* litterae *ιδιαπ* supra versum additae; voluisse videtur lapicida *τὰν ἰδίαν δούλαν* sim. 8 (*ρ*): *ε* l. 13 *ἀρ⟨ε⟩μένα*: cf. nr. 345, 13. 355 A 11. 16 (*κ*) (*σ*) desunt. 17 *εὐτούς*: cf. Rüsch 1, 160. — Tit. incisus est basi, in qua dedicatio *Φίλων λιθουργὸς* | *Ἀσκλαπιῶι.*

---

355 [^{2}385] Drymaeae. Marmor subcaeruleum. 161 (ad DS ^{3}647). — Drymii solvunt Oetaeorum concilii debitas pecunias. Cf. nr. 523. — Beaudouin BH 5, 137/45. DI 1529. IG IX 1, 226/30. Mi 1363. Rij 37. Cf. Vollgraff et Homolle BH 25, 225 sq.

(col. I) A [- - - *εἰ δέ κα* | *μὴ*] *διοικῇ ἁ πόλις τῶν Δρυμίων τὰς [καταβολ]ὰς πάσας, καθὼς ἐπρέσβευσαν* | [*καὶ*] *συ[ν]εχωρήθη αὐτοῖς, κατάμονον ἔστω* | [*τὸ*] *δάνειο⟨ι⟩ν τὸ ἐξ ἀρχᾶς πᾶν τῶι θεῶι καὶ [τοῖς] Οἰταίοις καὶ αἱ (λ)οιπαὶ οἰκονομίαι αἱ κατὰ* | [*τᾶ*]*ς πόλιος τῶν Δρυμίων· εἰ δέ κα διοικήσῃ ἁ πό|[λι]ς τῶν Δρυμίων τὰς ἐνήκοντα μνᾶς, κα|[θ]ὼς ἐν τᾶι ὁμολογίαι γέγραπται, τῶι θεῶι καὶ* | [*τ*]*οῖς Οἰταίοις, ἀπολελυμένα ἔστω [το]ῦ δανείου παντὸς καὶ ἁ συνγραφὰ ἀτε|[λ]ὴς καὶ ἀρμένα ἔστω. τὰν ὁμολογίαν* | [*φ*]*υλάσσοντι Κλεότιμος, Λόχαγος Καλλιπο|[λῖται], Λαιάδας Ἀμφισσεύς. ἐξετείσαντο.* | [*μά*]*ρτ[υ]ροι· [Ε]ὐρύδαμος, (Π)έταλος, Λεοντο[μ]ένης Καλλιπολῖται, Καλλίστρατος Φυ[σ]κεύς, Ἀν|δρόβολος Κυτενιεύς, Ὀξύμαχος,* | [*Σ*]*ώπατρος Ἐρυθραῖοι, Θράσων, Καλλείδας,* | [*Φ*]*ιλόνικος Ὑαμπόλιοι, Ζεῦξις, Τείσιππος Ἐ|[λ]ατεῖς, Πολύξενος, Ἀριστοτέλης Τειθρῶ[ν]ιοι, Πατροκλέας, Τιμοκράτης, Ξενοκρά|[τ]ης, Ἀριστίων Λιλαιεῖς.* |

B [*β*]*ουλαρχεόντων ἐν Οἴται Ἀντάνορος Ἡρα|[κ]λειώτα, Φαικία Ἀντικυρίτα, Ἀριστίωνος* | [*Ὁ*]*μιλιάδα, ἱεροθυτᾶν δὲ Εὐθύφρονος Ἡρα|[κ]λειώτα, Ἀλέξιος Ἀντικυρίτα, Βομβύλου [Ἀμ]φανίου, Μενεκράτεος Ὀλεαίου, μηνὸς* | [*Ἀ*]*πελλαίου, τῶν δὲ Φωκέων στραταγέον|[τ]ος Κάφιος Φανοτέος, μηνὸς πρώτου, διοίκη|[σαν τ]ὰν δευτέραν κα[ταβολὰν* . . . . . .].

(col. II) C . . . . . *ου τὰμ μὲν τρίταν πυλαίας* | [*θερι*]*νᾶς τᾶς μετὰ τὰν βουλαρχίαν τ[ὰ|ν] τοῦ Ἀνταγόρα, τὰν δὲ ἐσχάταν ἐν τῶι [ἐ]|πε[χ]εῖ ἐνιαυτῶι μετὰ τὸ τὰν τρίταν καταβολὰν διοικ[η]θῆμεν, πυλαίας [θ]ε[ρι]|νᾶς. μ[άρτ]υροι· Ἀριστόδαμος, Θω* . . . . | *εῖοι, Ἄλκιμος, Ἀρισταγόρας, Αἰν* . . . . | *Ναυπάκτιοι, Μένιππος Ἀκραῖο[ς].*

D *βουλαρ[χεό]ντων ἐν Οἴται Εὐθύ[φρονος] Ἡρακλειώτα, [Κ]λεοφάνεος Δρυοπαίο[υ],* | *Κρινο[λά]ου [Ὁμ]ιλιά[δα], ἱεροθ[υ]τᾶν*

δὲ Λα . . . | Ἡρακλειώτα, [Ἀ]ριστίωνος Χαρα[δραί]ου, | Λυσάν[δ]ρου . . . . τιδα, μηνὸς Ἀπ[ε]λλαίο[υ], | τῶν [δὲ Φ]ωκέων στραταγέοντος Τεισά[νδ]ρου Ἐλ[ατέ]ος, [μ]ην[ὸς] πρώτου κατέβαλον | οἱ Δρύμι[οι τ]ὰν τρίταν καταβολὰν τῶι θε[ῶι] | καὶ το[ῖς Οἰτ]αίοις ἐν Ἡρακλείαι Ἡρακλείο[ις]. | μ[ά]ρτυρο[ι· . . .]δαμος, Α . ν . ος Καλυδώνι[οι], | . . . . . τας, Εὐπόλεμος Ἀλ[α]ῖοι, Μίκκος Ἀμφισσεύς.

E *βουλαρχεόντων ἐν Οἴται Σωτήρου Ἡρακλ[ει]ώτα, Εὐαγόρου Δρυοπαίου, Θεοδώρου Κο[λακ?]έος, ἱεροθυτᾶν δὲ Ἀρχίνου Ἡρακλει-|ώτα, . . τέλεος Δρυοπαίου, Τιμοκρίτου . . . . . α, μηνὸς Ἀπελλαίου, τῶν δὲ Φωκέων στραταγέοντος Καλλικράτεος Ἐλ[α]τ[έ]ος, μηνὸς πρώτου, ἐν πυλαίαι, ἐν τῶ[ι | συνεδ]ρίωι, ὡμολόγεον ἀπέχειν οἱ Οἰταῖ[οι Δρυμ]ίοις ἐ[γλαβόν?]τες τὰ [κο]ινὰ τοῦ θεο[ῦ | καὶ τῶν Οἰταίων χρήματα . . . . .]*

Secutus sum Rij. A 3 *ἐπρ.* scil. Drymiorum legati (Rij). 4 *τ. θεῶι* i. e. *Ἡρακλεῖ*, cuius ex aerario mutuati erant pecuniam Drymii (IG). 5 (*λ*): *α* l. 14 (*Π*): *Ν* l. D 17 *Ἡρακλείοις*: Herculis feriis.

---

356 [²222] Ambryssi. Tabula lapidis calcarii leucophaei. II/I. — Dedicatio. — CIG 1727. DI 1518. IG IX 1, 14.

Πανταινέτα | Ξενοκρατεία | Δάματρι | καὶ Κόραι.

Ξενοκρατεία: adiectivum patronymicum; cf. ad nr. 440 et *ἐπὶ Πατροῖ.* | [*Λ*]*ακράτεια* | *Λακρατεία* IG IX 1, 73 (Daulide); *Χαρμα[δαία] ἁ γᾶ. Χαρμαδαία ⁝ ἁ [γᾶ τῶ . . .]δαο* 186 (Ledone, ubi Dittenberger confert *Νεστορέηι παρὰ νηὶ Πυλοιγενέος βασιλῆος* B 54); *Δαναΐς* | *Νικοτελεία* 258 (Halis Locr.); *Λαδίκας* | *Εὐκρατείας* 345 (Oeantheae).

---

357 Elateae. Tabula marmoris leucophaei. II aut I. — Manumissio. — Paris BH 11, 337, 40. IG IX 1, 109. Mi 283. DS 842. Rij 30, 50.

[θ]εὸς τύχαν ἀγαθάν. | ἄρχοντος Καλλίππου | τοῦ Ἀριστοκλέος, γραμ|ματεύοντος δὲ τοῦ συνεδρίου Πολυξένου τοῦ Ξε|νοκράτεος, ψάφισμα. | μηνὸς πέμπτου πεντεκαι|δεκάτα, ἐν τοῖς συνέδροις χει-|ροσκόπος Ξενόδοκος Θεόγνιος· ἔδοξε τοῖς συνέδροις, Στέφανον | τὸν ὄντα πρότερον παῖδα Λάμπ(ρ)ω|νος ἐλεύθερον εἶμεν, καὶ τὸν ἀπε|λευθερισμ[ὸ]ν αὐτοῦ ἀναγράψαι | [ἐ]ν τῶι ἱερῶι τᾶς Ἀθάνας τᾶς Κραναίας ἀπό τε τοῦ Μενεκλείας κἀπὸ | τᾶς πόλιος ὀνό[μ]ατος, εἴ κα καὶ ἐν τῶι | δάμῳ δόξῃ. ἔδοξε καὶ ἐν τῶι δάμωι | γενομένας ψαφοφορίας κατὰ τὸν νόμον. | ὁ δᾶμος Ἐλατέων καὶ Μενέκλεια Λάμπρωνος ἀφίεντι | ἐλεύθερον Στέφανον τὸν ὄ[ν]|τα π[ρότ]ερον παῖδα Λάμπ[ρωνος].

vs. 11 (*ρ*) deest in l. — Consensu senatus populique (id quod plane singulare est) coniecit Dittenberger (IG) propterea opus fuisse, quia nullum super-

stitem habebat Meneclia necessarium, qui post mortem tutoris (*κυρίου*) officium sustineret.

---

358 Tithorae. Ara quadrata lapidis calcarii leucophaei. Aetate Traiani. — 1) Dedicatio. 2) Manumissio. — *Πιττάκις* EA 1842 nr. 783. Le Bas II 822/3. DI 1554. 1555b. IG IX 1, 187. 189.

1) *Γνωσίφιλος καὶ Ἐπιξένα τὸν υἱὸν | Θεωνίδαν Σαράπει, Ἴσει, Ἀνούβει.*

2) *θεὸς τύχαν ἀγαθάν. ἄρχοντος ἐν Τιθόρραι Μνασία τοῦ Ξενίνου, στρα|ταγέοντος δὲ τῶν Φωκέων Ἐπινίκου τοῦ Νικάρχου Λιλαιέος, ἱερητεύοντος δὲ | τῶι θεῶι τῶι Σαράπει Δαμοκλέα τοῦ Ἐχεκράτεος, μηνὸς τρίτου, ἀπέδοντο Λ[ά]|ων καὶ Λάμπρων ὁ υἱὸς αὐτοῦ, συνευδοκέοντος καὶ τοῦ πατρὸς αὐτῶν, ὁμοίως δὲ συνευδοκέοντος τᾶι ὠνᾶι καὶ τοῦ Τιμοξένου υἱοῦ Λάμπρωνος καὶ Θέωνος | τοῦ Τιμομάχου, χρήσαντος τὰν χέρα Λάωνος τοῦ Λάμπρωνος, τῶι θεῶι τῶι Σαρά|πει τῶι ἐν Τιθόρραι ἐπ' ἐλευθερίαι σῶμα ἀνδρεῖον, ὧι ὄνομα Σώτιμος, τὸν υἱὸ[ν] | Ἀρχοῦς, τιμᾶς ἀργυρίου μνᾶν πέντε. τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ Θ(έ)ων Τιμο|μάχου. μὴ καταδουλιξάσθω δὲ μηθεὶς Σώτιμον μηδὲ καθ' ὁποῖον τρόπον, μήτε αὐτὸν μήτε ἅ κα ἔχη, ἀλλὰ ἐλεύθερος ἔστω καὶ μὴ ποθεικέτω μηθενὶ μηθὲν ἔ[τι]. | εἰ δέ τις καταδουλίζοιτο Σώτιμον, ἀποτεισάτω ἀργυρίου μνᾶς ἑξήκοντα ⟨ποθιερου⟩ ποθιέρους τῶι θεῶι τῶι Σαράπει, ἐξέστω δὲ καὶ προστᾶμεν τῶι θέλοντι Φωκέων ἐπὶ τῶι ἡ|μίσωι, καὶ τὸ μὲν ἥμισον ἔστω τοῦ προστάντος, τὸ δὲ ἥμισον τοῦ θεοῦ τοῦ Σαράπιος. παρ|αμεινάτω δὲ Σώτιμος Λάμπρωνι τὰν ζωάν, τῶι πατρὶ Λάωνος καὶ Τιμοξένου, ποιῶν τὸ ἐπιτασσόμενον πᾶν· εἰ δὲ μὴ παραμένη Λάμπρωνι, ἀποτεισάτω ἀργυρίου πλά|τη ἑβδομήκοντα, καὶ ἀγώγιμος ἔστω ποτὶ τὸ γεγραμμένον ἐπιτίμιον. διδότω δὲ Λάμπ|ρων Σωτίμωι τὰν εὐσχημοσύναν. ἁ ὠνὰ παρὰ τὸν θεὸν τὸν Σάραπιν, τὸ δὲ ἀντίγραφον παρὰ | τὸν ἄρχοντα Μνασίαν. μάρτυρες· Καλλιγένης Τίμωνος, Ἀπολλώνιος Ἀπολλωνίδα, Βίων | Νικοδάμου.*

vs. 1 *Τιθ.*: cf. *Τιθύρραν* Pomtow Klio 14, 293 nr. 15, 8. — 8 (ε): σ l. 15 sq. *πλάτη*: cf. JBaunack Ph 67, 473 sq.; RMeister LpzAbh 27, 326 sq.

358g Glossae ex aliis titt. Phocidis. IG IX 1, 61 (aet. Traiani, Daulide), 32 sq. *ἐν ἑκατέρῳ⟨ν⟩ τῶν ἀγρῶν, | δρυππίῳ καὶ εὐξυλείᾳ, ἐν δὲ πλατάνῳ | καὶ μοσχοτομέαις.* 87 (II, Hyampoli), 23 *ποτ' ἀοῦς*, 25 et saepius *ποτ' ἀῶ*, 35 et saepius *ποθ' ἑσπέρας.*

II. Tituli Locrii (nr. 359—372).

1. Tituli litteraturae veteris (nr. 359—365).

359 Halis. Basis calcaria. V in. — Dedicatio. — Hetty Goldman AJ 19, 442/4.

Θεαγένεος κἀριστομένεος | καὶ Φσανο͂ ἀρχόντο̄ν | Halε̄͂ες ἀνέθεαν τἀθάναι. | Σϙόπα ἔ̓στασε.

Σϙόπα: cf. ad nr. 143. Ex aliis titt. l. c. editis: 439 sqq. (VI p. post.) *Εὔϝανδρος*, 444 sqq. (260/50ᵃ) vs. 12 *πεταμνυφάντειραι* 14 *πεντάμεροι* (cf. nr. 323 D 16) 16 *τοαροι* 18 *ταπολογοι* i. e. *τοὶ ἱαροί, τοὶ ἀπόλογοι* (Buck ClassPh 11, 212).

360 [²226] Opunte. Lapides calcarii. — Titt. sepulcrales. — IG IX 1, 291. 293. 295. Im 56. Cf. Kirchh. A. 143.

1) *Ἀγαινέτο̄.* — 2) *Ἐχσαίνετος.* — 3) *Πολυδάμαντος.*

361 [²227] Prope Opuntem. In ventre scyphi nigri. — Girard BH 2, 588. IGA 307. Rob 236. DI 1493. IG IX 1, 303. Im 56.

καλ[ο͂] Παντέλεος (τ)ὰ ποτέρια καλά.

362 [²229] Oeantheae (loco oppidi *Γαλαξίδι* quod nunc est). Tabula aenea utrimque inscripta; olim Corcyrae in collectione Woodhousii; nunc in museo Britannico. V p. pr. — Locrorum Hypocnemidiorum lex de colonia Naupactum mittenda. — *Οἰκονομίδης, ἐποίκια Λοκρῶν γράμματα* Ath. 1869. G Curtius Stud. 2, 441/9. Vischer KlSchr 2, 172/235 (RhM 26, 39 sqq.). Im 92. Hicks 25. DI 1478. Rob 231. Rij 11. Ed Meyer Forschungen zur alten Geschichte 1, 291/305. R Meister LpzBer 47, 272/334. 51, 156/60. Mi 285. IG IX 1, 334. So 37. Bu 55. DS ³47. BritM 954. Cf. Kirchh. A. 146. Danielsson Eranos 3, 49/80. O Schultheß WklPh 1893, 416/22. Bannier BphW 1898, 862; 1916, 956 sq.; RhM 70, 403 sq. Bechtel GöttNachr. 1918, 397/400.

(A) *ἐν Ναύπακτον ⁝ κὰ(τ) το͂νδε ⁝ hἀπιϝοικία. ⁝ Λοϙρὸν το͂ν ⁝ Hυποκναμιδίο̄ν ⁝ ἐπ|εί κα Ναυπάκτιος ⁝ γένε̄ται, ⁝ Ναυπάκτιον ἐόντα ⁝ hόπο̄ ξένον ⁝ ὅσια λανχάν|ειν ⁝ καὶ θύειν ⁝ ἐξεῖμεν ⁝ ἐπιτυχόντα, ⁝ αἴ κα δείλε̄ται· ⁝ αἴ κα δείλε̄ται, ⁝ θύειν καὶ λ|ανχάνειν ⁝ κἐ̄(δ) δάμο̄ κἐ̄(ϙ) ϙοινάνο̄ν ⁝ αὐτὸν καὶ τὸ γένος ⁝ καταιϝεί. ⁝ τέλος τοὺς ⁝ ἐπιϝοίϙους Λοϙρο͂ν ⁝ το͂ν Hυποκναμιδίο̄ν ⁝ με̄̀ φάρειν ⁝ ἐν Λοϙροῖς τοῖ|ς Hυποκναμιδίοις, ⁝ φρίν κ' αὖ τις Λοϙρὸς γένε̄ται το͂ν Hυποκναμιδίο̄ν. ⁝ αἰ | δείλε̄τ' ἀνχο̄ρεῖν, καταλείπον⟨ ⁝ ⟩τα ἐν τᾶι ἱστίαι παῖδα hε̄βατὰν ἒ̓ 'δελφεὸν ⁝ ἐξεῖμεν ἄνευ ἐνετε̄ρίο̄ν· ⁝ αἴ κα hυπ' ἀνάνκας ἀπελάο̄νται ⁝ ἐ(ν) Ναυπάκτο̄ ⁝ Λοϙ|ροὶ τοὶ Hυποκναμίδιοι, ⁝*

ἐξει̃μεν ἀνχο̄ρει̃ν, ⁝ hόπο̄ ϝέκαστος ἐ̃ν, ἄνευ ἐνετε̄ρίο̄ν. ⁝ τέλος με̄̀ φάρειν με̄δὲν ⁝ hότι με̄̀ (μ)ετὰ Λοϙρο̃ν το̃ν ϝεσπαρί|ο̄ν. ⁝ ⊲ ⁝ ἔνορϙον τοι̃ς ἐπιϝοίϙοις ἐν Ναύπακτον ⁝ με̄̀ ̓ποστα̃μεν ⁝ ἀ(π̓ ̓Ο)ποντίο̄ν | τέχναι καὶ μαχανα̃ι ⁝ με̄δεμια̃ι ⁝ ϝεϙόντας. τὸν hόρϙον ἐξει̃μεν, ⁝ αἴ κα δεί|λο̄νται, ⁝ ἐπάγειν μετὰ τριάϙοντα ϝέτεα ⁝ ἀπὸ το̃ hόρϙο̄ hεκατὸν ἄνδρας ̓Ο|ποντίοις ⁝ Ναυπακτίο̄ν καὶ Ναυπακτίοις ̓Οποντίους. ⁝ ⌓ ⁝ hόσστις κα λιποτελέε̄ι ἐγ Ναυπάκτο̄ ⁝ το̃ν ἐπιϝοίϙο̄ν, ⁝ ἀπὸ Λοϙρο̃ν ει̃μεν, ⁝ ἔντε κ̓ ἀποτείσε̄ι ⁝ τὰ νό|μια Ναυπακτίοις. ⁝ Γ ⁝ αἴ κα με̄̀ γένος ἐν τα̃ι ἱστίαι ⁝ ε̄̓ι ε̄̓̀ ̓χεπάμο̄ν ⁝ το̃ν ἐπι|ϝοίϙο̄ν ⁝ ε̄̓ι ἐν Ναυπάκτο̄ι, Λοϙρο̃ν ⁝ το̃ν Hυποκναμιδίο̄ν ⁝ τὸν ἐπάνχισ|τον ⁝ κρατει̃ν, Λοϙρο̃ν hόπο̄ κ̓ ε̄̓ι, ⁝ αὐτὸν ἰόντα, αἴ κ̓ ἀνε̄̀ρ ε̄̓ι ε̄̓̀ παι̃ς, ⁝ τριο̃ν μ|ε̄νο̃ν· ⁝ αἰ δὲ με̄́, τοι̃ς Ναυπακτίοις ⁝ νομίοις χρε̃σται. ⁝ Δ ⁝ ἐ(ν) Ναυπάκτο̄ ἀνχο̄ρέοντα ⁝ ἐν Λοϙροὺς τοὺς Hυποκναμιδίους ⁝ ἐν Ναυπάκτο̄ι ⁝ καρυ̃ξαι ἐν τα|γορα̃ι, ⁝ κε̄̓ν Λοϙροι̃ς ⁝ τοι̃(ς) Hυποκναμιδίοις ⁝ ἐν τα̃ι πόλι, hο̃ κ̓ ε̄̓ι, ⁝ καρυ̃ξαι ἐν | ταγορα̃ι. ⁝ ⌸ ⁝ Περϙοθαρια̃ν ⁝ καὶ Μυσαχέο̄ν ⁝ ἐπεί κα Ναυπάκτι(ός τι)ς ⁝ γένε̄τα|ι, ⁝ αὐτὸς καὶ τὰ χρε̄́ματα ⁝ τε̄̓ν Ναυπάκτο̄ι ⁝ τοι̃ς ἐν Ναυπάκτο̄ι χρε̃σται, ⁝ τὰ δ̓ ἐν Λοϙροι̃ς τοι̃ς Hυποκναμιδίοις ⁝ χρε̄́ματα τοι̃ς Hυποκναμιδίοις ⁝ (Β) νομίοις χρε̃σται, ⁝ hόπο̄ς ἁ πόλις ϝεκάστο̄ν νομίζει ⁝ Λοϙρο̃ν το̃ν Hυποκν|αμιδίο̄ν. ⁝ αἴ τις hυπὸ το̃ν νομίο̄ν το̃ν ἐπιϝοίϙο̄ν ⁝ ἀνχο̄ρέε̄ι Περϙοθαρια̃|ν καὶ Μυσαχέο̄ν, ⁝ τοι̃ς αὐτο̃ν νομίοις ⁝ χρε̃σται ⁝ κατὰ πόλιν ϝεκάστους. | ⁝ ⌸ ⁝ αἴ κ̓ ἀδελφεοὶ ἔο̄ντι ⁝ το̃ ̓ν Ναύπακτον ϝοικέοντος, ⁝ hόπο̄ς καὶ Λοϙρο̃ν ⁝ το̃ν Hυποκναμιδίο̄ν ⁝ ϝεκάστο̄ν νόμος ἐστί, ⁝ αἴ κ̓ ἀποθάνε̄ι, το̃ν χ|ρε̄μάτο̄ν κρατει̃ν ⁝ τὸν ἐπίϝοιϙον, τὸ κατιϙόμενον κρατει̃ν. ⁝ Ζ ⁝ | τοὺς ἐπιϝοίϙους ⁝ ἐν Ναύπακτον ⁖ τὰν δίκαν πρόδιϙον ⁝ hαρέσται πὸ(τ) τοὺς δ|ικαστε̄ρας, ⁝ hαρέσται ⁝ καὶ δόμεν ⁝ ἐν ̓Οπόεντι κατὰ ϝέος αὐταμαρὸν ⁝ Λοϙ|ρὸν τὸν Hυποκναμίδιον. ⁝ προστάταν καταστα̃σαι ⁝ το̃ν Λοϙρο̃ν το̃ι ἐπιϝοίϙο̄ι ⁝ καὶ το̃ν ἐπιϝοίϙο̄ν το̃ι Λοϙρο̃ι, ⁝ hοίτινες κἀπίατες ἔντιμοι ἐ̃ς. ⁝ ⌸ ⁝ hόσσ|τις κ̓ ἀπολίπε̄ι ⁝ πατάρα καὶ τὸ μέρος ⁝ το̃ν χρε̄μάτο̄ν το̃ι πατρί, ⁝ ἐπεί κ̓ ἀπογένε̄ται, ⁝ ἐξει̃μεν ⁝ ἀπολαχει̃ν ⁝ τὸν ἐπίϝοιϙον ⁝ ἐν Ναύπακτον. | ⁝ Θ ⁝ hόσστις ⁝ κα τὰ ϝεϝαδε̄ϙότα ⁝ διαφθείρε̄ι ⁝ τέχναι καὶ μαχανα̃ι ⁝ κα|ὶ μια̃ι, ⁝ hότι κα με̄̀ ἀνφοτάροις ⁝ δοκέε̄ι, ⁝ Hοποντίο̄ν ⁝ τε χιλίο̄ν ⁝ πλε̄́θαι καὶ Ναϝπακτίο̄ν ⁝ το̃ν ἐπιϝοίϙο̄ν ⁝ πλε̄́θαι, ⁝ ἄτιμον ει̃μεν ⁝ καὶ χρε̄́|ματα παματοφαγει̃σται. ⁝ το̄̀νκαλειμένο̄ι ⁝ τὰν δίκαν ⁝ δόμεν τὸν ἀρ|χόν, ⁝ ἐν τριάϙοντ̓ ἀμάραις ⁝ δόμεν, ⁝ αἴ κα τριάκοντ̓ ἀμάραι ⁝ λείπο̄ντ|αι τα̃ς ἀρχα̃ς· αἴ κα με̄̀ διδο̃ι ⁝ το̃ι ἐνκαλειμένο̄ι ⁝ τὰν δίκαν, ⁝ ἄτιμ|ον ει̃μεν ⁝ καὶ χρε̄́ματα παματοφαγει̃σται, ⁝ τὸ μέρος μετὰ ϝοικιατα̃ν. ⁝ διομόσαι hόρϙον ⁝ τὸν νόμιον. ⁝ ἐν ὑδρίαν ⁝ τὰν ψάφιξ|ξιν

εἶμεν. ⁝ *καὶ τὸ θέθμιον* ⁝ *τοῖς Ηυποκναμιδίοις Λοϙροῖς* ⁝ *ταὐ|τᾶ τέλεον εἶμεν* ⁝ *Χαλειέοις* ⁝ *τοῖς σὺν Ἀντιφάται* ⁝ *ϝοικε̄ταῖς.*

ἔγνω δᾶμος περὶ ὤν ἀ βολλὰ προεβόλλευσε καὶ Πολυδεύκης Μέ|γωνος ὀ τεταγμένος στραταγὸς ἐπὶ πάντων καὶ Αἰσχύλης ὀ Θεμιστίω | ὀ ἀντιγραφεὺς ἐπὶ τὸν δᾶμον ἦλθον, περὶ τῶ δάμω τῶ⟨ι⟩ Ἐρυθραίων, ὤς | κε ἐπαινεθείη καὶ στεφανωθείη ἐν τοῖς Διονυσίοις χρυσίωι στεφάνωι, καὶ περὶ τῶν δικαστᾶν Ἐκαταίω Δημητρίω, Διοδότω Κλε|ωνυμείω, ὤς κε ἐπαινεθεῖεν καὶ στεφανωθεῖεν ἐν τοῖς Διονυ|σίοισι χρυσίω στεφάνωι καὶ ὤς (κ)ε ξενισθεῖεν ἐν τῶι πρυτ[α]|νείωι, καὶ περὶ προξενίας καὶ πολιτ(εί)ας, ἴνα ποιήσωνται οἰ | στραταγοὶ ἔφοδον ὑπὲρ αὐτῶν ἐν τοῖς χρόνοις τοῖς ἐκ τῶ νόμω, καὶ περὶ τῶ γραμματέος αὐτῶν Θεοπόμπω Ἀπολλοδότω, | ὤς κε ἐπαινεθείη καὶ στεφανωθείη ἐν τοῖς Διονυσίοισι χρυ|σίω στεφάνωι καὶ ξενισθείη ἐν τῶι πρυτανήω, (καὶ) περὶ τῶ δι|κασταγωγῶ Ἀγεμάχω Ἀγ⟨γ⟩ελ(α)είω, ὤς κε ἐπαινεθείη | καὶ στεφανωθεί(η) ἐν τοῖς Διονυσίοισι χρυσίω στεφάνω κα[ὶ] εἰς τὸ πρυτανήιον κληθείη μετὰ τῶν δικαστᾶν· ἀγαθᾶι τύ|χαι δεδόχθαι τῶι δάμωι· ἐπειδὴ Ἐρυθραῖοι συγγενεῖς καὶ | φίλοι ἐόντες τᾶς πόλιος θέλοντες ἀπόδειξιν ποιήσασθαι | τᾶς εὐνοίας ἆς ἔχοισι πρὸς τὸν δᾶμον, ἔν τε τοῖς ἄλλοις | τοῖς συμφερόντεσσι τᾶ πόλει προνόηνται, καθό κε δυνατοὶ ἔωσι, καὶ περὶ τῶ μεταπέμπτω δικαστηρίω⟨ι⟩ ἐμβλέ|ποντες εἰς τὰν σπουδάν, ἄμ ποιη ὀ δᾶμος, ἐφιλοτιμή|θησαν καὶ ἀπέστελλαν δικασταὶς καλοὶς καὶ ἀγα|θοίς, οἴ τε παραγενόμενοι τὰν προσήκοισαν πρόνοιαν | ἐποιήσαντο περὶ τᾶν δικᾶν καὶ ἐφρόντισαν, ἴνα οἰ μὲν συλλυθῶσι τὰ πρὸς ἀλλήλοις, οἰ δὲ διακρινόμενοι τύχωσι | τῶν δικαίων, τάν τε παρεπιδαμίαν ἐποιήσαντο ἀρμο|ζόντως· ὄπως οὖν καὶ ὀ δᾶμος φανερὸς ἦι εὐχαρίστως | συναντaὶς ἐκάστοισι καὶ μνᾶν ποιήμενος τῶν τε ἐξαπο|[σ]τελλάντων καὶ τῶν δικαστᾶν τῶν ἐπιμελέως καὶ δικα[ί]ως προστάντων τᾶν δικᾶν καὶ ἀξίως τῶν τε ἀποστελλάν|των καὶ τᾶς τῶ δάμω αἰρέσιος, ἐπαινῆσαι τὸν δᾶμον τὸν | Ἐρυθραίων ἐπὶ τᾶι εὐνοίαι ἆι ἔχει πρὸς τὰμ πόλιν καὶ ἐπὶ τῶι ἀπο|στέλλαι δικασταὶς καλοὶς καὶ ἀγαθοὶς καὶ στεφανῶσαι ἐν τοῖς | Διονυσίοισι χρυσίω στεφάνω, ἐπαινέσαι δὲ καὶ τοὶς δικασταὶς Ἐκαταῖον καὶ Διόδοτον ἐπὶ τῶ πρόσταν τῶν κὰτ ταὶς δί-

καις ἴσως | καὶ δικαίως καὶ στεφανῶσαι ἐν τοῖς Διονυσίοισι χρυσίω στεφάνω, | εἰςαγήσασθαι δὲ περὶ αὐτῶν ἐν τοῖς χρόνοις τοῖς ἐκ τῶ νόμω | καὶ τοὶς στραταγοίς, ὅπως ὑπάρξηι αὔτοῖσι προξενία καὶ πολιτεί|α, ἐπαινέσαι δὲ καὶ τὸγ γραμματέα Θεόπομπον ἐπὶ τῶι πραγματε[ύ]θην αἴ φιλοτίμως καὶ ἀξίως ἀμφοτέρων τᾶμ πολίων καὶ στεφα|νῶσαι αὐτὸν ἐν τοῖς Διονυσίοισι χρυσίω στεφάνω, ἐπαινέσαι δὲ κα[ὶ] | τὸν δικασταγωγὸν Ἁγέμαχον ἐπὶ τῶι φιλοτίμως ἐπιδόμεναι | ἑαυτὸν καὶ πρόσταν τῶν κὰτ τοὶς δικασταίς, ἵνα ἕκαστα διεξα|χθέωσι δικαίως καὶ συμφερόντως, καὶ στεφανῶσαι ἐν τοῖς Δ[ιονυ]σίοισι χρυσίω στεφάνω· τᾶς δὲ ἀναγγελίας τῶν στεφάνω[ν, | ὤς κε γέ]|νηται, ἐπιμελήθην το(ὶ)ς βασιλέας καὶ πρυτάνεις, καλέσαι δὲ ἐπ[ὶ ξένια] | τοὶς δικασταὶς καὶ τὸγ γραμματέα ε(ἰς) τὸ πρυτανήιον ἐπὶ τὰγ κοινὰν ἑστ[ί]|αν, καλέσαι δὲ μετ᾽ αὐτῶν εἰς τὸ πρυτανήιον καὶ τὸν δικασταγωγόν· | χειροτονῆσαι δὲ καὶ πρεσβευτὰν ἐκ πάντων τῶμ πολιτᾶν, τὸν δὲ ἀγρεθέντα τό τε ψάφισμα ἀνενέγκαι πρὸς Ἐρυθραίοις καὶ ἐμφανίσαντα⟨ς⟩ | περὶ τᾶς εὐνοίας, ἃς ἔχει ὁ δᾶμος πρὸς αὐτοὶς καὶ τὰ ὠικονομημένα | ὑπὸ τῶν δικαστᾶν, παρακάλην αὐτοὶς ἐπιμελὲς ποιήσασθαι, ὅπως ο[ἵ] | τε στέφανοι ἀναγορευθέωσι καὶ πὰρ ἑαυτοῖς καὶ τὸ ἀντίγραφον τῶ ψη-|φίσματος ἀναγραφῇ ἐς στάλλαν καὶ ἀνατεθῇ ὡς ἐν ἐπιφανεστάτω τόπω, καὶ ἐμφανίζην, ὅττι ταῦτα ποιήσαντες χαρίσσονται τῶι δάμω. | πρεσβευτὰς **Πυθοφάης Ἱερογένειος.** *intra coronas*: vss. 57 sq. τὸν δῆμον | τὸν Ἐρυθραίων. **Ἑκαταῖον** | Δημητρίου. Διόδοτον | **Κλεωνύμου.** vss. 59 sq. Θεύπομπον | Ἀπολλοδότου. Ἁγέμαχον | Ἁγελάου.

Antigrapho (vs. 53) decreti Aeolica dialecto conscripti lapicida nonnullas formas Ionicas immiscuit (congessit Ho.); exemplar a scriba in dialectum Megaricam conversum est IG VII 19 (conservatis paucis formis Aeolidis: ὅττι 3. 16, συνπραγματεύθην 6, αὐτοὶς 13). vss. 3 sq. de ὥς κε particulis cum opt. iunctis cf. Be Ae p. 10. 30 sq. et ad nr. 631, 8. — 7 (κ): τ l. 8 (ει): τ l. 12 (καί) deest in l. 13 (α) deest in l.; cf. vs. 60. 14 (η): εν l. 21 ποιη: ποίη(ται) Be Ae. 46 (ὶ): ν l. Wilh. 47 ε(ἰς): ἐπ l. [Idem Πολ. Μεγ. est IG XI 4, 1064; ante 167. Wilh.].

624 [²435] Mytilenis. Stela marmoris glauci. II? — L e x s a c r a. — Keil Ph suppl. 2, 579/81 (e Graeca ephemeride). Conze Lesb. tab. IV 3. DI 293. Ho 2, 92. Mi 709. IG XII 2, 73.

θεός· τύχα ἀγαθά. | ὄ κε θέλη θύην ἐπὶ τῶ βωμ[ῶ] | τᾶς Ἀφροδίτας τᾶς Πει|θῶς καὶ τῶ Ἑρμᾶ, θυέτω | ἰρήιον ὅττι κε θέλη καὶ | ἔρσεν καὶ θῆλυ πλ[ὰ]γ χοί[ρω] | καὶ ὄρνιθα ὅττι[νά κε θέλη].

625 Mytilenis. II/I. L a p i d e s s e p u l c r a l e s. — 1) Papageorgiu Unedierte Inschriften von Mytilene nr. 19. Cf. Be Ae 30. — 2) Conze Lesb. tab. IV 2. DI 299. Ho 2, 106. IG XII 2, 304.

1) *Ἄδα Δαμοκέρτη ὖα.* | *Αἰθέριον ἁ τροφὸς* | *τὸ ὀστοθήκιον.*

2) *Βίω Σωσία πάεις.* — Cf. *πάιν* IG XII 2, 244, 6. De voce *παῖς* loco *υἱός* posita cf. W Schulze GöttAnz 1897, 879; Be D 1, 124; *Πιττακὸν .... παῖδα τὸν Ὑρράδιον* Call. epigr. 1, 2 Wil.

---

626 [²436] Mytilenis. Basis marmoris glauci. 62. — Honores Pompei magni. — Keil Ph suppl. 2, 576/8 (e Graeca ephemeride). Conze Lesb. tab. VIII 1. DI 218. IG XII 2, 202.

ὁ δᾶμος | *τὸν ἑαυτῶ σωτῆρα καὶ κτίσταν* | *Γναῖον Πομπήϊον Γναίω υἱὸν* | *Μέγαν, τρὶς αὐτοκράτορα, κατα|λύσαντα τοὶς κατασχόντας* | *τὰν οἰκημέναν πολέμοις καὶ* | *κατὰ γᾶν καὶ κατὰ θάλασσαν.* |

Δωρόθεος Ἡγησάνδρου | *Ὀλύνθιος ἐπόησε.*

---

627 Mytilenis. Tabula marmoris candidi. Commodi aetate. — Decretum. — CCurtius H 7, 407/15. DI 238. Ho 2, 165. IG XII 2, 67.

[- - - - - - - - - - - - - - *πρεσβευτὰν*] | *Πο . [Γα]λλιηνὸν Πολλίω[να πέμπ]ην καὶ ψάφισμα· δια|πέμπεσθαι δὲ καὶ κατ' ἐνιαυτὸν ψάφισμα πὰρ τᾶς* | *βολλᾶς καὶ τῶ δάμω περὶ αὐτῶ τούτω πρὸς τοὶς ἀγ[ι]-|μόνας, ὅππως καὶ αὔτοις φανερὰν ποῆμεν τὰν προαίρεσιν τᾶς πόλιος περὶ τῶν δαμοσίων πραγμ[ά]|των. αἰ δέ κέ τις πὰρ ταῦτα ποῆ, ἔμμεναι αὐτὸν ὑπεύ|θυνον καὶ ὀφέλλην αὐτὸν τᾶ θεᾶ Ἀρτέμιδι εἴραις ἀρ|γυρίω (δραχμαὶς εσι'), αἲς καὶ ἐπάνανκες εἰςπράσσεσθαι ὑπὸ* | *τῶν στροταγῶν· αἰ δέ κέ τις μὴ ἰςπράξηται, αὐτὸν ἀποτεῖσαι διπλόαις ταὶς ἀπὺ τῶ ψαφίσματος ἐπά|νω εἰρημέναις (δραχμαὶς εσι'). τὸ δὲ ψάφ[ι]σμα τόδε ἔμμεν[αι]* | *ἐς ἄϊ ἐπὶ σαωτηρίαι καὶ φυλακᾶ καὶ ἀγαθᾶ τύχα τᾶς* | *πόλιος· καὶ ἐνχαράχθην ἐς στάλλαν μαρμαρίναν* | *καὶ ἀνατέθην ἐν τῶ εἴρω τᾶς Ἀρτέμιδος τᾶς Θερμίας καὶ πρὸ τῶ εἴρω βολλευτηρίω. δογματογρά|φοι Γνάϊος Πομπήϊος Ῥοῦφος, Γάϊος* | *Ὄρφιος Πρ[ό]κλος Ἰουλιανός, Λούκιος Γράττιο[ς].*

vs. 3sq. cf. *ἀγιμόσι (ἀγιμόνεσσι) τᾶς νεότατος* IG XII 2, 164 b, 169 (aet. Aug.). 7. 11 post vocem (*δρ.*) siglo scriptam est siglum numeri ex litteris *εσι* confectum (IG).

---

628 [²440] Hierae in agro Mytilenaeo trans Euripum sito. Basis(?) marmoris fusci. Aet. Rom. rec. — Honores Bresi. — Conze Lesb. tab. XVII 1. DI 255. Ho 2, 168. IG XII 2, 484.

[ἁ β]ολλὰ καὶ ὁ δᾶμος | *Βρῆσον Βρήσω ἀρχίατρον ἀλιτούρ-|γατον, ζὰ τῶν παίδων δὲ καὶ ἐ|κγόνων ἀρχὰς καὶ ἄλλας καὶ κισσοφορίας καὶ ἀγορανομίας* | *ἐπιτετελέκοντα, καὶ αὐτὸν* | *δὲ καὶ βου-*

λαρχίαν καὶ νομο|φυλακίαν καὶ ἄλλας, ὄντα Διὸς | αἰθερίω καὶ Ἄμμωνος ἐλευθερίω καὶ τᾶς Ἀδραστείας καὶ τῶ | Σεβαστῶν μυστηρίω, Πνιστί|ας, Ἐτηφίλας, Ποσειδῶνος, | Μυχίω καὶ Μυχίας καὶ τᾶν ἀπα|ραιτήτων θεᾶν καὶ τᾶς εἰρᾶς καλιᾶς καὶ τῶ Διὸς τῶ | Μαινολίω πάρεδ(ρ)ον, τᾶς τε | πολιάδος Ἀθάνας παρακε|λευστὰν ὑπὲρ τᾶς πόλιος, τᾶς | τε Ἀρτέμιδος καὶ Ἀπόλλωνος Μαλ(όε)ντος ἀρχιχόρον, καὶ ἱε|ροκάρυκα τῶν γερέων, ζακόρον σαωτῆρος Ἀσκληπι|ῶ, τοῦ δὲ θειοτάτου αὐτο|κράτορος καὶ τῶν τᾶς πόλιος εἰρῶν προθύταν καὶ | ⟨καὶ⟩ περιηγητὰν ἐτέων ἤδη | τεσσαράκοντα καὶ πρὸς | ἄνευ συντάξιος καὶ μισ|θοῦ, οὐχ ὡς οἱ πρὸ αὐτοῦ.

vs. 2 *Βρῆσος* (i. e. *Βρήσιος* WSchulze GöttAnz 1897, 879): cf. *Μεγάριτος Αἰσχί[να] | Διονύσω Βρησαγέ[νη* IG XII 2, 478 (ubi allegati sunt Fick BB 7, 151 sq. Wil. HU 409/12); cf. praeterea WSchulze l. c. 873sq.; acarn. *Βρε̄σων* nr. 394, 8; boeot. *Βρε̄σάδας* nr. 468 A 3 (*ὡς Θειβάδας Κρισάδας Φαράδας Φεράδας* Sadée 19. 106). 12 *Πν.*: cf. IG XII 2, 93 *Κάρισ]σα Πνιστία* (dat.), ib. 136 *ἱέ]ρεια Πνιστ[ί]ας*. *Ἐτηφίλας* i. e. Proserpinae (Hes. s. v. *Ἐταιφίλα*). IG; cf. ib. 222, 3 *ἱρεύσαισαν Ἐτηφίλα* (aet. Traiani). 20 (*οε*): *εο* l.; cf. nr. 621, 5. 27 *πρός* adv.

---

629 [²439] Thermis prope Mytilenas. Marmor fuscum. Aet. Rom. — Dedicatio. — Boutan Arch. miss. 5 (1856), 294. Conze Lesb. tab. IX 6. DI 257. Ho 2, 96. IG XII 2, 101.

Ἀρχίππα Ἀθαναεία | Ἀρτέμιδι Θερμία Εὐακόω.

Cf. *Ἀρτέμιδι | Θερμία Εὐα|κόω Δίτας* IG XII 2, 105; ad *Δίτας* Be Ae p. 24.

---

630 [²433] Prope Methymnam. Stela marmoris candidi aëtomate ornata. *στοιχ.* III extr. — Tit. honorarius. — Pottier et Hauvette-Besnault BH 4, 433/8. DI 276. Ho 2, 112. Mi 360. IG XII 2, 498. DittOr 78.

βασιλεύοντος Πτολεμαίω τῶ | Πτολεμαίω καὶ Βερενίκας θεῶν | εὐεργετᾶν, ἀγαθᾶ τύχα, ἐπὶ πρυτάνιος | Ἀρχία, ἔδοξε τῶ κοἶνῶ τῶν Πρωτέων· ἐπειδὴ Πραξικλῆς Φιλίνω δειχθεὶς | χελληστυάρχας τὰν παῖσαν ἐπ[ι]|μέλειαν ἐποιήσατο, ὅπως κε τοῖς θ[ε]|οῖσι τοῖς πατρωΐοισι αἱ θυσίαι συν|τελεσθεῖεν καὶ ἁ χελληστὺς ἐν παίσα γένηται ἐπιμελείᾳ, κα[ὶ] | εἰς ταῦτα πάντα ἐκ τῶν ἰδίων ἐχο|ράγησε ἀξίως τῶν θεῶν καὶ τᾶς | χελληστύος, ἀγαθᾶ τύχα ἐψαφίσθαι· | ἐπεί κε συντελέη ἁ χελληστὺς τοῖς θεοῖσι τὰ ἰρά, δίδων αὔτῶ καὶ | ἐκγόνοισι (δ)ι[μοιρί]αν καὶ σάρκα πεντά|μναιον ἀπ[ὸ τῶ β]οὸς τῶ θυομένω τῶ | Δὶ τῶ σω[τῆρ]ι, ἔως κε ζώωσι, καὶ ἀνα|καρύσσην αὔτοῖς, ὅτι ἁ χελληστὺς στεφανοῖ Πραξικλῆν Φιλίνω καὶ ἐκγό|νοις διμοιρίᾳ καὶ σαρκὶ βοείᾳ πεντα|[μ]ναίῳ συντελέσσαντα τὰ ἰρὰ τοῖς | θεοῖσι κὰτ τὸν νόμον καὶ τᾶς χελ|ληστύος ἐπιμεληθέντα ἀξίως· [ἀνακαρύσσην δὲ κ]αὶ ἐν τοῖς Πτολε|[μαίω γενεθλίοισι - -].

vs. 1 *Πτολ.* scil. IV *Φιλοπάτορος* (221/05[a]). 4 *Πρωτ.*: nomen *χιλιαστύος* Methymnaeorum; aliae *χιλιαστύες Ἐρυθραίων, Σκυρέων, Φωκέων* (IG XII 2 p. 149 sq.); cf. *ἡ φυλὴ ἡ Αἰολίς* IG XII 2, 505, 12 (Meth.). 16 (*δ*): *λ* l. 25 sq. *Πτολε*|[*μαίοισι* Ditt.

---

631 Mileti. Stela marmoris albi. II (post 167? Rehm). — Arbitri Milesii laudati a Methymnaeis. — Milet III 152 A. Cf. Ziebarth GöttAnz 1915, 758.

A *Ἑρμίας Ἀρχίου εἶπεν περὶ ὧν ἁ βολλὰ προεβούλευσε καὶ οἱ στρα|ταγοὶ προτίθεισι καὶ τῶν τιμώχων καὶ πρεσβυτέρων οἱ παρεόν|τες ἐπῆλθον· ἐπειδὴ παραγέγοναν εἰς τὰν πόλιν οἱ μεταπεμ-|φθέντες ἐκ Μιλήτω δικασταὶ ἐπὶ ταὶς δίκαις ταὶς κὰ(τ) τὰν ἐπισυνθήκαν τὰν πρὸς Ἐρεσίοις καὶ συνθήκαν, Ἀξίοχος Μόλπω, Ἀντίγο|νος Δημητρίω, ἀναγκαῖον δέ ἐστιν καὶ συμφέρον περί τε τῶν κὰτ | τὰν ἐνδαμίαν αὐτῶν προνοήθην καὶ περὶ ἐξαποστολᾶς καὶ πορη[ί]|ω καὶ τῶ συναποκατασστάσοντος αὐτοίς, ὅπως κε οὖν περὶ τού⟨τω⟩|των βολλεύσαιτο ἁ βολλὰ καὶ ὁ δᾶμος, δεδόχθαι τῶ δάμω· τοὶς μὲν στραταγοὶς καὶ τοὶς ἐξεταστaὶς καὶ τὸν ἀντιγραφέα | προνοήθην περὶ τῶν κὰτ τὰν ἐνδαμίαν αὐτῶν. τοὶ(ς) δὲ ἐπὶ τῶ χει|ρισμῶ ταμίαις δόμεναι τοῖς δικασταῖς εἴς τε τὰν ἐξαποστολὰν | καὶ τὸ πορήιον, ὅπως ἀνακομισθῶσι ἀσφαλῶς, δραχμαὶς Ἀλε-|ξανδρείαις ἑκατόν, δεῖξαι δὲ ἐν τᾶ ἐκκλησία ἤδη καὶ τὸν συναποκαταστάσοντα αὐτοίς· ὁ δὲ πρύτανις καὶ ὁ βασιλεὺς καλεσσάτω|σαν τοίς τε δικασταὶς καὶ τὸν ἀγωγέα εἰς τὸ πρυτανήιον ἐπὶ τὰν κο(ι)-|νὰν ἑστίαν τᾶς πόλιος. ὁ συναποκατα(στά)σων ἐδείχθη Ἑρμίας Ἀρχία.*

Sequuntur vss. 18/57 alterum decretum Methymnaeorum (B), 58/106 decretum Eresiorum (C). vs. 1 *Ἀρχίου εἶπεν . . . προεβούλευσε*: contra 17 *Ἀρχία*, 18 *Ἀρχία εἶπε . . . προεβόλλευσε.* 3 *παραγέγοναν*: forma *κοινῆς.* 4 *Μιλήτω*: id. 22. 62, contra *Μιλάτω* 67, *Μιλάσιοι* cett. 27. 30 cett.; forma Aeol. erat *Μίλλατος*; (*τ*): (*ν*) l. 8 *ὅπως κε οὖν κτλ.*: i. e. *καθὼς ἂν ὁ δ. ψηφίσηται*; eadem formula vss. 26 sqq. 62 sq.; cf. v. Wilamowitz GöttAnz 1914, 104/6 et ad nr. 623, 3. 11 (*ς*), 16 (*ι*), 17 (*στα*) desunt in l. E decretis sequentibus vs. 20 *ἐπειδὴ διαδεδίκασται αἱ δίκαι αἱ κὰτ τὰν ἐπισυνθήκαν* 24 *τὰ ἐνεστάκοντα παρ' ἑκατέρων ἐγκλήματα* 26 *ὅπως* 30 *Μιλάσιοι ἐόντες ἄμμι συγγενέες* 31 *ἀπέστελλαν* 35 *τᾶς τε ἀμμᾶς πόλιος* 37 *τᾶ νε⟨ν⟩αμέρα* 43 *ὅττι* 46 *δικάσσαντας* 48 *παρ' ἄμμιν μετεχόντεσσ[ι* 56 *ὅττι ταῦτα ποιήσαντες χαριῆνται τῶι δάμωι . πρεσβευτὰς* [*ἐ*]|*δείχθη Ἑρμίας Ἀρχία* 61. 74 *ἄμμων* (propter enclisin, vs. 29 *ἀμμέων*; cf. Jacobsohn Ph 67, 506). 64 (*ἵνα*) *ἀποκατασταθῆεν* 95 *ἀναδοὶς τὸ ψάφισμα* 100 *οἱ βασιλέες* 101 *ἐς τὸ προτανήιον.*

---

632 [[2]430] Eresi (hod. *Ἐρισό*). Stela marmoris fusci in partes duas fracta, quarum altera ab angustiore tantum latere (B), altera a tribus lateribus (ACD) inscripta est. *στοιχ.* Paullo ante 300. — Eresiorum contra tyrannos

iudicia. — Fragm. B ed. CIG 2166b (e Kieperti apographo), totum tit. edd. Conze Lesb. 35/9 et tab. XII (cf. Sauppe GöttNachr 1863, 359/64). Droysen Hell.² II 363/73 (Kirchh.). DI 281. Ho 2, 119. Mi 358. Hicks² 157. Rij 27. IG XII 2, 526. DittOr 8. Cf. Usteri (ad nr. 147, 12) 47/51; Kaerst Hell. 1², 343. 382sq.

A [- - - *πολ]ιορκηθέ[ντας | ἰς τὰν ἀ]κρόπολιν (ἀ)νοικοδόμ[η]σε καὶ τοὶ[ς πο|λίτα]ις δισμυρίοις στατῆρας εἰςέπραξε [καὶ | τοὶ]ς Ἕλλανας ἐλαΐζετ[ο] καὶ τοὶς βωμοὶς ἀ[νέσ]καψε τῶ Διὸς τῶ Φιλιππίω καὶ πόλεμον ἐξε[νι|κ]άμενος πρὸς Ἀλέξανδρον καὶ τοὶς Ἕλλ(α)νας | τοὶς μὲν πολίταις παρελόμενος τὰ ὅπλα ἐξε|κλ(ά)ϊσε ἐκ τᾶς πόλιος [πα]νδαμί, ταὶς δὲ γυνα[ῖ]|κας καὶ ταὶς θυγατέρας συλλαβὼν καὶ ἔρξα[ις] ἐν τᾶ ἀκροπόλι τρισχιλίοις καὶ διακοσίο[ις] | στατῆρας εἰςέπραξε, τὰν δὲ πόλιν καὶ τὰ ἶρ[ὰ] | διαρπάσαις μετὰ τῶν [λα]ϊστᾶν ἐνέπρησε κα[ὶ] | συγκατέκαυσε σώματ(α) [τῶν] πολιτᾶν, καὶ τὸ τ[ε]|λευταῖον ἀφικόμενος πρὸς Ἀλέξανδρον κατ[ε]ψεύδετο καὶ διέβαλλε τοὶς πολίταις· κρῖνα[ι | μ]ὲν αὐτὸν κρυπτᾶι ψάφιγγι ὀμόσσαντας περ[ὶ | θ]ανάτω· αἰ δέ κε καταψαφισθῆ θάνατος, ἀντιτ[ι]|μασαμ[έ]νω Ἀγωνίππω τὰν δευτέραν διαφορὰν | ποήσασθαι, τίνα τρό[πο]ν δεύει αὐτὸν ἀποθανῆν. αἰ δέ κε καλλαφθέ[ν]τος Ἀγωνίππω τᾶ δίκα | κατάγη τίς τινα τῶν Ἀγωνίππω ἢ εἴπη ἢ προθῆ | περὶ καθόδω ἢ τῶν κτημάτων ἀποδόσιος, κατά|ρ(α)τον ἔμμεναι καὶ αὐτὸν καὶ γένος τὸ κήνω, | [κ]αὶ τἆλλα ἔ[ν]οχος ἔστω τῶ νόμω ὡς τὰν στάλλαν ἀνελόντ[α] τὰν περὶ τῶν τυράννων καὶ τῶν ἐκγ[ό-|ν]ων. ποήσασθαι δὲ καὶ ἐπαρὰν ἐν τᾶ ἐκλησία α[ὐ|τ]ίκ(α), τῶ μὲν δικάζοντι καὶ βαθοέντι τᾶ πόλε[ι] | καὶ τᾶ δικαία εὖ ἔμμεναι, τοῖς δὲ παρὰ τὸ δίκα[ι|ο]ν τὰν ψᾶφον φερόντεσσι τὰ ἐναντία τούτων. ἐδικάσθη· ὀκτ(α)κόσιοι ὀγδοήκοντα τρεῖς· ἀπ[ὸ] | ταυτᾶν ἀπέλυσαν ἑπτά, αἱ δὲ ἄλλαι κατεδίκασ|σαν. |*

ἔγνω δᾶμ[ο]ς· περὶ ὧν οἱ πρέσβεες ἀπαγγέλλοισ[ι | ο]ἱ πρὸς Ἀλέξανδρον ἀποσταλέντες καὶ Ἀλέξανδρος τὰν διαγραφὰν ἀπέπεμψε, ἀφικομέ|νων πρὸς αὐτὸν τῶν πρότερον τυράννων ἀπογ[ό]-|νων, Ἡρωΐδα τε τῶ Τερτικωνείω τῶ Ἡραείω κα[ὶ Ἀ]|γησιμένεος τῶ Ἑρμησιδείω, καὶ ἐπαγγελλα[μέ|ν]ων πρὸς Ἀλέξανδρον, ὅτι ἕτοιμοί ἔστι δίκ[αν ὑ]ποσκε(θ)ῆν περὶ τῶν ἐγκαλημένων ἐν τῶ δά[μω· | ἀγαθᾶ τύχα δ]ε[δό]χθ[αι] τῶ δάμω· ἐπειδὴ Ἁγ[ησιμένης? (*multa desunt*).

B [*παρ]ήλετο τὰ ὅπλ[α καὶ | ἐξ]εκλάϊσε ἐκ τᾶς [πό|λι]ος πανδαμί, ταὶ[ς | δ]ὲ γυναῖκας καὶ τα[ὶς θ]υγατέρας συλλαβ[ὼν | ἦ]ρξε εἰς τὰν ἀκρόπ[ο|λ]ιν καὶ εἰςέπραξε | δισχιλίοις καὶ τρι[α]|κοσίοις στατῆρα(ς)· τὰ[ν] δὲ πόλιν καὶ τὰ ἶρα [δι|α]ρπάσαις μετὰ τῶν |*

[λ]αϊστᾶν ἐνέπρησε | [κ]αὶ συγκατέκαυσε σώματα τῶν πολι[τ]ᾶ[ν]· [κ]ρίνναι μὲν αὔτον | [κ]ρυπτᾶι ψάφιγγι [κα|τ]ὰ τὰν διαγραφὰν τ[ῶ | β]ασιλέος Ἀλεξάνδ[ρω | κ]αὶ τοὶς νόμοις· α[ἰ δέ κ]ε καταψαφισθῆ [κα|τ᾽] αὔτω θάνατος, (ἀ)[ντι|τι]μασαμένω Εὐρυ[σι]|λάω τὰν δευτέραν [κρί|σ]ιν ποήσασθαι διὰ [χ]ειροτονίας, τίνα | [τ]ρόπον δεύει αὔτον [ἀ|π]οθανῆν· λαβέσθαι δ[ὲ | κ]αὶ συναγόροις τ(ὰ)[ν] | πόλιν δέκα, οἴτινε[ς ὀ]μόσσαντες Ἀπόλ[λω|ν]α Λυκεῖον ὄμα σ[υνα-|γ]ορήσοισι [τᾶ πόλι ὄπ|πω]ς κε δύνα[νται - -].

C [ποήσασθαι ἐπαρὰν - - - - | - - τῶ μὲν δι]καίω [ὐπ|άρχο]ντι καὶ βαθοέν|[τι τᾶ] πόλει καὶ τοῖς | [νόμο]ισι τᾶ δικαία εὖ [ἔμμε]ναι καὶ αὐτοῖσι | [καὶ] ἐκγόνοισι, τῶ δὲ | [πα]ρὰ τοὶς νόμοις κα[ὶ] | τὰ δίκαια δικαζόν|τεσσι τὰ ἐναντία. ὄμνυν δὲ τοὶς πολίτ[αις] τοὶς δικάζοντας· | [ν]αὶ δικάσσω τὰν [δίκαν | ὄ]σσα μὲν ἐν τοῖς [νό|μ]οισι ἔνι, κὰτ τοὶ[ς νόμο]ις, τὰ δὲ ἄλλα ἐ(κ) [φιλο|[π]ονίας ὠς ἄριστα κ[αὶ | δ]ικαίτατα, καὶ τιμά|[σ]ω, αἴ κε καταγνῶ, ὀρ(θ)ῶ[ς] | καὶ δι(καί)ως· οὔτω ποήσω ναὶ μὰ Δία καὶ Ἄλιον. | Φιλίππω· | »αἰ μὲν κατὰ τῶν φυγά|δων κρίσεις αἰ κριθε[ῖ]|σαι ὑπὸ Ἀλεξάνδρου κύριαι ἔστωσαν, καὶ | [ὧ]ν κατέγνω φυγήν, φε[υ|γ]έτωσαμ μέν, ἀγώγιμο[ι] | δὲ μὴ ἔστωσαν.« — | πρότανις Μελίδωρος. »βασιλεὺς Ἀντίγονος | Ἐρεσίων τῆι βουλῆι | καὶ τῶι δήμωι χαίρειν. | παρεγένοντο πρὸς ἡ|μᾶς οἱ παρ᾽ ὑμῶν πρέ[σ]βεις καὶ διελέγοντ[ο], | φάμενοι τὸν δῆμον | κομισάμενον τὴν παρ᾽ [ἡ]|μῶν ἐπιστολήν, ἣν ἐγρ[ά]-|ψαμεν ὑπὲρ τῶν Ἀγωνίππου υἱῶν, ψήφισμά τε π[ο|ήσ]ασθαι, ὃ ἀνέγνωσα[ν | ἡμῖ]ν, καὶ αὐτοὺς ἀπε|[σταλκέναι πρ](ά)σσ[ειν|.

D - δ]ημο . ηκλ - - [ἐ]πὶ τῆ[ι -]|οι ε - - νλι - - (Ἀ)λεξάν[δρωι ἐν-]|τυγ[χ]άν[ετε - - -·] ἔρρωσ[θε.« | ἔ]γν[ω δᾶμος· περὶ ὦν ἀ βο]λ[λὰ] προεβόλλε[υσε, ἢ ἔδοξ]ε ἢ [μ]ετέδ[οξε τᾶ βολλᾶ καὶ οἱ] ἄνδ[ρ]ες οἱ χ[ειροτο|ν]η[θέν]τε[ς πάν]τα [τὰ γραφέντα] κατὰ τῶν τυρ[άν]|νων [κα]ὶ τ[ῶν ἐ]μ πό[λει οἰκη]θέντων καὶ τῶν ἐκγ[ό|νω]ν [τῶν τούτων παρέχ]ονται καὶ ταὶς γραφαὶ[ς | ε]ἰς[κομίζοισ]ι εἰς τὰν ἐκλησίαν· ἐπειδὴ καὶ π[ρότε]ρον ὀ βασιλεὺς Ἀλέξανδρος διαγραφὰν ἀποσ|[τέ]λλαις π[ροσέτ]αξε [Ἐ]ρεσίοις κρῖναι ὐπέρ τ[ε | Ἀγ]ωνίππω καὶ Εὐ[ρυσ]ιλάω, τί δεῖ πα[θ]ῆν αὐτοίς, [ὀ | δὲ δᾶμος ἀκο]ύ[σ]αις τὰ[ν] διαγραφὰν δικαστήριο[ν | καλέ](σ)σα[ι]ς κα[τὰ] τοὶς νόμοις ὂ ἔκριν[ν]ε Ἀγώνι[ππο]μ μὲν καὶ Εὐρυσίλ[αο]ν τε[θν]άκην, τοὶς δὲ ἀπογ[ό|νοις] αὐτῶν ἐνόχοις [ἔμμε]ναι τῶ νόμω τῶ ἐν τᾶ | [στ]άλλα· τὰ [δ]ὲ ὐπάρχον[τα π]επρᾶσθαι αὐτῶν κατὰ | [τ]ὸν νόμον· ἐπιστέλλ[αντος] δὲ Ἀλεξάνδρω καὶ ὐ|πὲρ τῶν Ἀπολλ[οδ]ωρε[ίων] παί(δων καὶ) τῶν κασιγνήτων [αὐτ]ῶ Ἕρμωνος καὶ Ἡραίω, τῶν πρότερον τυραννη|σάντων τᾶς πόλιος, καὶ τῶν ἀπογόνων αὐτῶν, γ[νῶ]|ναι τὸν

δᾶμον, πότερο[ν δοκ]εῖ καταπορεύεσθ[αι] | αὔτοις ἢ μή· [ὀ] δὲ δᾶμος ἀκούσαις τᾶς διαγραφᾶ[ς] | δικαστήριόν τε αὔτοισι συνάγαγε κατὰ τὸν [νόμο]ν καὶ τὰν διαγραφὰν τῶ βασιλέος Ἀλεξάνδρ[ω, | ὂ ἔ]γνω λό[γ]ων ῥηθέντων παρ' ἀμφοτέρων τόν τε ν[ό|μο]ν τὸν κατὰ τῶν τυράννων κύριον ἔμμεναι κα[ὶ | φ]εύγην αὔτοις κὰτ [τὰ]μ π[όλιν]· δεδόχθαι τῶ δάμ[ω· | κ]ύριομ μὲν ἔμμεναι κατὰ [τῶν] τυράννων καὶ τῶ[ν ἐ]μ πόλι οἰκηθέντων καὶ τῶν ἀ(π)ογόνων τῶν το[ύ|τ]ων τόν τε νόμον τὸμ περὶ τῶν τυράννων γεγρα[μ|μ]ένον ἐν τᾶ στάλλα τ(ᾶ) [παλαι]ᾶ καὶ ταὶς διαγρα|[φ]αὶς τῶν βασιλέων ταὶς κατὰ τούτων καὶ τὰ ψα|[φ]ίσματα τὰ πρότερον γραφέντα ὑπὸ τῶν προγό[ν]ων καὶ ταὶς ψαφοφορίαις ταὶς κατὰ τῶν τυράννων· [αἰ | δ]έ κέ τις παρὰ ταῦτα ἀλίσκηται τῶν τυράννω[ν] | τῶν ἐμ πόλι οἰκηθέντων ἢ τῶν ἀπογόνων τῶν [τού]|των τις ἐπιβαίνων ἐπὶ τὰν γᾶν τὰν Ἐρεσίων, . . | . ω τὸν δᾶ[μο]ν βουλεύσασθαι καὶ πε . . . . ταλλ . . . . υτα.

‚Duos hosce lapides partes esse eiusdem stelae, quamquam probari non potest, tamen verisimile est‘ (IG). Ordo titulorum a Kirchhoffio (apud Droysen l. c.) statutus: 1) A 1—32 plebiscitum de Agonippi iudicio addita sententia (vss. 30sq.). 2) A 33sqq. plebiscitum de Heroda et Hagesimene, tyrannorum veterum posteris. 3) B 1—C 20 pars ultima decreti de Eurysilai iudicio. 4) C 21—28 Philippi Arrhidaei (323/17[a]) Alexandri mandata confirmantis epistula. 5) C 29—D 3 Antigoni Monophthalmi (306/1[a]) de Agonippi filiis epistula. 6) D 4sqq. plebiscitum ultimum Eresiorum (sec. IG). A 4 *Δ. Φ.*: Philippus Alexandri pater. 25 *ἀν.*: acc. loco nom. 28 (C 4) *τᾶ δικαία* scil. *ψάφω* (IG). 30 *τρ.* scil. *ψᾶφοι*. 37 *Τερτίκων*: cf. *Τέρτιος* (i. e. *Τρίτιος*) IG XII 2, 275, 1 (Be Ae 29) et *Σαυλίκων* (ib. 60); *Δαμόκερτος Ποσειδίππω* (Kretschmer ÖJ 5, 146sq. II/I, prope Mytil.). 38 *Ἑρμησιδείω*: cf. [*Ἕ*]*ρμησις* Be Ae 40; *Κλησιδεία* ib. 18, 10. 38 post *Ἑρμησιδείω* deest patron. *τῶ Ἑρμωνείω* (Rij). 39 *ἔτοιμοί ἐστι*: cf. *ἐψ*]*αφισμένοι ἐστί* Mytilenis Be Ae 7, 11 et p. 8. 62. 40 *ὑποσκ.* (dissimilatione ex *ὑποσχ.*) est inf. aor. act. verbi *ὑπέχω* (vix *ὑποσχέθην* inf. praes. act. aut aor. pass.); cf. Ho 2 p. 582; Be D 1, 108. B 9 (*ς*) deest in l. 31 *ὄ*[*μ*]*α* IG, *ὄ*[*π*]*α* Ditt. C 6 loco sg. *τῶ* legendus pl. *τοῖς*. 15sq. *ἐ*[*κ φιλο*|*π*]*ονίας* IG, cum sit in ectypo non *εN*, quam litteram Paton in lapide legit, sed hasta tantum prima post *ε* litteram. 19 (*και*) desunt in l. D 19 (*δων καὶ*) desunt in l. 30 (*π*): *ρ* l. 38sq. [*ἄφ*]|[*ν*]*ω* IG.

633 Eresi. Marmor. II/I in. — Lex sacra de fano quodam adeundo. — David (in ephem. Smyrn.). Paton ClR 16, 290/2. Kretschmer ÖJ 5, 139/46. LS 2, 117. Cf. *Παπαγεωργίου Ἀθ* 16, 243/7. *Παπαβασιλείου* EA 1911, 96sq.

. . . . ς εἰστείχη[ν] εὐσεβέας | . . . . ἀπὸ μὲν κάδεος ἰδίω | [περιμένν]αντας ἀμέραις εἴκοσι· ἀπὸ δὲ | [ἀλλοτρί]ω ἀμέραις τρεῖς λοεσσάμενον· [ἀπὸ δὲ . .] ἀτω ἀμέραις δέκα· αὔταν δὲ | [τὰν τετό]κοισαν ἀμέραις τεσσαράκοντα· | [ἀπὸ δὲ . . .] τω ἀμέραις τρεῖς· αὔταν δὲ | [τὰν τ]ετόκοισαν ἀμέραις δέκα· | [ἀπὸ δὲ γ]υναικὸς αὔτα-

μερὸν λοεσσάμενον· ..... δὲ μὴ εἰστείχην μηδὲ προδόταις· | [μὴ εἰσ]τείχην δὲ μηδὲ γάλλοις μηδὲ | [γυ]ναῖκες γαλλάζην ἐν τῶι τεμένει· | [μ]ὴ εἰςφέρην δὲ μηδὲ ὅπλα πολεμιστήρ[ια | μ]ηδὲ θνασίδιον. — [μη]δὲ εἰς τὸν ναὸν εἰςφέρην σίδαρον | μηδὲ χαλκὸν πλὰν νομίσματος | μηδὲ ὑπόδεσιν μηδὲ ἄλλο δέρμα | μηδέν· μὴ εἰστείχην δὲ μηδὲ γυν[αῖκ]α | εἰς τὸν ναὸν πλὰν τᾶς ἱερέας καὶ τᾶς προφητίδος. | — [μὴ πο]τίζην δὲ μηδὲ κτήνεα μηδὲ βοσκήματα ἐν τῶ τεμένει.

Initio εἰς τὸ τέμενος | θύσοντα]ς κτλ. [κἀγνοῖς]. *Παπαβ.* vs. 5 τοκ]άτω (*Παπαγ*). 6 τετοκ.: de vi perfecti cf. Wackernagel Studien zum griech. Perf. 19sq. τεσσαρ.: cf. WHRoscher LpzBer 61, 29. 7 [ἀπὸ δὲ φθάρ]τω aut φθό]ρω Ilberg LpzBer 61, 183. 10 [ξένοις]. *Παπαβ.* 12 γυναῖκες nom. loco acc.; cf. ad nr. 320. 426. 14. 17 cf.: in aliquot sacris ac sacellis scriptum habemus: ne quod scorteum adhibeatur, ideo ne morticinum quid adsit Varr. ll. VII 84 (Kr.). 20 προφητίδος: nota formam κοινῆς διαλέκτου.

633g Glossae ex aliis titt. Lesbiacis. IG XII 2, 68 (IIp, Myt.), 5sq. τοῖς δὲ ἀπάρχαισι - - [ταῖς δὲ] | γυναιξὶ καὶ παίδεσσι κόραις 8sq. τοῖς μὲν] | βολλάοις 11 τοῖς δὲ εἰρονείκεσσιν 12 τοῖς περὶ τὰ ἱρὰ ὑμναοιδοῖσι; cf. Be Ae 13. — 82 (bonae aet., Myt.), 3 πεσ]υρεσκαιδέκο|τος 5 πεμ[π]εκαιδέκοτος 15sqq. εἰκοιστός (quater); ‚ἐκοτόν propter psilosin Aeolicam per E non H redditur' (IG). 83 ἔνο[τος. 168 (aet. Aug.) et saepius παιδόπαιδι. 242, 9sq. (p. Chr. n., Myt.) ἐπιτελέσσαντα ταὶς | ἠρώναις παίσαις; cf. BeAe 25. 257 (aet. Rom.) ματροίαν (cf. Wackernagel Gl 7, 228). IG XI 4, 1064 (II in., foedus Myt., Meth., Er., Antissae) B 15 ἐξηκοιστᾶς 17 ταὶς ὀνναίς (cf. Kretschmer Wiener Eranos 1909, 123sq.) 21 τᾶν ὀνν[ᾶν 24 τᾶς τριακοιστᾶς; cf. ad nr. 620, 39. — Nomina mensium (IG XII 2 p. 154) Myt. Θεοδαίσιος (Θεδαίσιος? IG XI 4, 1064 A 1) Κορύδιος Πανθήιος Τέρφειος (Be Ae p. 62) Φράτριος, Eresi Ἀγερράνιος Ὁμολόιος.

---

634 [²429] In insula Neso (hodie *Μοσχονήσι*). Stela marmoris caerulei a duobus lateribus inscripta. στοιχ. 319/7. — Nasiotarum decretum de honoribus Thersippo tribuendis. — CIG 2166c (vss. 1—16 e Graeco diario). *Εαρινος* *Μκβ 2, 127. Droysen Hell.² II 374/6 (A). Hicks ¹138. DI 304. Ho 2, 129. Mi 363. IG XII 2, 645. DittOr 4. So 8. Bu 23 (A). Cf. Be Ae 42.

A - - - κα]ὶ Ἀλέξανδρο[ς] | [............... χ]ώρας τᾶι πόλι καὶ | [........... ὅτα δὲ] Ἀλέξανδρος διάλ[λα|ξε τὸν ἐξ ἀνθρώπ]ων βίον, Φίλιππος δὲ [ὁ Φιλίππω καὶ] Ἀλέξανδρος ὁ Ἀλεξάνδρω τ[ὰ|μ βασιλεί]αν παρέλαβον, Θέρσιππος, ἐὼν | [τοῖς βασ]ιλήεσσι φίλος καὶ τοῖς στροτ[α|γοῖσι] καὶ τοῖς ἄλλοισι Μακεδόνεσσι, μ[ε|γάλ]ων ἀγαθῶν αἴτιος γέγονε τᾶι πόλι· Ἀν[τιπ]άτρω γὰρ ἐπιτάξαντος χρήματα εἰς | τὸμ πόλεμον εἰςφέρην, πάντων τῶν ἄλλων | εἰςφερόντων Θέρσιππος παργενόμενος | πρὸς τοὶς βασιλῆας καὶ Ἀντίπατρον ἐκο[ύ]|φισσε τὰμ πόλιν· ἔπραξε δὲ καὶ πρὸς Κλε[ῖ]τον περὶ τᾶς εἰς Κύπρον στρατείας καὶ ἐ|[κ μεγάλα]ς δαπάνας εἰς μι-

κρὸν συνάγαγε· | [ἐγένε]το δὲ καὶ περὶ τὰν σιτοδείαν ἀνὴ[ρ | ἀγαθὸς] καὶ πὰρ τῶν σαδραπᾶν εἰςαγωγὰ[ν | σίτω κα]τεσκεύασσε· ἔδωκε δὲ καὶ τᾶι πόλι [χρήματ]α εἰς σωτηρίαν καὶ τόκοις ἐλάσ[σο|νας ἄιτ]ησε τῶγ κατεστακόντων· ἐβαθόη | [δὲ χρη]μάτεσσι καὶ τοῖς πολίταισι εἰς [σι|τωνία]ν. καὶ Πολυπέρχοντος εἰς τὰν Ἀσ[ίαν | σταλέν]τος διώικησε φίλον αὐτὸν τᾶι πό[λι ὑπά]ρχην· παρεσκεύασσε δὲ καὶ Ἀρραβαῖ|[ον καὶ] τοὶς ἄλλοις τοὶς ἐπί τινων τετα|[γμένο]ις ὑπὸ τῶν βασιλήων φίλοις τᾶι π[ό|λι· τά] τ᾽ ἄλλα πράσσει μετ᾽ εὐνοίας πρὸς | [τὸν δ]ᾶμον πάντα· — δεδόσθαι αὐτῷ ἀτέλει[αν πάντω]ν τὸμ πάντα χρόνον καὶ αὐτῷ κα[ὶ ἐκ|γόν]οισι· στᾶσαι δὲ αὐτῷ καὶ εἰκόνα χαλ[κί|αν]· δεδόσθαι δὲ καὶ σίτησιν ἐμ προτανη[ί|ω· κ]αὶ ὅτα κε ἁ πόλις ἱροποῆται, μερὶς δ[ι|δώ]σθω Θερσίππω καὶ τῶν ἐκγόνων αἲ τῷ γ[εραι]τάτωι· κάλησθαι δὲ καὶ εἰς προεδρίαν· | [στε]φανώτω δὲ αὐτὸν ὁ χοροστάτας αἲ ὁ ἐν[ε|ών] ἐν τῷ ἀγῶνι καὶ ὀγκαρυσσέτω ἀνδραγ[α|θί]ας ἕνεκα καὶ εὐνοίας τᾶς πρὸς τὸν δᾶ-|[μον], ἵνα γινώσκωισι πάντες, ὅτι ὁ δᾶμος ὁ [Να]σιωτᾶν τοὶς ἀγαθοὶς ἄνδρας καὶ εὐε[ρ|γέ]ταις τιμ[ᾶι] καὶ σωθέντος αὐτῷ ἐστεφα|[να]φόρησεν ἀμέραις τρῖς καὶ εὐαγγέλια | καὶ σωτήρια ἔ[θ]υσε καὶ παν[άγυ]ριν συνά|γαγε δαμοτελὴν καὶ νῦν τιμᾶι δικάως. ἀναγράψαι δὲ τοὶς ταμίαις τοὶς μετ᾽ Ἡρα|κλείτω τὸ ψάφισμα εἰς στάλλαν λιθίναν | τῷ ἐκ Θέρμας λίθω καὶ στᾶσαι, ὅππα κε Θε[ρ]|σίππω συνα[ρ]έσκη μέχρι Πορνοπίας· ἐξέ[σ]|τω δὲ Θερσί[π]πω καὶ ἄλλα ὅππα κε θέλη τῶ[ν ἱ]ρῶν στᾶσα[ι] τὸ ψάφισμα καἲ κέ τι θέλη π[ρ]|οσγράφην, ἔμμεναι αὐτῷ, τῶγ κεν εὐεργε|τῆ τὰμ πόλιν.

B - *π* - - | . . . *ισι τοὶ[ς ἐ|ξε]τασταὶς [ἐπ|ιμέ]λεσθα[ι· παρέχ]ην δὲ α[ὐτῷ | τὰ] ἱρήια [καὶ ο|ἶν]ον καὶ τ[ἄλλ|α] τὰ περὶ τ[ὰν θ|υ]σί[αν], ἵνα* (*quinque vss. evanidi*) . . *κ]αὶ ἐν τᾷ [βο|λ]λᾷ. | π[ερὶ | ὧ]ν (Κ)ρέων Π[λει|σ]τάρχειο[ς εἶπε, δ]ᾶμος ἔ[γνω | Δ]αματρίο[ισι | ἐ]γ κυ[ρ]ία ἐκ[λ|ησί]α· ταὶς δω[ρ|εαὶ]ς παίσαι[ς τα]ὶς δεδομέ[ν|α]ις Θερσίππω | [ὑ]πὸ τῷ δάμω κα|[ὶ] ἐκγόνοισι δ|[ια]μένην εἰς τ[ὸν π]άντα χρόν|[ον], καθ[ά]περ ὁ δ|[ᾶμ]ο[ς] ἔδωκε κα|[ὶ μὴ ἔ]μμεναι π|[ὰρ] ταῦτα μήτε [ἄ]ρχοντι προθ|[έ]μεναι μήτε ῥ|[ή]τορι εἶπαι μ|[ή]τε ἐπιμηνίω | [ἐ]σενῖκαι· αἰ δ[έ] κέ τις ἢ ῥήτω|[ρ] εἴπη ἢ ἄρχων | [ἐς]αγάγη ἢ | [ἐπ]ιμήν[ι]ος ἐς|[εν]ίκη, ἄκυρά τ[ε] ἔστω, καὶ ὀφε|[λ]λέτω ἕκαστο|[ς] στατῆρας τρ|[ια]κοσίοις ἱρ|[οὶ]ς τῷ Ἀσκλαπ[ιῷ,] καὶ ἐπάρατ|[ος] ἔστω καὶ ἄτι|[μος] καὶ γένος | [ε]ἰς τὸν πάντα | [χρ]όνον καὶ ἐν[εχ]έστω τῷ νόμ|[ω π]ερὶ τῷ καλλ|[ύο]ντος τὸν δᾶ|[μον]. τὸ δὲ ψάφι|[σμ]α τοῦτο ἀνα[γρ]άψαι τοὶς [ἐ|ξ]εταστaὶς εἰ|[ς τ]αὶς στάλλα|[ις] ταὶς ὑπὲρ τ|[ῶν δ]ωρητᾶν κα[ὶ τὸ] ἀνάλωμα | [δόμεναι - -].*

A 2sq. cf. Be. 19 *κατεσκ.*: *κασσκε[υ]|άσσαντος* IG XII 2, 547, 6sq. (Eresi). 28 *τά] τ' ἄ.* Wiegand AM 29, 256; *κα]ὶ τἄλλα* priores. 38 *ἔνεκα*: in titt. rec. (Ho 2 p. 480) forma facticia *εννεκα* (Bechtel GöttNachr 1918, 405). B 18 (*K*): *ε* l.; *Ἔρ(γ)ων* Ditt.; sed cf. Be. 21 *Δ]αμ.*: Wilhelm ZöGy 1913, 589. — De forma dativorum I. et II. decl. (*αι, ω*) et coniunct. (*η*) huius tituli aliorumque Lesbiacorum egit TKehrhahn KZ 46, 296/308. — Diversa a Naso insula erat insula Pordoselene (de nominis formis cf. Be Ae 44; *Πορδοσιλ.* in nummis V[a]), hodie ut videtur *Πύργος*.

---

635 Meliboeae (hodie Polidendri) Thess. IV/III. — Dedicatio. — Woodward JHSt 33, 314.

Εὐ[ρύ]λοχ[ος] | Ἁγελάεος | Τενέδιος | ἀνέθη[κε].

---

636 [[2]432] Erythris. Marmor album. ca. 150. — Tenediorum decretum in honorem Erythraeorum; cf. nr. 623. — Christ MünchBer 1866, 1, 248/63. DI 305. Ho 2, 130. Mi 355. Cf. Be Ae 41. Wilh. Beitr. 174.

[ἔδοξε τᾶ βολλᾶ καὶ τῶ δάμω ....]ς εἶπεν· | [ἐπεὶ εὔνοι]α καὶ φιλαν[θρωπία ἐστὶ] τᾶ πόλε(ι) τᾶ Τενε|[δίων πρὸς] τὸν δᾶ[μον τὸν Ἐρυθραίω]ν καὶ ἀποσ|[τέλλαν]τος τῶ δ[άμω πρεσβευτὰ]ν πρὸς Ἐρυθραί[οις, ὅστι]ς ἀξιάσει αὐτο[ὶς καὶ] παρκαλεῖ φίλοις ἐόντας | [τῶ δά]μω τῶν Τενεδίων ἀποστέλλαι δικασ|[τὰν εἰ]ς Τένεδον, ὁ δᾶμος [ὁ] Ἐρυθραίων πολ|[λὰν πρ]όνοιαν ποείμενος [τ]ᾶς πόλιος ἀπέστε[λ|λε δικα]στὰν Διόδοτον [Κλεω]νύμω ἄνδρα κα[λὸν καὶ] ἀγαθόν, ὅστις παραγενόμενος εἰς τὰ[μ | πόλιν ἐ]δίκασε ταὶς δίκαις πάντεσσι ἴσως | [καὶ δικ]αίως, καὶ ὁ δᾶμος ἐψαφίσατο τιμᾶσα[ι | τὰμ πό]λιν τὰν Ἐρυθραίων τιμαῖς ταῖς κὰτ το[ὶ]ς νόμοις]· δεδόχθαι τᾶ βολλᾶ καὶ τῶι δάμωι· [ὅπως φαίν]ηται ὁ δᾶμος ὁ Τενεδίων διατη[ρέων | τὰ ὑπάρ]χοντα ἑαυτῶι φιλάνθρωπα πρὸ[ς τὸν | δᾶμον τὸ]ν Ἐρυθραίων, ἐπαινῆσαι τὸν [δᾶμον τὸν | Ἐρυθραίων] ἀρετᾶς ἕνεκα καὶ εὐνοί[ας .....

vs. 2 suppl. Be; (*ι*) deest in l. 5 *ὅστι]ς* WSchulze GöttAnz 1897, 878. 7 [*ὁ*] Be. 8 *ποείμενος* i. e. *ποήμενος* Be Ae p. 29sq. 41sq. (*βασιλεῖες*, sed *ἀλιῆϊ*, *γναφῆϊ* in tit. Nesiotarum IG XII 2, 646, 46). 15sq. Be. Wilh.

---

2. Tituli Aeolici continentis Asianae (nr. 637—647) et originis incertae (nr. 647a—649).

637 Thymbris. Lapis sepulcralis marmoreus. V. — *Newton Travels and discoveries I 135. 355. Le Bas III 1743 l. IGA 504 (ex Hirschfeldi apographo). DI 308. Rob 166c (p. 325). Ho 2, 131. Im 35.

Πύθα : Ἀπελ[λαία] | Φεδίō : γυ[νά].

638 [²426] Cebrene. In pariete sepulcri sarcophago similis. Ante 400. — Le Bas III 1743m. Kirchh. BerlMBer 1879, 493/7. Lolling AM 6, 118/20. Im 35. DI 307. Rob 166b (p. 324sq.). Ho 2, 132. Fabricius BerlBer 1894, 913/5. So 5. Bu 20. Cf. Be Ae 68.

σ[τάλλ]α 'πὶ Σθενείαι ἐμμὶ τō Νικιαίōι τō Γαυκίō.

σ[ᾶ]μα Loll., defendit Fabr.; *στ.* alii. *Γ(λ)αυκίō[ι* Kirchh. alii; *Γ(λ)αυκίō[νος* Be Ae; *Γαυκίō* So; ad usum gen. cf. ad nr. 440 et *Διοκλείδα*: *θε̄κα⟨ν⟩*: *τō Φι(λ)λείō⟨ν⟩*: *τ(ō) Βο(λ)λίδα* (Cebrene) Fabricius l. c.; cf. RMeister IF 25, 315sq.

---

639 Neandreae. Basis. Ante 400. — Dedicatio. — Kirchh. BerlBer 1891, 963/6. Koldewey Winkelm Progr 1891 p. 27sq. 50. Ho 2, 178. Im 35. Cf. Be Ae p. 28. Wilh. Beitr. 7sq., de litteratura Kretschmer Einl. 240. Wiedemann Klio 8, 525.

τόνδε τὸν ἀνδ[ριάντα 'Από]λλōνα ὀνέθε̄|κε 'Ερμ[έ]ας ἀρα[σαμένō] τō παιδὸς | ὁγεμάχ[ειος].

Suppl. Wilh. *ὁγ.* i. e. *ὁ 'Αγ.* Kirchh. alii; -*[ειος]* Be, -*[ιος]* Wilh.

---

640 [² p. 285] Assi. IV/III? — Catalogus mensurarum et ponderum publicorum. — Allen AJPh 3, 463sq. Sterrett Papers AmSch 1, 4/6. Ho 2, 135. DS 501 ³945. Bleckm 56.

[τ]ὰ σκεύεά ἐσ(τ)ι δαμόσια ἐπὶ | ἀγορανόμω Μεγιστία Σωγενεί|ω· ἡμιμέδιμνοι χάλκιοι τρεῖς, | ἡμίεκτα ἐννέα : διχοίνικα δέ[κ]α : χοίνικες ἑπτά : τρίχοα | [χ]άλκια τέσσαρα : ἡμίχοον : ἄλ|[λο ἡμ]ίχοον χωνὰν ἔχον : στα|[θμὰ χ]άλκι[α :] τάλαντα τρί[α : | [- - π]εντάμναον .... - - -τε ....

vs. 1 *τὰ*: ,haec'; (*τ*): *σ* l.; cf. Be Ae p. 8, 1; parum tribuendum *'Αγδίσσιδι* | (*Κλέοθθις*) IG XII 2, 524 (Meth.; e Kieperti apographo CIG 2211b). — In nummis *'Ασσιον* (V/III), *'Ασσίων* (aet. imp. Rom.) Head 542, (*Η*)*έσσιοι* in titt. Atticis (ex. gr. IG I 226. 230. 234; Meisterhans³ 16, 78. 86, 727).

---

641 [² p. 286] Assi. IV/III? — Lapides sepulcrales. — Allen AJPh 3, 462sq. Sterrett Papers AmSch 1, 73/5. Ho 2, 144.

1) *Λάριχος | 'Αϊκλείδα.* — 2) *'Ασιννὼ | 'Ανοδικεία.* — 3) *'Αϊκλείδας | Λαρίχω.* — 4) *'Αλέκτρα Λαριχεία.* — 5) *Λάριχος | 'Αϊκλείδα.* — 6) *'Αμενναμενὸς Λαρίχω.* — 7) *'Α(δ)έα | 'Ηροΐδα.*

1 *Λαρ.*: *μικρὸς λάρος* Wil. Sappho u. Sim. 23; aliter Be hPN 279. 4—7 litt. paullo recentioris. 6 *'Αμυνν.* Ho (cf. *"Αξων | 'Αμυνναμένω* Ho 2, 145); *ε* defenderunt WSchulze GöttAnz 1897, 894; Be D 1, 37. 92. 7 (*δ*): *λ* l.; cf. *'Αδέα Νικασιδίκω* AM 9, 48 (WSchulze l. c. 882, 2).

---

642 Pergami. Basis lapidis nigri. V. — Dedicatio. — Hepding AM 32, 303/5. Be Ae 70. Cf. DI IV p. 861. Fraenkel IF 28, 232.

[Π]οτοιδᾶνι 'Ανδρομέ̄δε̄ς | [Π?]ολείō.

Dubium est num titulus Aeolicae sit dialecti (Hepding, Fraenkel); ad gen. patronymici loco positum cf. Fraenkel l. c. et tit. hominis Mytilenaei Iade scriptum *Δεινόμαχος | Τερφηΐō | Μυτιληναῖος | Ἀφροδίτηι* Naucrati VI (Hogarth ABS 5, 38). Cf. nr. 618.

---

643 Myrinae. III? — Tit. sepulcralis. — Be Ae 55 (e *Pottier et Reinach, La nécropole de Myrina 113).

Ἁγίττα Διννύκα, | χαῖρε.

---

644 Aegis. Lapis. IV extr. (Rein.) aut IV/III (K.-Pr.). — Foedus Aegeensium et Olympenorum. — SReinach REGr 4, 268/75. RMeister IF 1, Anz. 203sq. Ho 2, 155a (p. X). Mi 13. JKeil et von Premerstein WienDenkschr 53, 2 nr. 203. So 9. Cf. WSchulze KZ 33, 132sq. Be Ae 45. Kretschmer Gl 3, 301. Buck ClassPh 8, 153. Vollgraff Mn 47, 68/71.

- μα . . | - - αιλ . . . | - - οιο . . . | - - εμι . - - ἐξωμ|[ίδας . . . .] ἄδολα Ἀμ|[όργι]ν[α] τριημίσ[εον], ἱμά[τι|α ἐρί]ων, οἶνον. ὄκοσσον| . . . ωνοισι . ἐν Ὀλύμπ[ω] ἔ[ρι]ον, ὄττι κε ᾖ, μὴ ἐργά[ζ]|εσθαι. τὰ ἐγκλήματα, ὄσ|σα ἔον Αἰγαέεσσι καὶ Ὀλυ|μπηνοῖς πρόσθε τᾶς ὑμ|ολογίας, πάντα διαλελύσθαι. ἔπεροι καὶ ἀρνη|άδες ἐρίων ἀτελέες· χ|ιμαιράδες, αἴ κε τέκοισι, | ἀτελέες· ἀρνηάδων ἔ|ταλα ἀτελέα.

vs. 8 *ὄκ.* K-Pr. Kr.; *κὄσσον* i. e. *καὶ ὄσσον* aut *ὄ(π)οσσον* Be. 9 *ἐργ]ωνοῖσι* K-Pr., quod in dubium vocavit Be; *ὀψ]ωνοῖσι* i. e. *-οῦσι* Vo. (an *κ᾽ ὀψ.*?). *Ὀλύμπ[ω]* Kr., *-[η]* priores. Comma priorum post *Ὀλ.* positum delevit Vo. 11 *ἔον*: cf. ad nr. 440, 6. 12 *Αἰγ.*: cf. *ὄροι Αἰγαέων (Μυρινάων)* WienDenkschr 53, 2 nr. 204/7; in nummis *Αἰγαε* III, *Αἰγα(ι)εων* II et I (Head 552). 12sq. *Ὀλ.*: ad *η* cf. *Ἀρίστα, Ζώη Βακχωνείω μάτηρ, | Ἀφροδίτα, Ἀθήνα Ἰδήνα Ὑπακόω* IG XII 2, 476, 7sq. (aet. Rom., ex agro Myt. trans Euripum).

---

645 Cymae. Nummus aeneus. — Imhoof-Blumer ZfN 20, 278 nr. 15; Be Ae 52.

Ἰκέρτης (i. e. *Ἰφικράτης* Be).

Cf. *Ἰδρόμας Ἐχιναῖος* DS ³492, 10 (Be Namenst. 28).

---

646 Cymae. Stela marmorea. II in. — Proxenia. — Baltazzi BH 12, 360/2. Ho 2, 156. Mi 511. Plassart et Picard BH 37, 168sq.

[γ]νώμα τᾶς βολλᾶς· ἔδοξε τῶ δάμ[ω]· | Φιλίσκω τ[ῶ Φ]ιληράτω Κυραναίω εὐεργέτα | ἐόντι δόμεναι καὶ αὐτῶ καὶ ἐκγόνοισι προ|ξενίαν καὶ προεδρίαν καὶ ἀτέλειαν πάντων καὶ εἰςαγωγὰν καὶ ἐξαγωγὰν καὶ εἴςπλουν | καὶ ἔκπλουν καὶ πολέμω καὶ εἰρήνας ἀσυλὶ | καὶ ἀσπονδὶ καὶ Κυμαῖον ἔμμεναι καὶ α[ὐ]|τὸν καὶ ἐκγόνοις ἐντίμοις εὐθύς, καὶ ἐᾶν ἃ | οἱ πρόσθε ἐπέδοντο, π[ά]ντα ν(ῦ)ν ὁμοῦ γενέσθαι. (αὐ)τὸν(?) τᾶγ κοινᾶν τιμᾶν μετέχην καὶ γᾶς | καὶ οἰκίας ἔγκτησιν καὶ δίκαις προδίκοις, | καὶ ὄττι κέ τις πρίαται παρὰ

Φιλ[ίσκω τ]ῶ Φιλη|ράτω ἢ τῶν ἐκγόνων τῶμ Φιλίσκω ἢ ἀποπε|ράσσει πρὸς τούτων τινά, ἀτελέα ἔμμεναι τῶ περὶ τούτων τέλεος. τὰγ γνώμαν εἶπεν | Ἀριστογείτων Ἡρακλείδα, ἐκκλησία ἐπή|σ|τακε στραταγὸς Ἀριστογείτων Ἡρακλείδα, | μηννὸς Τερφέος ἐνάτα ἀνομένω, ἐπὶ πρυ|τάνιος Ἀριστίππω τῶ Ἀλκίππω.

vs. 10 (αυ): deest in l. 14 ἀτελ[έα] Wilhelm GöttAnz 1900, 92 sq. EA 1904, 91. 16 ἐ]πήστακε Plassart et Picard BH 37, 166; ἐπή. ib. 166/8 vs. 9 (ca 250, Cym.); cf. Kretschmer Gl 7, 327. 18 *T.*: cf. Be Ae p. 61 sq.; cf. μηννὸς Ἁμαλω[ίω Ho 2, 157, 17 (Π., Cum.); μηννὸς] Πορ[νο]πίω ἐνότ[α ἀνομένω Pl. et P. ib. 166/8 vs. 9 sq.; nr. 647, 54. — E tit. Mi 510 (IV extr., Cym.) ἐγδεδίκακε παίσαι[ς] (scil. δίκαις) αὐθιτελέας ἀνεριθεύτως (corr. Wilhelm GöttAnz 1900, 92).

647 [²437] Cymae. Lapis. 2/14 p. — Honores. — Caylus Recueil d' antiquités 2 (Par. 1756), tab. 56/8. CIG 3524. DI 311. Ho 2, 173. Bu 24.

[- - - δαμ]οσίαι[ς | - - ταὶς ὑπαρχοί]σαις αὐτῶ κτή|[σιας ἐν τῶ Ζμαραγήω . . . . . .]η τούτοισι τῶ δά[μω | . . . .]ονια πασσυδιάσαντος καὶ [μεγαλο]πρεπεσ(τά)ταις τειμαῖς δογματίζοντος καὶ ναυ|ῶ ἐν τῶ γυμ(ν)ασίω κατείρων προαγρημμένω, ἐν ὦ ταὶς τει-|μαὶς αὐτῶ κατιδρύσει, κτίσταν τε καὶ εὐεργέταν προσονυ|μάσδεσθαι εἰκόνας τε χρυσίαις ὀντέθην, καθὰ τοῖς τὰ μέ|γιστα τὸν δᾶμον εὐεργετησάντεσσι νόμιμόν ἐστι, μετά (τ)ε τὰν ἐξ ἀνθρώπων αὐτῶ μετάστασιν καὶ τὰν ἐν|ταφὰν καὶ θέσιν τῶ σώματος ἐν τῶ γυμνασίω γενήθην, | ἀποδεξάμενος ὑπερθύμως τὰν κρίσιν τᾶς πόλιος Λα|βέων, στοιχεὶς τοῖς προυπαργμένοισι αὐτῶ καὶ προσμε|τρεὶς τὰν ἑαυτῶ τύχαν τοῖς ἐφίκτοισιν ἀνθρώπω, τὰν μὲν ὑπερβαρέα καὶ θεοῖσι καὶ τοῖς ἰσσοθέοισι ἁρμόζοι|σαν τᾶς τε τῶ ναῶ κατειρώσιος τᾶς τε τῶ κτίστα | προσονυμασίας τειμὰν παρητήσατο, ἀρκέην νομί|ζων τὰν κρίσιν τῶ πλάθεος καὶ τὰν εὔνοαν ἐπιτεθε|ωρήκην, ταὶς δὲ τοῖς ἀγαθοῖσι τῶν ἀνδρῶν πρεποίσαις ἀσμενιζοίσα χαρᾶ συνεπένευσε τειμαῖς· ἐφ' οἷ|σιν πρεπωδέστατόν ἐστι τῶν ἐννόμων ἐόντων | χρόνων τὰν παντελέα τῶν εἰς ἀμοιβὰν ἀνηκόντων | ἐπαίνων τε καὶ τειμίων περὶ τᾶς καλοκἀγαθίας αὐτῶ | μαρτυρίαν ἀπυδεδόσθαι· δι' ἃ καὶ τύχα ἀγαθᾶ δεδόχθαι τᾶ βολλᾶ καὶ τῶ δάμω· ἐπαίνην Λαβέωνα παίσας ἐόντα τει|μᾶς ἄξιον καὶ διὰ τὰν λοιπὰν μὲν περὶ τὸν βίον σεμνότατα | καὶ διὰ τὰν φιλοδοξίαν δὲ καὶ τὰν μεγαλοδάπανον εἰς | τὰν πόλιν διάθεσιν, καὶ ἔχην ἐν τᾶ καλλίστα διαλάμψει τε καὶ | ἀπυδοχᾶ καὶ κάλην εἰς προεδρίαν καὶ στεφάνων ἐν πάντεσσι τοῖς ἀγώνεσσιν, οἷς κεν ἁ πόλις συντελέη, ἐν τᾶ τᾶν | κατευχᾶν ἀμέρα ἐπὶ τᾶν σπονδᾶν κὰτ τάδε· ὁ δᾶμος στε|φανοῖ Λεύκιον Οὐάκκιον Λευκίω υἱὸν Αἰμιλία Λαβέωνα φι|λοκύμαιον εὐεργέταν στεφάνω χρυσίω ἀρετᾶς ἕνεκα | καὶ φιλαγαθίας τᾶς εἰς

ἑαυτόν. ὀντέθην δὲ αὐτῶ καὶ εἰκόνας, γραπτάν τε ἐν ὅπλω ἐγχρύσω καὶ χαλκίαν, κὰτ τὰ αὐ|τὰ δὲ καὶ μαρμαρίαν καὶ χρυσίαν ἐν τῶ γυμνασίω, ἐφ' ἆν ἐπ(ι)|γράφην· ὁ δᾶμος ἐτείμασεν Λεύκιον Οὐάκκιον Λευκίω | υἱὸν Αἰμιλία Λαβέωνα φιλοκύμαιον εὐεργέταν γυμνασι|αρχήσαντα καλῶς καὶ μεγαλοδόξως, ὀνθέντα δὲ καὶ τὸ βαλανῆον τοῖς νέοισι καὶ πρὸς τὰν εἰς αὐτὸ κοραγί|αν ταὶς ὑπαρκοίσαις αὐτῶ κτήσιας ἐν Ζμαραγήω καὶ ἐ|πισκεάσαντα τὸ γυμνάσιον καὶ ἕκαστα ἐπιτελέσαντα | λαμπρῶς καὶ μεγαλοψύχως, ἀρετᾶς ἕνεκα καὶ εὐνόας | τᾶς εἰς ἑαυτόν. καὶ ἐπεί κε δὲ τελευτάσῃ, κατενεχθέντα αὐτὸν ὑπὸ τῶν ἐφάβων καὶ τῶν νέων εἰς τὰν ἀγορὰν | στεφανώθην διὰ τῶ τᾶς πόλιος κάρυκος κὰτ τάδε· ὁ δᾶ|μος στεφανοῖ Λεύκιον Οὐάκκιον Λευκίω υἱὸν Αἰμιλία Λα|βέωνα φιλοκύμαιον εὐεργέταν στεφάνω χρυσίω ἀρε|τᾶς ἕνεκα καὶ εὐνόας τᾶς εἰς ἑαυτόν· εἰςενέχθην δὲ αὐτὸν εἰς τὸ γυμνάσιον ὑπό τε τῶν ἐφάβων καὶ τῶν | νέων καὶ ἐντάφην, ἐν ὧ κε ἂν εὔθετον ἔμμεναι φαίνηται τό|πω. τὸ δὲ ψάφισμα τόδε ἀναγράψαι εἰς στάλαν λίθω λευ|κῶ καὶ ὀνθέμεναι εἰς τὸ γυμνάσιον πὰρ ταὶς δεδο|γματισμέναις αὐτῶ τειμαίς. μηνὸς Φρατρίω δεκάτα ἀπιόντος ἐπὶ ἱερέως τᾶς Ῥώμας καὶ αὐτοκράτορος | Καίσαρος θεῶ υἱῶ θεῶ Σεβαστῶ ἀρχιερέος μεγίστω καὶ πα|τρὸς τᾶς πατρίδος Πολέμωνος τῶ Ζήνωνος Λαοδι-|κέος, πρυτάνιος δὲ Λευκίω Οὐακκίω Λευκίω υἱῶ Αἰμιλί|α Λαβέωνος φιλοκυμαίω εὐεργέτα, στεφαναφόρω δὲ Στράτωνος τῶ Ἡρακλείδα.

vs. 5 (*τα*) deest in l. 6 *ναυω* pro att. *νεώ* esse putavit Ho; *ναῦ(ον)* CIG alii. — (*ν*) deest in l. 10 (*τ*): *γ* l. 15 *ἰσσοθ.* facticium; cf. Jacobsohn H 44, 82. 18 *πλάθεος*: cf. *ἐφάβων* 45; *χαριστάριον* (corr. e *χαριστήριον*) IG XII 2, 179 (Myt.) et nr. 174. 29 *διαλ.*: alterum *α* longum (Wackernagel Gl 7, 187). 36 (*ι*): *ε* l. 40sq. *κορ.*, *ὑπαρκ.* facticia; cf. Ho 2 p. 508. — Alii nummi Aeolidis Asianae: *Κολωνάων* (III), *Σκαψιῶν* (V), *Κυ* (iam V), *Γυρνήων* (III, Grynii; cf. Wilhelm Wien Ber 183, 3, 3sq.), *Τα* (IV, Temni) Head 543/56, *Σα* (IV, Sesti) Be Ae 71.

647ª Naucrati. Vas. VI. — Dedicatio. — Gardner Naukratis I tab. 32, 185.

Ἀντίας : κά(θ)θηκε τοῖ [Ἀπό(λ)λονι].

Ἀντ. (cf. Be hPN 60) an *-αντίας*? *κ.* i. e. *κατέθηκε* (sicut aor. gnom. Hom. *κάτθανε* e *κατέθανε*); cf. *ὁ δεῖνα μ]ε κάθθε[κε ὁ] Μυτ[ιληναῖος* Naukratis II p. 65 nr. 790 sim., ubi Ho 2, 164 *μ' ἐκ.* disiunxit; contra Wackernagel Stud. zum griech. Perf. 8 adn. (Be D 1, 79). Ad verbum dedicandi cf. cypr. *κατέθηκε*, *κατέθισαν* nr. 682, 2. 683, 4, *κατέστασε* nr. 680/2.

---

648 [²434] Lampsaci. Marmor. III. — Aeolicae cuiusdam civitatis decretum in honorem arbitri Lampsaceni. — CIG 3640. DI 318. Ho 2, 160. Mi 514.

(*fragmenta vss. 1/4 omissa*) . . . μων . . ἄμμι . . . εἰς ἄλλα καὶ . . . . | [δε]δόχθαι τῶ δάμω· ἐπειδὴ τῶ (δ)[άμω ψαφισσαμ|έ]νω δικαστὰν μεταπέμψασθαι [ἐγ Λαμψάκ|ω Λ]αμψακανοὶ ἐόντες ἄμμι συγγε[νέες καὶ εὔνο|ο]ι τὰμ πᾶσαν ἐπιμέλειαγ καὶ σπουδ[ὰν ποιή|μ](ε)νοι ἀπέστελλαν ἄνδρα καλὸγ κἀγα[θὸν Δαμ]|(ο)κρέοντα Ζήνωνος, ὃς καὶ παραγενόμεν[ος ταὶς] | δίκαις ἐδίκασσε, ταὶς δὲ καὶ διέλυσε ἴσως κ[αὶ δι|καί]|ως καὶ κὰτ τοὶς νόμοις, ἐποιήσατο δὲ καὶ τὰν [ἐπιδα]|μίαγ καὶ καθ' ὄγ καιρὸν ἐδίκαζε καὶ ἀφεθεὶς εὐκόσμ[ως καὶ] ἀξίως ἀμφοτερᾶν τᾶμ πολίων· ἐπαινέσσαι οὖν τ[ὸν] | δᾶμον τὸν Λαμψακανῶγ καὶ στεφανῶσαι ἐν τῶ ἀγῶνι | τῶν Ἡρακλείων ἀναγγέλλοντος τῶ κάρυκος, ὄττι ὁ δᾶμ|ος στεφανοῖ τὸν δᾶμον τὸν Λαμψακανῶν, ἀποστέλλ|αντα δικαστὰγ καλὸγ κἀγαθόν, ἀρετᾶς ἕνεκα καὶ εὐνοίας τᾶς εἰς ἑαυτὸγ χρυσέω στεφάνω τῶ ἐννό[μ]|ω· ἐπαινέσσαι δὲ καὶ τὸν δικαστὰγ καὶ στεφανῶσαι ἐν | τῶι ἀγῶνι τῶν Ἡρακλείων ἀναγγέλλοντος τῶ κάρυκος, ὄτ|τι ὁ δᾶμος στεφανοῖ τὸν ἀποσταλέντα δικαστὰν ἐγ Λαμψ|άκω Δαμοκρέοντα Ζήνωνος, δικάσσαντα ταὶς δί[κ]αις ὀρθῶς καὶ δικαίως καὶ κὰτ τοὶς νόμοις, ἀρετᾶς [ἕ]|νεκα καὶ εὐνοίας τᾶς εἰς ἑαυτὸν στεφάνω χρυσέω [τῶ | ἐν]νόμω. τᾶς δὲ ἀναγγελίας τῶν στεφάνων [ἐπι|μ]έλειαμ ποιήσασθαι τοὶ(ς) στραταγοίς. ὑπάρχειν δ[ὲ τῶ δ]|ικαστᾶ καὶ προξενίαμ παρὰ τᾶ πόλει καὶ ἔφοδον [ἐπὶ τ]ὰμ βολλὰγ καὶ δᾶμομ μετὰ τὸγ χρηματισμὸν | [τ]ὸμ περὶ τῶν ἱρῶν. δεῖξαι δὲ καὶ πρεσβεῖα ἐν τᾶ ἐκ|κλησία, ὄστις παραγενόμενος πρὸς Λαμψακανοὶς [τό τ]|ε ψάφισμα ἀποδώσει καὶ ἀξιάσει ποιήσασθαι τὰ[ν ἀν]|αγγελίαν τῶν στεφάνωγ καὶ παρ' ἑαυτοῖς ἐν το[ῖς Δι]ονυσίοις, καὶ ἵνα ἀναγραφῆ τὸ ψάφισμα τοῦτο [εἰς σ]|τάλαν λευκῶ λίθω καὶ ἀνατεθῆ ἐν τῶ ἐπιφ[ανεστά]|τω τόπω· χειροτονῆσαι δὲ ἐν τᾶ ἐκκλη[σία ἐφόδι]|ον τῶ πρεσβευτᾶ, ποσσᾶν [ἀμερᾶν δεήσει . . . . .] | χειροτονηθεν - - - νος προσω - - -

Apographorum menda exscribere supersedi. vs. 12 ταὶς δὲ proecdoseos defendit Be Ae 74. 31 πρεσβεῖα i. e. -ῆα; cf. ad nr. 636, 8. 33 ἀξιάσει: cf. nr. 636, 5.

649 [²441] Thebis Aegypt. in Memnonis crure sinistro. 130p. — Balbillae epigramma primum. — CIG 4725 (ex apographo antiquiore). E 990. Lepsius Denkm. XII tab. 80 nr. 110. DI 320. Ho 2, 174. Cf. Puchstein Diss. Argent. 4, 17 sq.

Ἰουλίας Βαλ(β)ίλλης,
ὅτε ἤκουσε τοῦ Μέμνο(νο)ς
ὁ Σεβαστὸς Ἁδριανός·
Μέμνονα πυνθανόμαν Αἰγύπτιον ἄλίω αὔγᾳι
αἰθόμενον φωνῆν Θηβαΐ(κ)ω 'πὺ λίθω.

Ἀδριανὸν δ᾽ ἐσιδὼν τὸν παμβασιλῆα πρὶν αὐγᾶς
ἀελίω χαίρην εἶπέ Ϝοι ὡς δυνατόν.
Τιτὰν δ᾽ ὄττ᾽ ἐλάων λευκοῖσι δι᾽ αἰθέρος ἵπποις
ε(ἰν) σκιᾶι ὡράων δεύτερον ἦχε μέτρον,
ὡς χαλκοῖο τυπέντ[ο]ς ἴη Μέμνων πάλιν αὔδάν
ὀξύτονον· χαίρω[ν κα]ὶ τρίτον ἆχον ἴη.
κοίρανος Ἀδριανὸ[ς τότ᾽] ἄλις δ᾽ ἀσπάσσατο καὔτός
Μέμνονα κἂν σ[τά]λαι κάλλ[ιπ]εν ὀψιγόνοις
γρόππατα σαμαίνο[ν]τά τ᾽ ὄσ᾽ ε[ὔ]ιδε κὤσσ᾽ ἐσάκουσε·
δῆλον παῖσι δ᾽ ἔγε[ν]τ᾽, ὥς Ϝε φίλισι θεοί.

Balbilla comes erat Sabinae Hadriani uxoris et Hadriani in itinere Aegyptiaco. vs. 1 (β): λ l. 2 (νο) deest in l. 5 (κ): χ l. 7. 15 Ϝ per γ scriptum est. 9 ε(ἰν): ἐνι l. 15 παῖσι: cf. ad nr. 651; φίλισι i. e. φίλεισι.

Pars tertia:

Tituli dialectorum Arcadicarum Cypriae Pamphyliae

(nr. 650—686 a).

I. Tituli Arcadici (nr. 650—677).

De Arcadum dialectis nuper egerunt Ruth von Velsen, De titt. Arcadiae flexione et copia verborum. Diss. Berol. 1917 et Be D 1, 313/96. Perspicuitatis causa *κα(κ)κειμέναν* (nr. 654, 24), *κὰ(μ) μῆνα* (nr. 665 A¹ 8), *κὰ(τ) τόν* (nr. 658, 7), *κὰ(τ) τάπερ* (ex. gr. nr. 656, 50), *πὲ(τ) τοῖς* (nr. 661, 16), *ἰ(ν) νηάταν* (nr. 664, 10) sim. scripsi, quamquam Kretschmer Gl 10, 216 et Be D 1, 342 sq. recte iudicasse videntur, cum priores consonas non iam auditas esse statuerunt (aliter Hermann IF 34, 354 sq.). — Exemplaribus dialectorum Arcadicarum genuinarum aut leviter vestigiis sive Dorismi Laconici (nr. 670, 1 *ἱαρῶν*, nr. 674) sive *κοινῆς* (nr. 656, 11 *λαφυροπωλίου*, nr. 657, 31. 39. 43 *-ωι*, 53 *δι' ἀνάγκας*) imbutarum additus est tit. Arcadicus Doride Achaica scriptus nr. 668; cf. R. v. Velsen l. c. p. IV/VII.

1. Tituli Tegeatici (nr. 650—660; cf. tit. Xuthiae nr. 57).

650 Fragmentum lapidis Maenalii. *βουστρ.* VI/V. — Dedicatio. — Mendel BH 25, 268. *Ῥωμαῖος* ib. 36, 353/6. IG V 2, 75 (suppl. Wil.).

[σεμνὰ λαβο̄̀ν Χρόμ]ιος Ηαλ|έαι μ' ἀνέ[θε̄|κεν ἄ]ϝεθλα·
καὶ τε̄̓πιόντα δ[ὸς λαβέν].

650ª Basis cylindrata aenea. V. — Dedicatio. — *Ῥωμαῖος* BH 36, 356/8. IG V 2, 107.

Πολέας ἐποίε̄ς.

Nihil deest; de forma pristina *ἐπ.* cf. Kretschmer Gl 6, 277.

---

651 Pila. V. — Pansitimidarum gentis privilegium primo loco sedendi. — Mendel BH 25, 267/9. Im 105. IG V 2, 113. Cf. Wilh. Beitr. 8 sq. RMeister BerlBer 1910, 162 sq. Bannier RhM 70, 393/5.

A [*τοῖ*]*ς Πανσιτιμ*|[*ίδαι*]*ς προhέδρ*|[*α*] *κε̄̓πὶ τἀτέρο*|*ι ἀγο̃νι.*
B *τοῖς Πανσιτιμίδαις* ⋮ *προhέδρα* | *τ*[*ε*]*ῖδένυ κε̄̓πὶ θἀτέροι ἀγο̃νι.*

A in latere adverso, dex., B in latere postico, sin. ab inferiore ad superiorem partem. *Πανσιτιμ.* (Wilh.): cf. aeol. (IIIª, Nesi) *ἐπὶ πρυτάνιος Παισικρέοντος* IG XII, 2, 646 A 34; cf. Be Ae p. 42; priorum lectioni *πάνσι Τιμ.* dubitans palmam detulit v. Wilamowitz BerlBer 1919, 942, 2.

---

652 Pila marmoris albi. V. — Dedicatio. — *Ἀρβανιτόπουλλος* EA 1906, 63/5. *Ῥωμαῖος* ib. 1911, 150. IG V 2, 64. Kern t. 11.

Διὸς Στ|ορπάō.

Cf. *στορπάν· τὴν ἀστραπήν.* Hes.; *στροπά· ἀστραπή. Πάφιοι.* ib. (*Ἀρβ.*; de sonis *ορ* Wackernagel apud Be D 1, 351); *Διὸς | Κεραυνō* (Mantineae, IG V 2, 288 = ²447); ad nr. 55.

---

653 [²451] Marmor. V. — Dedicatio. — Ross IG in 7. Im 105. DI 1217. Rob 276. Ho 1, 25. IG V 2, 95. Cf. Kirchh. A. 158.

Ποσοιδᾶνος, Ηερμᾶ[νο]ς, Ηēρακλέ(ο)ς. | Χαρτ -

vs. 1 (*ο*) deest in l. *Ηερμ.*: cf. *Ἑρμᾶνος Φενεοῖ* (loc.; in capite apri) IG V 2, 360. 2 Nomen dedicantis *Χάρτ[ας]* sive *[Ἀγλώ]χαρτ[ος]* et *[ἀνέθēκε]*? (IG); cf. *Χαρτίας* (Messenius) IG V 2, 368, 48 et ad nr. 76.

---

654 Stela infra fracta. *στοιχ.* ca. 390. — Lex sacra de fano Athenae Aleae. — Bérard BH 13, 281/93 (cf. ib. 17, 1sq.). RMeister LpzBer 41, 71/98. Danielsson Epigraphica (Uppsala univ. årsskrift 1890) 28/63. Ho 1, 29. Mi 695. Im 107. LS 2, 62. So 1. Bu 17. IG V 2, 3. Kern t. 22. Cf. Solmsen KZ 34, 437/48; LZiehen RhM 60, 454/7.

§ 1 *τὸν hιερῆν πέντε καὶ εἴκοσι οἷς νέμεν καὶ ζεῦγο|ς καὶ αἶγα· εἰ δ' ἂν καταλλάσσē, ἰνφορβισμὸν ἦναι· τ|ὸν hιερομνάμονα ἰνφορβίεν· εἰ δ' ἂν λεύτōν μὲ ἰνφ|ορβίē, hεκοτὸν δαρχμὰς ὀφλὲν ἰν δᾶμον καὶ κάταρϝον ἦναι* ⁞ § 2 *τὸν hιεροθύταν νέμεν ἰν Ἀλέαι ὅτι ἂν ἀ|σκēθὲς ē, τὰ δ' ἀνασκēθέα ἰνφορβίεν, μεδ' ἐσπερᾶσα|ι πὰρ ἂν λέγē hιεροθυτές· εἰ δ' ἂν ἐσπεράσē, δυόδεκ|ο δαρχμὰς ὀφλὲν ἰν δᾶμον* ⁞ § 3 *τᾶς τριπαναγόρσιος τ|ὰς ὑστέρας τρὶς ἀμέρας νέμεν ὅτι hὰν βόλēτοι ὅς μὲ ἰν τοῖ περιχόροι· εἰ δ' ἂν ἰν τοῖ περιχōροι, ἰνφο|ρβίεν* ⁞ § 4 *ἰν Ἀλέαι μὲ νέμεν μέτε ξένον μέτε ϝαστὸν | εἰ μὲ ἐπὶ θοίναν hίκοντα· τοῖ δὲ ξένοι καταγομέν|οι ἐξῆναι ἀμέραν καὶ νύκτα νέμεν ἐπιζύγιον· εἰ δ' | ἂν πὰρ τάνυ νέμē, τὸ μὲν μέζον πρόβατον δαρχμὰν ὀφλέν, τὸ δὲ μεῖον ἰνφορβίεν* ⁞ § 5 *τὰ hιερὰ πρόβατα μὲ | νέμεν ἰν Ἀλέαι πλὸς ἀμέραν καὶ νυκτός, εἰκ ἂν διε-|λαυνόμενα τύχē· εἰ δ' ἂν νέμē, δαρχμὰν ὀφλὲν τὸ πρό|βατον ϝέκαστον τὸ μέζον, τõν δὲ μειόνōν προβάτō|ν ὀδελὸν ϝέκαστον, τᾶν συõν δαρχμὰν ϝεκάσταυ, ε[ἰ] μὲ παρhεταξαμένος τὸς πεντέκοντα ē τὸς τριακα|σίος* ⁞ § 6 *εἰκ ἐπὶ δõμα πῦρ ἐποίσē, δυόδεκο δαρχμὰς | ὀφλέν, τὸ μὲν ἥμισυ ταῖ θεοῖ, τὸ δ' ἥμισυ τοῖς hιερ[ο]|μνά-*

μονσι ⁝ § 7 *εἰκ ἂν παραμαξεύε̄ θύσθεν τᾶς κελε[ύθ]|ο̄ τᾶς κα(κ)κειμέναυ κατ' Ἀλέαν, τρὶς ὀδελὸς ὀφλὲ[ν ἀν]τὶ ϝεκάσταυ, τὸ μὲν hέ̄μισυ ταῖ θεοῖ, τὸ δ' ἔ̄μισ[υ τοῖ]|ς hιερομνάμονσι* ⁝ § 8 *ταῖ παναγόρσι τὸς hιερ[ομνάμ]|ονας ἀρτύεν τὰ ἰν ταῖς ἰνπολαῖς πάντα τἆ[λλα?* ⁝ § 9 *τ]|ὸς δαμιοργὸς τὸν κόπρον τὸν ἀπυδόσμ[ιον ἐξάγε|ν] ταῖ hεβδόμαι τõ Λεσχανασίο̄ με̄νός· [εἰ δὲ μέ̄, δαρχ μὰ]ν ὀφλέν* ⁝ § 10 *τὸν Παναγόρσιον με̄να τὸν* - - | . . . *άζεν τοῖς ξένοις, εἰκ ἂν ἰόντα ἰν* - - | - *εἰ δ' ἀπιόντα ει* - - - - | - *ν δάμοι ἐφαγν* - - - - | - - *αιτοσι* - - - - - - *νον* - -.

vs. 1 *hιερ.*: nom. *ἱερής* IG V 2, 115, 1 (IV/III, Teg.); *ἱαρής* ib. 13, 10 (III; vest. Aetol., ex. gr. *εἰς]αγόντοις* 4sq.; cf. *Ἀρτεμ.*: *Ἀρταμ.* nr. 670); de accentu *περισπ.* cf. Wackernagel Gl 7 suppl. 160. *ζεῦγος* sc. *βοῶν* IG. 3 *λεύτο̄ν* socors? (Solmsen RhM 62, 332sq.); an sit *λευTον* (ad nr. 701 A 17) i. e. *λεύσσο̄ν* (cf. nr. 628, 10)? Schwyzer Gl 11, 77sq. Cf. *ἰδὼν κατειπάτω* nr. 693. 4 *hεκ. δ.*: cf. *δαρχμ. ἑκ.* nr. 429g; *Ἑκοτόνβοια, -όμβοια, Ἑκατόμβοια* IG V 2, 142, 9 (III, Teg.). 6 *με̄δ'* : cf. Hermann IF 35, 165. 7 *ἂν* i. e. *ἃ ἄν. ἐσπεράσε̄*: an *-σε*? itemque in formis similibus Arc. et Cypriis; cf. ad nr. 116. 7sq. *δυοδ.*: cf. [*ἀπὸ Τεγέας*] *Ἀπόλλο̄νι καὶ συνμάχο̄ν δεκόταν* IG V 2, 282, 2 (423, Mant.). 9 *hὰν* i. e. *ἂν*. 11 *ϝαστόν*: cf. *ϝασστυόχο̄* IG V 2, 77. 14 *μέζ. πρ.*: cf. Lommel KZ 46, 46/54; Hermann IF 35, 165. 16 *πλός* i. e. **πλϝος* **πλῆος* (alii *πλῶς*; cf. Brugmann-Thumb 247). *εἰκ* ante vocales, *εἰ* ante consonantes W Schulze BphW 1890, 1502sq. (*ὡς οὐκ: οὐ*); *εἰ κ'* olim Be Dan. So; cf. Hermann Nb 273. 274; Be D 1, 372sq. 20 *π. τ. π.*: acc. abs. 21 *ἐποίσε̄*: cf. *Ἄνοιστος* IG V 2, 173cd 8. 23 *θύσθ.* i. e. *ἔξωθεν*; cf. *θύρδα· ἔξω. Ἀρκ.* Hes. Boelte (LS); *Χατζιδάκις Ἐπιστ. Ἐπετηρ. Ἀθην.* 1905/6, 62/6. 384 (*θύ(ρ)σθεν ὡς πρόσθεν*); probaverunt Ern. Fraenkel IF 40, 87, 1; Be D 1, 366 (dubitans); Thurneysen Gl 12, 147. 29sq. *Λεσχ., Παν.*: cf. 617g, *Παναγύριος* Amphissae. De forma *Παν.* aliisque formis Arc. quae *ορ* loco *αρ* exhibent cf. Bechtel GöttNachr 1918, 404sq. (aliter Fraenkel IF 28, 250sq.). — Cf. Dugas, Le sanctuaire d'Aléa Athéna à Tégée avant le IV s. BH 45, 335/435.

654g E fragmentis legis lustralis IV s. (*Ῥωμαῖος* BH 36, 362/7. IG V 2, 4). vs. 1 *ἐς τοῖ ἱ]εροῖ ἐξίεν· τὸ δ' ἱερὸγ καθᾶραι* 2 *τ]ᾷ δὲ ὑστέραι ἰμπλατίαι ἱλάσκεσθαι* 6 *τὸν ἄρσενα [εἴ τις ἂν] ἦι [π]ὸς θηλέαι* 12 *μέστ' ἂν ἀέλιος ὀν[τέλλοι?* 13 *εἰ δὲ* - - *κα]θίξετοι ἄνθρωπον* 15 *τεθναότος* 13 *τά] τε ἰκαστὰ οἶσαι. [ε]ἰ [δ'] ἀϝέκων* 19 *καθ]αρὸς(?) τοῖ χλ[έ]οι. εἰ δὲ ὁ χλέος τοῖ* 20 *εἰ λέλαθε* 21 *εἴτε ἰν ἱεροῖ εἴτε ἰν ὁσίοι* 22 *μέ]στε ζατὸν ἔοι αμοινα λ.*

---

655 [[2]444] Stela anaglypho Fortunae ornata. 362/1. — Proxenia a confoederatione Arcadica Phylarcho Atheniensi decreta. — Le Bas II 340a. DI 1181. Ho 1, 1. Mi 193. DS 106 (cf. p. 810sq.) [3]183. Hiller v. Gaertringen AM 36, 349/60. IG V 2, 1. NachmG 35. Cf. Buck ClassPh 8, 148.

θεός : τύχη· | *ἔδοξεν τῆι βουλῆι τῶν* | *Ἀρκάδων : καὶ τοῖς* | *μυρίοις* [:] *Φύλαρχον Λυσικράτους : Ἀθηναῖον* | *πρόξενον : καὶ εὐερ-*

γέτην | εἶναι Ἀρκάδων πάντων | αὐτὸν : καὶ γένος· | δαμιοργοὶ οἵδε ἦσαν· Τεγεᾶται· | Φαιδρέας, | Ἀριστοκράτης, | Νίκαρχος, | Ξενοπείθης, Δαμοκρατίδας. | Μαινάλιοι· | Ἁγίας, | Εὐγειτονίδας, | Ξενοφῶν. Λεπρεᾶται· | Ἱππίας, | Γάδωρος. | Μεγαλοπολῖται· | Ἀρίστων, Βλύας, | Ἀρχέψιος, | Ἀτρεστίδας, | Γοργέας, | Σμίνθις, Πλειστίερος, | Νῖκις, | Λάαρχος, | Πολυχάρης. | Μαντινῆς· Φαῖδρος, | Ϝᾶχος, | Εὐδαμίδας, | Δαΐστρατος, | Χαρείδας. Κυνούριοι· | Τιμοκράτης, | Καλλικλῆς, | Λαφάνης, | Σάϊς, Σάϊς. | Ὀρχομένιοι· | Εὐγείτων, | Ἀμύντας, | Πάμφιλος, Παυσανίας, | Καλλίας. | Κλητόριοι· | Τηλίμαχος,| | Ἀλκμᾶν, Αἰσχύτης, | Δαμάγητος, | Πρόξενος. | Ἡραῆς· | Ἀλεξικράτης, Σιμίας, | Θεόπομπος, | Ἁγίας, | Ἱπποσθένης. | Θελφούσιοι· Πολέας, | Ἀλεξίας, | Ἐχίας, | Παυσανίας, | Λύκιος.

vs. 30 Πλειστ.: cf. Πληστίερος, Π]λήσταρχος IG V 2, 32, 5 (IV/III). 46 Ὀρχ.: cf. ad nr. 665. 58 Ἡρ.: cf. ad nr. 413. 64 Θελφ. iuxta Τελφ., Θελπ., Θαλπ., Τιλφ.; cf. IG V 2 p. 166.

656 [^{2}457] Tabula opisthographa. IV. — Lex de operibus locandis. — Post Graecos editores Bergk, De tit. Arcadico. Halae 1860 (KlSchr 2, 321 sqq.). Michaelis Fleck. Jbb. 83, 585/96. Le Bas II 340e. DI 1222. Ho 1, 30. Mi 585. So 3. Bu 18. IG V 2, 6. Cf. Wilh. Beitr. 21.

vs. 1. 4 *῎Αστρ.* C, *'Α(σ)πρόνου, 'Ασπρό(ν)ος* R. 2 (*ε*): *γ* l. 3 (*ρο*): fortasse *ορ* l. 4 *καιτις* i. e. *καὶ εἴ τις*; cf. nr. 792 (Hoffmann). 6 *ἀν. κτλ.* C, *πάν⟨α⟩τας ἐντοῦθε(ν) | καὶ* R.; (*ν*) deest in imagine.

792[g] E titt. Neapolitanis. Nummi s. V *Νέη πόλις*, s. IV *Νεοπολιτέων. Νευπολίτης. Νευπολιτῶν.* DI 5274. — IG XIV 716 *῞Ηβωνι ἐπιφανεστάτωι θεῶι Γ(άιος) 'Ιούνιος 'Ακύλας Νεώτερος στρατευσάμενος ἐπιτροπεύσας δημαρχήσας λαυκελαρχήσας.* 743 *Κρητόνδαι nomen phratriae.* 759, 8/14 *μὴ ἐξουσίαν ἐχέτω ὁ φρήταρχος ἢ οἱ χαλκολόγοι ἢ ὁ φρον|τιστὴς ἢ οἱ διοικηταὶ ἢ ἄλλος τις τῆς φητρίας* (sic) *τῆς 'Αρισταίω[ν]* ‖ *φρήτορα ὑπὲρ τούτων τῶν ὀνομάτων λαμβάνειν οὐ[δὲ] | πίστει δοθήσεται· ὃν δὲ ἂν ὁ δανειζόμενος διδῷ ἀλλοφρ[ή]|τορα, ἐν ἀγάρρει εἰςδιδόσθω, καὶ ἐὰν δόξῃ τῇ ἀγάρρει, | καθὼς καὶ ὑπὲρ φρητάρχου καὶ χαλκολόγων (δε)δογμάτισ|ται, τότε ἡ οἰκονομία ὑπὸ τῶν προγεγραμμένων γεινέσθ[ω]*; cf. *fretores* (i. e. *φρήτορες.* Ausonia 3, 55 sq.). 2414, 123 (tessera ossea quadrata) A *βοῦς* B *βῶς.*

---

793 Ex urbe ignota Chalcidica Siciliae. In margine paterarum acu incisi. — Dedicationes. — IGA 519/20 (e Schubringii et Holmii apographis). Im 78. Rob 183. IG XIV 595/6. DI 5279/80.

1) [[2]541] *Hι(π)ποδρόμε̄ς τόδε δο̄̃ρον Πεδιοῖ.* — 2) *'Αρϙύλε̄ς τόδε δο̄̃[ρ]ον Πεδιοῖ.*

Ηιππ., *᾽Αϙ?.* genetivi nominum *Ἱπποδρόμη*, *᾽Αρκύλη*. *Πεδιώ* est *῞Ηρα ἁ ἐν πεδίοι* (nr. 437). Wil. (IG). — Ex urbe quadam Chalcidica Siciliae aut Italiae fragmenta s. VI/V oriunda esse videntur, quae Comparetti MA 20, 830/46 edidit, e quibus maxime memorabile 5, 1 sq. *δύ|ϝο τάλαν[τα*.

---

794 [²537] Basis rudis marmorea Olympiae reperta. Probabiliter ca. 460. — Dedicatio. — Furtwängler AZ 37, 149/51. Im 78. Kirchh. A. 121 sq. Rob 180. IvO 267. Ho 3, 8. DI 5276. Cf. Preuner AJb 35, 59/62.

[Μίκυθος ὁ Χοίρō ῾Ρēγῖνος καὶ Μεσσέ]νιος ϝοικέōν ἐν Τεγέēι | [τἀγάλματα τάδε θεοῖς ἀνέθēκε πᾶσι]ν καὶ θεαῖς πάσαις· | [παιδὸς δὲ νόσον φθινάδα νοσέοντος κ]αὶ χρēμάτōν, hόσσα ϝοι πλεῖστα ἐγέ-ν[ετο δυνατὸν | ἰēτροῖς δαπανēθέντōν, ἐς ᾽Ολυμπίēν] ἐλθṓν, ἔπειτα εὐξάμεν‖[ος . . . . ἀνέθēκεν].

Supplementa Kaibelii (H 28, 60/2), probata a Dittenbergero (IvO); cf. de Micytho Hdt VII 170. Paus. V 26, 2 sqq. Diod. XI 66, 3. Preuner supplevit vs. 3 sq. *[παιδὸς ἐκ νόσō φθινάδος σōθέντος κ]αὶ χρ. h. ϝ. πλ. ἐγέν[ετο δεκάτēν ἀπēρξάμēν, ἐς ᾽Ολ.] ἐ., ἐπεὶ τὰ ēὐξάμēν.* Idem tit. repetitus est in altera (et in tertia?) basi (IvO 268. 269).

---

795 [²538] Fragmenta duo baseos lapideae Olympiae reperta. V ex. — Tit. artificis et dedicatio. — Kirchhoff AZ 36, 142 sq. 39, 83 sq. Im 79. Rob 182. DI 1169. 5277. IvO 271.

[Γλαυκί](α)ι με Κάλōν γενε[αῖ ϝ]αλεῖορ ἐποίē. |
[Γλ]αυκίης ὁ Λυκκίδεο | [τō]ι ῾Ερμῆι ῾Ρ[η]γῖνος.

Cf. Paus. V 27, 8. Hexameter dialecto Elea scriptus est. vs. 1 (*α*): *λ* l.

---

796 Dodonae. Lamina plumbea. II(?) — Consulitur oraculum. — Carapanos t. 38, 4. 4 bis. 35, 1; coniunxit Hoffmann DI 1561 AB. DS 794 ³1160/1.

A *῾Ηρακλ[ε]ίδας αἰτεῖ τὸν Δία καὶ τὴν Διώνην | τύχην ἀγαθὴν καὶ τὸν θεὸν ἐπερωτᾶι | περὶ γενεῆς· ἦ ἔστα[ι] ἐκ τῆς γυναικὸς | Α[ἰ]γλης, τῆς νῦν ἔχει.*

B *ἱστορεῖ Νικοκράτ[ει]α, τίνι θεῶν θύουσα | λώιον καὶ ἄμεινον πράσσοι καὶ τᾶς νόσου | παύσα(ι)το.*

A 3 *γεν.*: *γεινεης* Car. Cf. nr. 420. 794.

---

797 Volcis. Amphorae. Vasa fictilia Chalcidica (Chalcidis aut coloniarum occidentalium). VI. Cf. Kirchh. A. 122/7.

1) [²545] Kr.V. § 40, 1. DI 5293. — *᾽Αχιλλεύς. Αἴας. Γλ(α)ῦϙος* (*α deest*). *Πάρις. Αἰνέēς. Λεōδοϙος. ῎Εχιππος. Σθένελος. Διομέδēς.* — Nomina 1. 2. 9 dex., cetera sin.

2) [^{2}548] Kr.V. § 40, 2. DI 5294. — *Ηε̄ρακλε̄ς. Γαρυϝόνε̄ς* (*sed Γε̄ρυόνε̄ς* Kr.V. § 40, 9). *Εὐρυτίο̄ν. Ἀθε̄ναίε̄.* — Nomen 2 sin, cetera dex.

3) [^{2}546] Kr.V. § 40, 4. DI 5295. — *Sileni et Bacchae saltantes: Μυρό. [Σ]ῖμος. ϝιό̄. Ἀντίε̄ς. Μόλπε̄. Δάσο̄ν. Κλυτό̄. Ηι(π)παῖος. Ξανθό̄* (in ^{2}547 Kr.V. § 40, 3 *est Ξανθό̄ι*). *Δόρκις* (*silenus*). *Χόρα* (Kr.; -ό- *alii*). *Ὀϝατίε̄ς.* — Nomina 5. 6. 7. 8. 9. 11 sin., cetera dex.

4) [^{2}544] Kr.V. § 40, 5. DI 5296 et IV p. 890. — *Δε̄μόδοϙος. Ηιππολύτε̄. Τύξις. τοξ[εύς]. Κλυτό̄. Περίφας. Πόλυβο[ς]. Γλαῦϙος. Ξάνθος* (*equus*). *Τροπίος* (*equus*). — Nomina 2. 3 dex., cetera sin.

5) Kr.V. § 40, 12. DI 5300. — *Η[ε̄ρα]κλε̄ς. ϙύϙνυς.* — *sin.*

---

798 Amphipoli. Marmor. V ex.(?). — Tit. sepulcralis. — Munro JHSt 16, 315.

Ἑκαταίη Κωράβο̄ | Σαγγαρίο̄ γυνή.

‚Probably the earliest inscription of Amphipolis hitherto known'. M. — *Κωρ.*: de nomine cf. Be Ae 59.

---

799 [^{2}551] Amphipoli. Lapis. *στοιχ.* 357. — Decretum de exsilio Philonis et Stratoclis (cf. Dem. 1, 8). — CIG 2008 (e Leakii apographo). Le Bas II 1418. Ho 3, 14. DS 113 ^{3}194. Mi 324. Hicks 125. DI 5282. So 56. Bu 12. NachmG 39. Cf. Usteri (ad nr. 147) 32sq. Kaerst Hell. I^3 207.

ἔδοξεν τῶι δήμωι· Φί|λωνα καὶ Στρατοκλέ|α φεόγειν Ἀμφίπολι|ν καὶ τὴγ γῆν τὴν Ἀμφιπολιτέων ἀειφυγί|ην καὶ αὐτὸ̄ς καὶ τὸ̄ς | παῖδας, καὶ ἤμ πο̄ ἁλί|σκωνται, πάσχειν αὐ|τὸ̄ς ὡς πολεμίο̄ς καὶ νηποινεὶ τεθνάναι, | τὰ δὲ χρήματ' αὐτῶν δ|ημόσια εἶναι, τὸ δ' ἐπ|ιδέκατον ἱρὸν το̃ Ἀ|πόλλωνος καὶ το̃ Στρυμόνος. τὸ̄ς δὲ προστ|άτας ἀναγράψαι αὐτ|ὸ̄ς ἐ(ς) στήλην λιθίνην. | ἢν δέ τις τὸ ψήφισμα | ἀναψηφίζει ἢ καταδέχηται τούτο̄ς τέχν|ηι ἢ μηχανῆι ὁτεωιο̃|ν, τὰ χρήματ' αὐτο̃ δημ|όσια ἔστω καὶ αὐτὸς | φεογέτω Ἀμφίπολιν ἀειφυγίην.

---

2. Tituli Eretriae (nr. 800—810) et Oropi (nr. 811/2), Styrorum (nr. 813), Orei (nr. 814).

800 Eretriae. Fragmenta parietis porini. *βουστρ.* VI. — Lex. — *Παπαβασιλείου* EA 1913, 210/4 (cf. *Γεωργιάδην* ib. 214sq.). IG XII 9, 1273/4. Cf. Kretschmer Gl 7, 324sq.

AB I (*sin*) *δίκε̄ν ⁝ ἐπεὰν ⁝ κατομόσει ⁝ τίν[υ]|σθα(ι) ⁝ τρίτε̄ι hε̄μέ[ρ]ε̄ι ⁝ χρε̄́ματα | δόκιμα ⁝ κα . . υβιαιαν : μὲ̄ τείσ|ει ἐπεὰ(ν) vacat | ἐπὶ Τόλ(λ)ο̄ ⁝ ἄρχ[οντος - - - | - -] : τε̄ι hυστέρε̄ι : δύε ἒ̄ | [τρε̄ς? - -*

II (*sin*) - - εἰά[ν -]|ιαν μὲ τείσει : ἀρχὸς : ἀπὸ ῥε̄τõν : ποιε̃[ν]. | hό-στις ἂν : μὲ ποιε̃ι, αὐτὸν : ὀφέλε̄ν CD III (*sin.*) τὸς πλέοντας ἀρ[έ-σ]θαι μισθὸν | hοίτινες ἂν Π[ε]ταλὰς ἒ Κε̃ναιον | [ἀ]μείπσο̄νται ⁝ φέ-[ρε̄]ν δὲ πάντας | τὸς ἐπι[δ]έμο̄ς ἒ ὀν|õν γνόμ[ο]νας ἐλ | [λιμένι] hõ [ἂ]ν hέλο̄σι | hά σφιν ἄ[ν] ἀναμφίσβε̄τ' ἔε̄ι.

AB I 1sq. τίν[ν]. Παπ.; Wackernagel Gl 7 suppl. 255. 3 ‚κα[ττ]υβιαίαν pro καττυμιαίαν? κ. multa sit ab iis exigenda qui καττύματα commiserant; cf. Hes. κάττυμα· ἀπάτη, δόλος· συσκεύασμα· δολιότης' Hi. (IG). 6 δυϝε. Παπ.

---

801 Eretriae. Tabula lapidis caerulei. VI. — Tit. sepulcralis. — Κουρουνιώτης EA 1897, 151sq. DI 5302. Im 75. IG XII 9, 287. De litteratura cf. Wiedemann Klio 8, 525. 9, 364.

ἔνθα⟨δ|ε⟩ Φίλο̄|ν κεῖται· | τὸν δὲ κατὰ γαῖ' ἐ|κάλυσφεν | ναυτίλον· | hὸ φσυχε̃ι παῦ|ρα δέδο̄κ' ἀγαθά.

‚δ κτλ., utpote nauta genio indulgere raro poterat; δ quare, dictum ut in Eur. Hec. 13'. Wil. (IG). — [Cf. add.].

---

802 [²552] Basis marmorea tauri aenei Eretriensium Olympiae reperta (cf. Paus. V 27, 9). Probabiliter V in. — MFränkel AZ 34, 226sq. Im 76. Kirchh. A. 116sq. Rob 170. IvO 248. Ho 3, 17. Mi 1083. DI 5305.

Φιλέ̄σιος ἐποίε̄. | Ἐρετριε̃ς τõι Διί.

---

803 Eretriae. Terminus calcarius. V/IV. — *Blinkenberg Eretriske Gravskrifter 164. IG XII 9, 302.

hόρος | θήκης.

---

804 Eretriae. Tabula marmoris albi. 411. — Proxenia. — Wilhelm EA 1890, 195/200. Mi 341. DS 47 ³105. Ho 3, 19. DI 5308. IG XII 9, 187 A. Bu 13. NachmG 23.

θεοί. | ἔδοξεν τε̃ι βο̄λῆι· Ἡγέλοχον | τὸν Ταραντῖνον πρόξενον εἶ|ναι καὶ εὐεργέτην καὶ αὐτὸν κ[α]ὶ παῖδας καὶ σίτηριν εἶνα|ι καὶ αὐτῶι καὶ παιρίν, ὅταν ἐ|[π]ιδημέωριν, καὶ ἀτελέην καὶ | προεδρίην ἐς τὸς ἀγῶνας, ὡς σ|υνελευθερώραντι τὴμ πόλιν ἀπ' Ἀθηνάων.

3sq. εἶναι: cf. ad nr. 811, 32.

---

805 [²553] Eretriae. Stela marmorea. στοιχ. 410/390. — Foedus Eretriensium et Histiaeensium. — Εὐστρατιάδης EA 1872 nr. 417. Ho 3, 18. Mi 7. DI 5307. IG XII 9, 188. Cf. Wilhelm EA 1890, 197.

- - ας | [- - ποι]ῆσαι τοὺ|[ς περὶ . . . .]ν τὴν συμμαχί|[ην κατὰ τ]ὰ σύνγραφα, εἰ δὲ [μή, τὰς] νῦν ἀρχάς, ὁπόραι ἄ|[ρχ]ουριν ἐν ἑκατέρει τε̃ι | πόλει. ἐπανανεο̄σθαι δὲ τ|ὸν ὅρκον κατὰ τὴν Ὀλυμμπ|ιάδα ἑκάστην τὰς ἀρχὰς ὀμνυούρας. ὁπότεροι δ' ἂμ π|αραβαίνωριν

τὰς συνθήκ|ας, ἀποτίνειν τὰ δέκα τάλ|αντα· τῶν δὲ δέκα ταλάντω|ν τὸ ἐπιδέκατον ἱερὸν εἶναι τοῦ Ἀπόλλωνος. ἀναγρ|άψαι δὲ τὰς συνθήκας ἐν σ|τήλει, Ἐρετριᾶς μὲν Ἀμαρ|υν(θ)οῖ, Ἱστιαιᾶς δὲ ἐπὶ Κ|ηναίωι ἐν τοῖ ἱεροῖ.

vs. 18 (θ): ο l.

806 Aulone Eretriae. πλάξ. Litt. vulgaris. — Tit. sepulcralis. — Φωκίτης Αθ 14, 357. DI 5322. IG XII 9, 128.

Εὐδήνη | Μνηριπτολέμου.

Εὐδ.: cf. δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται Semon. 7, 78 (DI); cf. ad nr. 688 B 11.

807 Eretriae. Terminus calcarius. IV. — Κουρουνιώτης ΕΑ 1911, 36. DI IV p. 852. IG XII 9, 256.

ℎόρος ἱερõ | Ναυστόλō.

808 Eretriae. Stela marmorea. ca. 340. — Decretum de Artemisiis. — Παπαβασιλείου ΕΑ 1902, 98/106. Φωκίτης Αθ 14, 360 sq. DI 5315. LS 2, 88. IG XII 9, 189. Cf. Wilhelm ΕΑ 1904, 89/97.

[θ]εο[ί]. | Ἐξήκεστος Διοδώρου εἶπεν· ὅπωρ ἂν τὰ Ἀρ|τεμίρια ὡς κάλλιστα ἄγωμεν καὶ θύωριν ὡς π|λεῖστοι, ἔδοξεν τεῖ βουλεῖ καὶ τοῖ δήμοι· τιθεῖν τὴμ πόλιν ἀγῶνα μουσικῆς ἀπὸ χιλίων | δραχμῶν τεῖ Μεταξὺ καὶ τεῖ Φυλακεῖ καὶ παρέχει|ν ἄρνας τεῖ πρὸ τῶν Ἀρτεμιρίων πέντε ἡμέρας, τ|ούτων δὲ δύο ἐγκρίτους εἶναι· ἄρχειν δὲ τῆς μο|υσικῆς τετράδα φθίνοντος τοῦ Ἀνθεστηριῶνος μηνός, τὴν δὲ μουσικὴν τιθεῖν ῥαψωιδοῖς, | αὐλωιδοῖς, κιθαρισταῖς, κιθαρωιδοῖς, παρωιδοῖς, | τοὺς δὲ τὴμ μουσικὴν ἀγωνιζομένους πάντα[ς] | ἀγωνίζεσθαι προσόδιον τεῖ θυσίει ἐν τεῖ αὐλεῖ ἔ|[χο]ντας τὴν σκευήν, ἥμπερ ἐν τοῖ ἀγῶνι ἔχουρ[ι· τὰ δ]ὲ ἆθλα δίδοσθαι κατὰ τάδε. ῥαψωιδοῖ ἑκατὸν εἴ|κοσι, δευτέροι πεντήκοντα, τρίτοι εἴκοσι· αὐλωιδοῖ παιδὶ πε|ντήκοντα, δευτέροι τριήκοντα, τρίτοι εἴκοσι· ἀνδρὶ κιθαρισ|τεῖ ἑκατὸν δέκα, δευτέροι ἑβδομήκοντα, τρίτοι πεντή|κοντα πέντε· κιθαρωιδοῖ διηκόσιαι, δευτέροι ἑκατὸν πεντήκοντα, τρίτοι ἑκατόν· παρωιδοῖ πεντήκοντα, δευ|τέροι δέκα· σιτηρέσιον δὲ δίδοσθαι τοῖς ἀγωνισταῖς | τοῖς παραγενομένοις δραχμὴν τῆς ἡμέρης ἑκάστοι ἀρ|ξαμένοις μὴ πλέον τρισὶν ἡμέραις πρὸ τοῦ προάγωνος, μέ|χρι οὗ ἂν ὁ ἀγὼν γένηται· τὸν δὲ ἀγῶνα τιθ(έ)ντων οἱ δήμαρχοι ὡς ἂν δύνωνται δικαιότατα καὶ ζημιούντων | τὸν ἀτακτέοντα κατὰ τὸν νόμον· παρέχειν δὲ καὶ τοὺς | χώρους ἱερέα κριτά, βοῦς, πάντα τὰ ἔτη· συντελεῖν δὲ | τοὺς χώρους εἰς τὰ κριτὰ καθάπερ Ἡράοις· τὰ δὲ δέ|ρματα λαμβάνειν τῶν ἱερείων τοὺς τὰ κριτὰ

παρέχοντας· τοὺς δὲ τῶν ἱερῶν ἐπιστάτας κρίνειν τὰ ἱερέα | κατὰ τὸν νόμον καὶ ἐπιμισθοῦν, ἄν τις μὴ παρέχει τ|ῶγ χώρων· πωλεῖν δὲ ἐν τοῖ ἱεροῖ τὸμ βολόμενον ὅτι | [ἂ]μ βόληται ἀτελέα μὴ τιθέντα τέλος μηδὲν μηδὲ πρ|[ή]ττεσθαι τοὺς ἱεροποιοὺς μηδὲν τοὺς πωλέοντας· τὴν δὲ πομπὴν καθιστᾶν τοὺς δημάρχους ἐν τ|εῖ ἀγορεῖ, ὅποι τὰ ἱερεῖα πωλεῖται, πρῶτομ μὲν τὰ δ|ημόσια καὶ τὸ καλλιστεῖον, ἔπειτα τὰ κριτά, ἔπειτα | τῶν ἰδιωτῶν, ἐάν τις βόληται συμπομπεύειν· συμπο|μπευόντων δὲ καὶ οἱ τῆς μουσικῆς ἀγωνισταὶ πάντες, ὅπως ἂν ὡς καλλίσστη ἡ πομπὴ καὶ ἡ θυσίη γένηται· | ἀναγράψαι δὲ τὸ ψήφισμα ἐστήλει λιθίνηι καὶ στῆσ|αι ἐν τοῖ ἱεροῖ τῆς Ἀρτέμιδος, ὅπως ἂν κατὰ τοῦτα γί|νηται ἡ θυσίη καὶ ἡ μουσικὴ τεῖ Ἀρτέμιδι εἰς τὸν ἀεὶ χ|[ρό]νον, ἐλευθέρων ὄντων Ἐρετριέων καὶ εὖ πρηττόν[τ]ων καὶ αὐτοκρατόρων.

vs. 6 *τεῖ Μ. κ. τ. Φ.*: de diebus intellexit Ziehen (LS). 9 sq. *Ἀνθ.*: alii menses Eretriensium *Ἀπατουριών Ληναιών Ἱππιών*, Chalcidensium *Ἀπ. Ληv. Ἱππ. Ταργηλιών Ὀλυμπιών*, Carystiorum *Βουφονιών*, Histiaeorum *Ἄρειος Δημητριών* (IG l. c. p. 216). 24 (*ἐ*): *ο* l. 31 *ἂν* i. e. *ἃ ἄν* DI IV p. 890. 32 sq. *βολ.*, sed *βουλή* vs. 4; cf. nr. 777. 811, 31 et Be D 1, 86. 42 *τοῦτα*: cf. *ἐντοῦθα* nr. 792. 811, 17.

---

809 Eretriae. Tabula marmoris albi. — Specimen catalogi civium III in. coepti. — Totum edd. *Τσούντας* EA 1887, 82 sqq. *Σταυρόπουλλος* EA 1895, 131 sqq. DI 5313. IG XII 9, 249.

A col. 1 1 sqq. *[Β]ουδιόθεν· | Ἀπολλώνιος : Σωστρατίδου. | [Σω]σιμένης : Σωστρατίδου. | [Ἀ]μφικράτης : Ἐπικράτου. | Ἐχφαντίδης : Φαντύλου. | Κρίθων : Θαρριππίδου. | κτλ.*

Alia demorum nomina: *ἐξ Αἰγλεφείρης, Γρύγχηθεν (Γρυγχεῖς), Ἱστιάηθεν (Ἱστιαιεῖς), ἐκ Κοτυλαίου (Κοτυλαιεῖς), ἐκ Κωμαιῶν (Κωμαιεῖς), Δάκεθεν, Μινθουντόθε, Παρθενιόθεν, Περαόθεν (Περαεῖς), Ταμύνηθε (Ταμυναιεῖς), Ὠρωπόθεν (Ὠρώπιοι)*; cf. Geyer, Quellen und Forschungen zur alten Geschichte und Geographie 6, 73/9; IG l. c. p. 164 sq. — Alia personarum nomina: *Ἀλθαῖος, Ἀλίδιος* (et *Ὀαλίδιος, Ὠλίδιος*; cf. Bechtel KZ 45, 153 sq.), *Ἀπολάξιδος* (gen.), *Βαῦκος, Βίοττος, Βλέπυρος, Βουλαστίδης, Βουληκλέης, Γόργυθος, Δόριττος, Ἱστιήτωρ, Κάβων, Κόθων, Λεύκαρος, Μενοντίδης, Μίμνων, Πενπίω* (gen.), *Πρηξίοδος, Σπίνθαρος, Φύρκιππος, Ὠρώπιχος.*

809ª Eretriae. Stela marmorea. III(?). — Catalogus tironum. — *Παπαδάκης Αρχ Δελτ* 1, 169/81.

vs. 33 *ἄρχοντος Αἰσχύλου, γραμματεύοντος Θε[άγ]ου, ἐπιμηνιευόντων | Σωκρίτου, Κλειτάρχου, Εὐθυππίδου, Ἡρακῶντος, Πλουταρχίδου, Φιλίππου, Ἀπολλοδώρου, Τ[ιμ]αν[δ]ρίδου ἔφηβοι ἀπεγράψαντο* | (col. I) *Δισμαρόθεν | [Κ]τηρίας Μεγαλί[ν]ου | [Ἑ]ρμότιμος Ὀνησάνδρου | Βίοττος Διαίτωνος κτλ. | Φλιεῦθεν* (*nomina*) (col. II)

Ζαρήκιοι (*nomina*) | ***Καρκινούσιοι*** | *Ὠρωπόδωρος Κτήσωνος* | *Κτήσων Ὠρωποδώρου.* | ***Φαλλάριοι***

E priore catalogo vs. 2 *Εὐρυππίδου* col. I 21 *Τηλειδῶν* | *Πολυμήδης Ἀριστωνύμου* | *Ξενιαδῶν* | *[Λ]υσίμαχος Ἀπολήξιδος,* | *[Ἀλ]κίμαχος Ἀντιμάχου.* col. II 5 *Αἰσιλ-* (*nomina*), *Φλιεῦθεν* (*nomina*), *Ῥανγεῦθεν* (*nomina*).

810 Eretriae. Basis. II p. post. — Dedicatio. — Wilhelm EA 1892, 160. DI 5317. IG XII 9, 98.

Κλεοκράτεια Ἀπολήξιδος τὸν αὑτῆς ἄνδρα | *καὶ Ἀρκέριμος καὶ Φιλιστίδης τὸν αὑτῶν πατέ|ρα Ξενοχάρην Ἀρκερίμου Ἀρτέμιδι, Ἀπόλλωνι Λητοῖ.*

Ἀπολ.: *Ἀπόλαξις* in civium catalogis (DI).

---

811 In Amphiaraio Oropiorum. Tabula marmoris albi. 386 77 (cf. DS)? paulo ante 338? Wilh. — Lex sacra. — *ΒΛεονάρδος* EA 1885, 93/8. 1917, 231/6 (accuratissime delineavit et explicavit). IG VII 235. Ho 3, 25. Mi 698. DS 589 ^{3}1004. DI 5339. LS 2, 65. So 57. Bu 14. Cf. v. Wilamowitz H 21, 91 115; BKeil H 25, 599/606 (de dial. Orop.; cf. nr. 449).

θεοί. | *τὸν ἱερέα τοῦ Ἀμφιαράου φοιτᾶν εἰς τὸ ἱερό|ν, ἐπειδὰν χειμὼν παρέλθει, μέχρι ἀρότου ὥρ|ης, μὴ πλέον διαλείποντα ἢ τρεῖς ἡμέρας καὶ μένειν ἐν τοῖ ἱεροῖ μὴ ἔλαττον ἢ δέκα ἡμέρα|ς τοῦ μηνὸς ἐκ(ά)στō. : καὶ ἐπαναγκάζειν τὸν ν|εωκόρον τοῦ τε ἱεροῦ ἐπιμελεῖσθαι κατὰ τὸ|ν νόμον καὶ τῶν ἀφικνēμένων εἰς τὸ ἱερόν.* | *ἂν δέ τις ἀδικεῖ ἐν τοῖ ἱεροῖ ἢ ξένος ἢ δημότης, ζημιούτω ὁ ἱερεὺς μέχρι πέντε δραχμέων* | *κυρίως καὶ ἐνέχυρα λαμβανέτω τοῦ ἐζημιωμ|ένου· ἂν δ' ἐκτίνει τὸ ἀργύριον, παρεόντος τō* | *ἱερέος ἐμβαλέτω εἰς τὸν θησαυρόν. ⁝ δικάζει|ν δὲ τὸν ἱερέα, ἄν τις ἰδίει ἀδικηθεῖ ἢ τῶν ξένων ἢ τῶν δημοτέων ἐν τοῖ ἱεροῖ, μέχρι τριῶν* | *δραχμέων, τὰ δὲ μέζονα, ἧχοῖ ἑκάστοις αἱ δίκ|αι ἐν τοῖς νόμοις εἰρῆται, ἐντōθα γινέσθων.* | *προσκαλεῖσθαι δὲ καὶ αὐθημερὸν περὶ τῶν ἐ|ν τοῖ ἱεροῖ ἀδικίων· ἂν δὲ ὁ ἀντίδικος μὴ συγχωρεῖ, εἰς τὴν ὑστέρην ἡ δίκη τελείσθω. ⁝ ἐπαρ|χὴν δὲ διδοῦν τὸμ μέλλοντα θεραπεύεσθαι ὑ|πὸ τοῦ θεοῦ μὴ ἔλαττον ἐννέ' ὀβολοὺς δοκίμου ἀργ|υρίου καὶ ἐμβάλλειν εἰς τὸν θησαυρὸν παρε|όντος τοῦ νεωκόρου. κατεύχεσθαι δὲ τῶν ἱερῶν καὶ ἐπ|ὶ τὸν βωμὸν ἐπιτιθεῖν, ὅταν παρεῖ, τὸν ἱερέα,* | *ὅταν δὲ μὴ παρεῖ, τὸν θύοντα, καὶ τεῖ θυσίει α|ὐτὸν ἑαυτοῖ κατεύχεσθαι ἕκαστον, τῶν δὲ δη|μορίων τὸν ἱερέα. τῶν δὲ θυομένων ἐν τοῖ ἱεροῖ πάντων τὸ δέρμα. θύειν δὲ ἐξ|εῖν ἅπαν ὅτι ἂν βόληται ἕκαστος· τῶν δὲ κρεῶ|ν μὴ εἶναι ἐκφορὴν ἔξω τοῦ τεμένεος. τοῖ δὲ* | *ἱερεῖ διδοῦν τōς θύοντας ἀπὸ τοῦ ἱερήου ἑκ|άστō τὸν ὦμον, πλὴν ὅταν ἡ ἑορτὴ εἶ· τότε δὲ ἀπὸ τῶν δημορίων λαμβανέτω*

ὦμον ἀφ᾽ ἑκάστου | τοῦ ἱερήου. ἐγκαθεύδειν δὲ τὸν δειόμενο|ν | — | πειθόμ|ενον τοῖς νόμοις. τὸ ὄνομα τοῦ ἐγκαθεύδοντος, ὅταν ἐμβάλλει τὸ ἀργύριον, γράφεσθαι τ|ὸν νεωκόρον καὶ αὐτοῦ καὶ τῆς πόλεος καὶ ἐκ|τιθεῖν ἐν τοῖ ἱεροῖ γράφοντα ἐν πετεύροι σ|κοπεῖν τοῖ βολομένοι. ἐν δὲ τοῖ κοιμητηρίο|ι καθεύδειν χωρὶς μὲν τὸς ἄνδρας, χωρὶς δὲ τὰς γυναῖκας, τοὺς μὲν ἄνδρας ἐν τοῖ πρὸ ἠ|[õ]ς τοῦ β[ω]μοῦ, τὰς [δ]ὲ γυναῖκας ἐν τοῖ πρὸ h(ε)σπέ|[ρης - - τὸ κοιμ]ητήριον τοὺς ἐν|καθεύδοντας - - τὸν δὲ θεὸν - - -.

Omissa rasurae (vss. 6. 22. 24sq. 30. 37sq.), spatia (nihil ad rem pertinentia), reliquiae vss. 49/56. vs. 6 (*α*): *σ* in l. 8 *ἀφικνε̄μ.* Boeotorum more. DS, *ἀφικνε(ο)μ.* priores. 13 *ἐμβαλέτω* defendit Wilhelm ÖJ 14, 248, -(*λ*)*λ*- priores; cf. *ἐμβάλλωντι* nr. 74, 87; *ἐπιβαλὸν* nr. 353 A 27sq. et alia apud Leon. 1917. 16 *ἑκάστοις*: generis masc.; cf. Wilhelm WienBer 179, 6, 6/8 17 *ἐντõθα*: cf. *κατὰ τοῦτα* nr. 808, 42. 19 *ἀδικίων* So. DS³, *-ιῶν* priores. 22 *ἐννέ᾽ ὀβολοὺς* Leon. 1917, *ἐννεοβόλον* priores; *ἐνν. ο. δοκί* - in rasura. 25 *κατεύχ.*: *κατάρχεσθαι* coniecit Stengel H 43, 464. 31 *βόληται*: cf. nr. 808, 31; *βολόμενον* est in vs. 56. 32 *εἶναι*, sed *ἐξεῖν* 30sq., *εἶν* in tit. Oropio nr. 812, iuxta *εἶναι* in titt. Eretr. s. III IG 211, 10 (*εἶν καὶ*); 220, 8, in tit. Olynthio DI 5285 (e. gr. A 3sq. *συμμάχους εἶν ἀλλήλοισι κατὰ πάντας ἀνθρώπου[ς]* ‖ *ἔτεα πεντήκοντα*, B 7sq. *καὶ τῶν ἄλλων ἐξαγωγὴν δὲ εἶν καὶ δι⟨α⟩|αγωγήν*; 389/83ᵃ), in tit. Chio Delphis reperto DS³ 402, 37 *τὴν δὲ προγ]ραφὴν εἶν εἰς φυλακήν* (a. 276; cf. Wilhelm WienAnz 1922, 7sq.). 46 *H* (i. e. *hε* sec. Wil.) l. — Quominus tit. V saeculo addicatur, litteratura impedimento est. Wilh.

---

812 In Amphiaraio Oropiorum. Tabula marmoris candidi. Ante 338. — Proxenia. — *ΒΛεονάρδος* EA 1891, 107sq. IG VII 4250. Mi 202. DS 124 ³258. DI 5338.

θεός. | Δρίμων ἔλεξε· ἔδοξε | τεῖ ἐκκλησίει· ἀγαθεῖ τύχει, | Ἀμύνταν Ἀντιόχου Μακε|δόνα πρόξενον εἶν Ὠρωπί|ων καὶ εὐεργέτην· ἀτέλειαν | δὲ εἶν καὶ ἀσυλίαν καὶ πολέμου | καὶ εἰρήνης καὶ γῆς καὶ οἰκίης | ἔνκτησιν αὐτῶι καὶ ἐκγόνοις.

vs. 2 *ἔλεξε*: boeot. pro *εἶπε*; Oropus a. 366/38 foederis erat Boeotici (IG). 3 *ἐκκλ.*: deest rhotacismus sicut in *ἔνκτησιν* vs. 9. (IG). 4 Amyntas a. 333 mortuus est (IG). 5 *εἶν*: cf. ad nr. 811, 32.

812ᵃ In Amphiaraio Oropiorum. Tabula marmoris candidi. Ante 338. — Honores. — *ΒΛεονάρδος* EA 1917, 236sq.

θεοί. | Σωφίλου ἱερέος, | Ἀντιφάνης ἔλεξεν. | δεδόχθαι τεῖ ἐκκλησίε[ι] Μικυθίωνα Σφαγγειλαῖο[ν] | εὐεργέτην ἀναγράψαι | Ὠρωπίων αὐτὸν καὶ ἐκγό|νους, εἶναι δὲ καὶ ἀσυλίη[ν] | καὶ ἀτέλειαν καὶ πολέμου ἐόντος καὶ εἰρήνης | καὶ αὐτοῖ καὶ ἐκγόνοις.

vs. 5 *Σφ.* i e. *Συαγγελέα* (*Συάγγελα* Cariae oppidum, postea *Θεάγγελα* vocatum).

813[²533, 1—75] Styris. Tabellae (tesserae; cf. nr. 663?) oblongae plumbeae. V. — *Ῥουσόπουλος* EA 1862 tab. 38/9. Vischer KlSchr 2, 116/39. IGA 372 (Im 76sq.). Rob 169. DI 5345, 1—50 et add. (III 2 p. 777). IG XII 9, 56, 1—464. Cf. Kirchh. A. 116; A Körte RhM 59, 616/22.

1) *Ἀγλōχάρε̄ς*. — IG 3. — 2) *Αἴσχραος*. — 5. — 3) *Ἀντε̄γορίο̄ν*. — 19. — 4) *Ἀρκεσίλεο̄ς* (*prius scriptum Λυκōργος*) | *Ἐτοκλέ*[*ε̄ς*]. — 46. — 5) *Ἀστίε̄ς*. — 59. — 6) *Δημόκρ*(*ι*)*τος* | *Μίργων*. — 78. — 7) *Ἐαλκίδε̄ς* (*vel Εὐ.?*). — 89. — 8) *Ἐπιθρέφεος*. — 104. — 9) *Ἐπικλέε̄ς*. — 105. — 10) *Ηεσχατίο̄ν*. — 133. — 11) *Εὐβοεύς. Λεόβριμος*. — 117. — 12) *Εὐhάγε̄ς*. — 118 (*Εὐη.*). — 13) *Ζαρε̄κιάδε̄ς* | *οφα*. — 130. — 14) *Θάρο̄ν*. — 139. — 15) *Θοδίο̄ν*. — 153. — 16) *Θόρε̄ξς*. — 154 (-*ξις*). — 17) *Θόκλος*. — 454. — 18) *Ηιππṓνδε̄ς*. — 134. — 19) *Κιττίε̄ς* | *Πο* . . . — 183. — 20) *Κοκṓδο̄ν*. — 193. — 21) *Κριτίε̄ς* | *Δε̄*. — 211. — 22) *Λεάδε̄ς*. — 236. — 23) *Λεύκαρος*. — 244. — 24) *Λόφαξ*. — 247. — 25) *Λυσικράτε̄ς Οἰκōρίο̄νος*. — 255. — 26) *Μειδύλιος*. — 267. — 27) *Μελανθιάδε̄ς* | *Φειδίε̄ς* (*sin.*). — 270. — 28) *Ναυστέρε̄ς*. — 288. — 29) *Ξε̄νε̄ς*. — 309. — 30) *Πελάρε̄*[*ς*] DI 40, *Πελάδε̄*[*ς*] Audollent 307, IG 322. Cf. BeL 191. 275sq. — 31) *Ῥύμβις*. — 353. — 32) *Σπόνδαος*. — 373. — 33) *Στένων* (i. e. *Σθ*. WilhBeitr 215). — 374. — 34) *Φιλαιγίρε̄ς*. — 408. — 35) *Χαροπίε̄ς Κε* . . — 432.

---

814 Orei. Stela marmoris albi. III med. — Proxenorum catalogus — Couve BH 15, 412/5. Wilhelm AEM 15, 111/22. DS 494 ³492. Mi 659. DI 5341. IG XII 9, 1187.

ἀγαθῆι τύχηι. ἐπ' ἀρχόντων Φύτωνος | *ἐκ Πρωτείου, Φιλοστράτου Εἰλυμνιέως,* | *Εὐφραντίδου Διέως, Ἀριστομένου ἐξ* | *Ἄνω λόφο*[*υ*] *Φιλεταίρου ἐξ Ἰρίστου, Λύκωνος* | *Εἰριέως, ἱεροθύτου Τιμησιθέου τοῖςδε* | *ἔδωκεν ὁ δῆμος προξενίαν αὐτοῖς* | *καὶ ἐκγόνοις κατὰ τὸν νόμον* (*sequuntur nomina*).

Alia nomina locorum agri Oreensis in tit. DI 5342 (= IG XII 9, 1189).

Appendices.

Appendix I: Titulorum Atticorum vetustiorum specimina.

1. Vas. sin. — Tit. Atticus vetustissimus (s. VIII). — IG I suppl. 492a (p. 119). Im 69. Rob-G 390. Ge 1. Cf. Elter RhM 66, 203 (*το̄ τόδε —*); Brandenstein Klio 17, 262/5 (*τ. hεκᾶν νιν* ‚id vas eum delectet'); Kalinka ib. 268sq. (*το̄τον ἐκαύμε̄ν* ‚eo urebar'); Studniczka AA 1921, 340/4.

hὸς νῦν ὀρχε̄στο̄ν πάντο̄ν ἀταλο̄́τατα παίζει, το̄το(?) *δεκᾶν*(?) *μιν*(?).

---

2. Tit. sepulcralis s. VI med. — IG I suppl. 477p (p. 188sq.). Rob-G 368. Ge 39. Eichler ÖJ 16, 86/102.

[μνε̄μα - -]οι? [- - -] | με φίλε̄ς ⁝ παιδὸς | κατέθε̄κεν ⁝
καλὸν ἰδε̄ν· | ἀϝυτὰρ ⁝ Φαίδιμος ⁝ ἐ̄ργάσα|το.

ἀϝυτ.: cf. *ναϝυ[πε̄γός* (non att.) IG I suppl. 373, 234 (p. 198) et ad nr. 760.

---

3. Titt. sepulcrales s. VI. — IG I 467 (Im 70; legit Wilh. Beitr. 1). 468 (Im 71). 472. BritM 935.

1) *Κεραμο̄ς στε̄́λε̄, Ἐνιάλο̄ θυγατρός. Σπουδίδο̄.*
2) *Λυσέαι ἐνθάδε σε̄|μα πατε̄̀ρ Σε̄́μο̄ν ἐ̄|πέθε̄κεν.*
3) *σε̄μα τόδε : Κύλο̄ν : παίδοι | ἐ̄πέθε̄κεν : θανότοι :*
μ(ν)ε̄μα | φιλε̄μοσύνε̄ς : - - - - — π., θ. = -οιν, -όντοιν.
4) *Γνάθο̄νος : τόδε σε̄μα : θέτο δ' αὐτὸν : ἀδελφε̄̀ : hε̄λίθιον : νοσε̄λεύσα:σα.*

---

4. Dedicationes metricae s. VI. — 1) *βουστρ.* IG I 355. — 2) IG I suppl. 373, 208 (p. 101. 183). Im 71. Ge 9.

1) (*sin.*) *ϙο̄[φαγόρας μ' ἀνέθε̄]|κεν: Διὸς γ(λ)αυϙο̄πιδι ϙο̄́ρε̄ι.*
2) *σοί [με], θεά, τόδ' ἄγα[λμ' ἀνέθ]ε̄κε Μελάνθυρο[ς ἔ̄ργο̄ν] |*
εὐχσάμενος δε[κά]τε̄ν παιδὶ Διὸς μhεγάλο̄.

1 (λ): ι l. [Cf. add.]. — 2 *μh.*: cf. ad nr. 152.

---

5. Dedicationes et tit. artificis (2) s. VI prosa oratione scripta. — IG I suppl. 373, 84 (p. 87), 103 (p. 90; legit Wilh. Beitr. 4), 212 (p. 101), 224 (p. 103), 422, 3 (p. 104); IG I 351 (Im 71).

1) *Σμικύθε̄ πλύντρια δεκάτε̄ν ἀνέθε̄κεν.* — 2) *Φίλο̄ν με ἐ̄ποίε̄σεν | hο̄̀νποριο̄νος.* — 3) *Χσενοκλέε̄ς ⁝ ἀνέθε̄κεν ⁝ Σο̄σίνεο̄.* — 4) *Σ]μῑκρος ἀνέθ - - | ho σκυλοδέσφ[ε̄ς - -.* — 5) *Αἴγο̄ν ἀνέθε̄κεν θε̄̓κάτε̄ι.* — 6) *Ἑόρτιος καὶ Ὀφσιάδε̄ς ἀνεθέτε̄ν | ἀπαρχε̄̀ν τἀθε̄νάαι.*

6. In vasis aeneis et in amphora (5) s. VI. — *Κεραμόπουλλος Ἀρχ Δελτ* 1 *παράρτ.* 33 sq.; 5 Jacobsthal H 46, 478/80.

1) *Ἀθε̄ναίας | εἰμί.* — 2) *Μυρτṍ μ' ἀνέθε̄κεν ⁝ τἀθε̄να[ί]α[ι].* — 3) (*sin.*) *hιερὰ Ἀθαναίαι ἀνέθε̄κε* (in vase *ἰhερά*, sed *σμικρὰ hιερά* in altero). — 4) *Λύσιλλα ἀπαρχε̄̀ν Ἀθε̄ναίαι.* — 5) *εἶ' ὄχε̄ ὄχε̄* (*eques equum incitat*).

---

7. Ostraca. — IG I suppl. 569. 570 (p. 192). Im 73. Rob-G 392/4. NachmA 5. DS 4/6 ³26/7. 39. Brueckner AM 40, 8. 12 (4).

1) (a. 487) *Μεγακλε̃ς ⁝ H[ιππ]οκράτõς ⁝ Ἀλõ[π]εκε̃θε.* — 2) (a. 485) *Χσάνθιππος | Ἀρρίφρονος.* — 3) (ca. 483 aut ca. 470) *Θεμισθοκλε̃ς | Φρεάρριο[ς* (Kern t. 13). — 4) (a. 449/3) AM a) *Θõκυδίδε̄ς | Μελε̄σίõ.* — b) *Κλειππίδε̄ς | Δεινίõ | Ἀχαρνε̃θ|εν.* — c) *Κλιππίδε̄ς | Ἀχαρνεύς.*

---

8. E decreto de feriis Eleusiniis. ca. 460. — IG I 1 (suppl. p. 3). BritM 2. Mi 669. Rob-G 2. DS 646 ³42.

(B) - - *τ|ὰ μ]ὲν hακṍσι[α h]απλε̃ι, τὰ δὲ [h|ε]κṍσια* (scil. *damna resarcienda*) *διπλ[ε̄|ι· σ]πονδὰς εἶν|[αι] τοῖσι μύστ|[ε̄σιν] καὶ το[ῖς ἐπ]όπτε̄ισιν [κ|αὶ τ]οῖς ἀκολ[ο|ύθ]οισιν καὶ [χ|ρε̄́μα]σιν τõν [ὀ|θ]ν[ε]ίõν καὶ [Ἀθ]ε̄ν[α]ίοισιν [hά]|πασιν· ἄρχε̄[ν δ]|ὲ τὸν χρόνο[ν τ]|õν σπονδõν [τõ] | Μεταγειτνι[õ]νος με̄νὸς ἀπ[ὸ] | διχομε̄νίας [κ]|αὶ τὸν Βοε̄δρ[ο]|μιõνα καὶ τõ [Π]|υανοφσιõνος μέχρι δεκάτε̄|ς hισταμένõ· τ|ὰς δὲ σπονδὰς | εἶναι ἐν τε̄ισ|ι πόλεσιν ho[ὶ] ἂν χρõνται τõ|ι hιερõι, καὶ Ἀ|θε̄ναίοισιν ἐ|κεῖ ἐν τε̄ισιν | αὐτε̄σι πόλεσιν. τοῖσι δὲ ὀλ|είζοσι μυστε̄|ρίοισιν τὰς [σ]|πονδὰς εἶνα[ι] | τõ Γαμε̄λιõνος με̄νὸς ἀπὸ δ[ι|χ]ομε̄νίας κα[ὶ] | τὸν Ἀνθεστε̄[ρ|ι]õνα καὶ τõ Ἐλ|αφε̄βολιõνος μέχρι δεκάτε̄|ς hισταμένõ.*

---

9. Termini s. V p. pr. — IG I suppl. 517a (p. 120). 521d (p. 122). 528, 1 (p. 190 sq.). EA 1913, 209. 1. 2 Rob-G 339. 345, 1 DS 437 ³920.

1) (Piraei) *δ]εῦρε Πα[ι]|ανιõν τρι|ττὺς τελε|υτᾶι, ἄρχε|ται δὲ Μυ|ρρινõσί|õν τριτ|[τύς.* — 2) (Piraei) *ἄ]χρι τ[ε̄|ς]δε τε̃ς | hοδõ τε̃|ιδε hε̄ Μ|õνιχία|ς ἐστὶ νέ|μησις.* — 3) *hιερὸν : | Διὸς : μι|λιχίõ : (Γ)|ῆς : Ἀθην|αίας.* — (*Γ*): *Α* l. — 4) (Piraei) *λεσχε̄́õν | δε̄μοσίõ|ν hόρος.*

---

10. Privilegia Leonidae Halicarnassensi decreta. Post V med. — IG I suppl. 27c (p. 164). Mi 73. Rob-G 11. DS 23 ³54.

- - - - - - | *ἐᾶν ἀδικε̃ν με̄́[τε Ἀθε̄́νε̄σι με̄́τ]|ε hόσε̄ς Ἀθε̄ναῖοι κρατõσι. ἐ[π]|ιμελε̃σθαι δὲ αὐτõ Ἀθε̄́νε̄σι μ|[ὲ]ν τõ̀ς πρυτάνε̄ς καὶ τε̄̀μ βõλε̄́ν, ἐν δὲ τε̄σι ἄλλε̄σι πόλεσι hο|ίτινες Ἀθε̄ναίõν ἄρχõσι ἐν τ|ε̃ι hυπερορίαι hότι ἂν hέκαστ|οι δυνατοὶ õ̃σιν, hõς ἂμ με̄̀ ἀδ|ικõνται : ἔδοχσεν τε̃ι βõλε̃ι καὶ τõι δε̄́μõι· Ἀντιοχὶς ἐπρυ|τάνευε, Χαροιάδε̄ς ἐγραμμάτ|ευε, Ηε̄γε̄́σανδρος ἐπεστάτε̄· Χ|αιρέστρατος εἶπε· Λεõνίδε̄ν | ἐάν τις ἀποκτε̄́νε̄ι ἐν τõν πόλεõν, hõν Ἀθε̄ναῖοι κρατõσι, τε̄̀|ν τιμõρίαν ε̃ναι καθάπερ ἐάν | τις Ἀθε̄ναίõν ἀποθάνε̄ι. ἐπαι|νέσαι δὲ ἀγαθὰ hόσα ποιεῖ π[ε]|ρὶ Ἀθε̄ναίõς Λεõνίδε̄ς. περὶ [δ]ὲ Λεõνίδõ τὰ ἐφσε̄φισμένα ἀ[ν]|αγραφσάτõ hο γραμματεὺς τε̄|ς βõλε̃ς τέλεσι τοῖς Λεõνίδõ | ἐν στε̄́λαιν δυοῖν, καὶ τε̄̀ν μὲν | hετέραν στε̃σαι ἐμ πόλει, τε̄̀ν δὲ hετέραν ἐν Ηαλικαρνασσõ|ι ἐν τõι hιερõι τõ Ἀπόλλõνος. | ἄνδρα δὲ προσελέσθõ Λεõνίδ|ε̄ς, hόστις ἄχσει τε̄̀ς στε̄́λε̄ν καὶ | στε̄́σει.*

11. Decretum de Chalcidensibus. 446. — IG I suppl. 27a (p. 10). Mi 70. Rob-G 7. NachmA 9. DS 17 ^{3}64.

ἔδοχσεν τε̄[ι β]ο̄λε̄ι καὶ το̃ι δε̄́μο̄ι, Ἀντιοχὶς ἐ[πρυτ]|άνευε, Δρακ[ον]τίδε̄ς ἐπεστάτε̄, Διόγνε̄τος εἶπε. |

κατὰ τάδε [τ]ὸν hόρκον ὀμόσαι Ἀθε̄ναίο̄ν τ|ε̄ν βο̄λε̄ν καὶ το̄̀ς δικαστάς· οὐκ ἐχσελο̄̃ Χαλκιδέας ἐχ Χαλκίδος, οὐδὲ τε̄̀ν πόλιν ἀνά|στατον ποε̄́σο̄, οὐδὲ ἰδιότε̄ν οὐδένα ἀτιμ|ο̄́σο̄ οὐδὲ φυγε̄̃ι ζε̄μιο̄́σο̄ οὐδὲ χσυλλε̄́φσο|μαι οὐδὲ ἀποκτενο̄̃ οὐδὲ χρε̄́ματα ἀφαιρε̄́|σομαι ἀκ[ρ]ίτο̄ οὐδενὸς ἄνευ το̄̃ δε̄́μο̄ το̄̃ Ἀθε̄ναίο̄ν, οὐδ' ἐπιφσε̄φιο̄̃ κατὰ ἀπροσκλε̄́το̄ | οὔτε κατὰ το̄̃ κοινο̄̃ οὔτε κατὰ ἰδιότο̄ οὐδ|ὲ ἑνός. καὶ πρεσβείαν ἐλθο̄̃σαν προσάχσο̄ | πρὸς βο̄λε̄ν καὶ δε̄μον δέκα ἑ̄μερο̄̃ν hόταν | πρυτανεύο̄ κατὰ τὸ δυνατόν. ταῦτα δὲ ἐμπ[ε]δο̄́σο̄ Χαλκιδεῦσιν πειθομένοις το̃ι δε̄́|[μ]ο̄ι το̃ι Ἀθε̄ναίο̄ν. hορκο̄̃σαι [δ]ὲ πρεσβεία|[ν] ἐλθο̄̃σαν ἐχ Χαλκίδος μετὰ το̄̃ν hορκο̄το̄̃|ν Ἀθε̄ναίο̄ς καὶ ἀπογράφσαι το̄̀ς ὀμόσαντ|ας. hόπο̄ς δ' ἂν [ὀ]μόσο̄σιν hάπαντες, ἐπιμελο̄́σθο̄ν hοι στ[ρ]ατε̄γοί. |

κατὰ τάδε Χαλκιδέας ὀμόσαι· οὐκ ἀπο[σ]τε̄́|σομαι ἀπὸ το̄̃ [δ]ε̄́μο̄ το̄̃ Ἀθε̄ναίο̄ν οὔτε τέ[χ]ν|ε̄ι οὔτε με̄χανε̄̃ι οὐδεμιᾶι οὐδ' ἔπει οὐδὲ | ἔργο̄ι, οὐδὲ το̃ι ἀφισταμένο̄ι πείσομαι. καὶ ἐὰν ἀφιστε̄̃ι τις, κατερο̄̃ Ἀθε̄ναίοισι. κ|αὶ τὸν φόρον hυποτελο̄̃ Ἀθε̄ναίοισιν, hὸν | ἂν πείθο̄ Ἀθε̄ναίο̄ς. καὶ χσύμμαχος ἔσομα|ι hοῖος ἂν δύνο̄μαι ἄριστος καὶ δικαιότ|ατος. καὶ το̃ι δε̄́μο̄ι το̃ι Ἀθε̄ναίο̄ν βοε̄θε̄́σο̄ καὶ ἀμυνο̄̃, ἐάν τις ἀδικε̄̃ι τὸν δε̄μον τὸν | Ἀθε̄ναίο̄ν, καὶ πείσομαι το̃ι δε̄́μο̄ι το̃ι Ἀθ|ε̄ναίο̄ν. ὀμόσαι δὲ Χαλκιδέο̄ν το̄̀ς hε̄βο̄̃ντ|ας hάπαντας. ὃς δ' ἂμ με̄̀ ὀμόσε̄ι, ἄτιμον αὐτ|ὸν ε̄̃ναι καὶ τὰ χρε̄́ματα αὐτο̄̃ δε̄μόσια καὶ το̄̃ Διὸς το̄̃ Ὀλυμπίο̄ τὸ ἐπιδέκατον hιερὸ|[ν] ἔστο̄ το̄̃ν χρε̄μάτο̄ν. hορκο̄̃σαι δὲ πρεσβε|ίαν Ἀθε̄ναίο̄ν ἐλθο̄̃σαν ἐς Χαλκίδα μετὰ τ|ο̄̃ν hορκο̄το̄̃ν το̄̃ν ἐν Χαλκίδι καὶ ἀπογράφ|σαι το̄̀ς ὀμόσαντας Χαλκιδέο̄ν.

Ἀντικλε̄̃ς εἶπε· ἀγαθε̄̃ι τύχε̄ι τε̄̃ι Ἀθε̄ναί|ο̄ν, ποε̄̃σθαι τὸν hόρκον Ἀθε̄ναίο̄ς καὶ Χαλ|κιδέας, καθάπερ Ἐρετριεῦσι ἐφσε̄φίσατ|ο hο δε̄μος hο Ἀθε̄ναίο̄ν. hόπο̄ς δ' ἂν τάχιστ|α γίγνε̄ται, ἐπιμελο̄́σθο̄ν hοι στρατε̄γοί. hοίτινες δὲ ἐχσορκο̄́σο̄σι ἀφικόμενοι ἐ|ς Χαλκίδα, ἑλέσθαι τὸν δε̄μον πέντε ἄνδρ|ας αὐτίκα μάλα. περὶ δὲ το̄̃ν hομε̄́ρο̄ν ἀποκ|ρίνασθαι Χαλκιδεῦσιν, hότι νῦμ μὲν Ἀθε̄|ναίοις δοκε̄̃ ἐᾶν κατὰ τὰ ἐφσε̄φισμένα, hόταν δὲ δοκε̄̃ι, βο̄λευσάμενοι ποε̄́σο̄σι τε̄̀|ν διαλλα[γ]ε̄̀ν καθότι ἂν δοκε̄̃ι ἐπιτε̄́δειο|ν ε̄̃ναι Ἀθε̄ναίοις καὶ Χαλκιδεῦσιν. το̄̀ς δ|ὲ χσένο̄ς το̄̀ς ἐν Χαλκίδι, hόσοι οἰκο̄̃ντες | με̄̀ τελο̄̃σιν Ἀθε̄́ναζε, καὶ εἴ το̃ι δέδοται hυπὸ το̄̃ δε̄́μο̄ το̄̃ Ἀθε̄ναίο̄ν ἀτέλεια, το̄̀ς δὲ ἄ|λλο̄ς τελε̄̃ν ἐς Χαλκίδα καθάπερ hοι ἄλλο|ι Χαλκιδε̄̃ς. τὸ δὲ φσε̄́φισμα τόδε καὶ τὸν | hόρκον ἀναγράφσαι Ἀθε̄́νε̄σι μὲν τὸν γρα|μμ[α]τέα τε̄̃ς βο̄λε̄̃ς ἐστε̄́λε̄ι λιθίνε̄ι καὶ καταθε̄̃ναι ἐς πόλιν τέλεσι τοῖς Χαλκιδέ|ο̄ν, ἐν δὲ Χαλκίδι ἐν το̃ι hιερο̃ι το̄̃ Διὸς το̄̃ | Ὀλυμπίο̄ hε̄ βο̄λε̄̀ Χαλκιδέο̄ν ἀναγράφσασ|α καταθέτο̄.

ταῦτα μὲν φσε̄φίσασθαι Χαλκ|ιδεῦσιν· τὰ δὲ hιερὰ τὰ ἐκ το̄̃ν χρε̄σμο̄̃ν hυπὲρ Εὐβοίας θῦσαι ὁ̄ς τάχιστα μετὰ | Ηιεροκλέο̄ς τρε̄̃ς ἄνδρας, hὸς ἂν ἕλε̄ται [h]|ε̄ βο̄λε̄̀ σφο̄̃ν αὐτο̄̃ν. hόπο̄ς δ' ἂν τάχιστα τυθ|ε̄̃ι, hοι στρατε̄γοὶ συνεπιμελο̄́σθο̄ν καὶ τ|ὸ ἀργύριον ἐς ταῦτα [π]αρεχόντο̄ν.

Ἀρχέστρατο[ς] εἶπε· τὰ μὲν ἄλλα καθάπερ Ἀ|ντικλε̄̃ς· τὰς [δ]ὲ εὐθύνας Χαλκιδεῦ[σ]ι κατ|ὰ σφο̄̃ν αὐτο̄̃ν ε̄̃ναι ἐν Χαλκίδι καθάπερ Ἀθ|ε̄́νε̄σιν Ἀθε̄ναίοις, πλε̄̀ν φυγε̄̃ς καὶ θανάτ|ο̄ καὶ ἀτιμίας· περὶ δὲ τούτο̄ν ἔφεσιν ε̄̃ναι Ἀθε̄́ναζε ἐς τε̄̀ν ἑ̄λιαίαν τε̄̀ν το̄̃ν θεσμοθ|ετο̄̃ν κατὰ τὸ φσε̄́φισμα το̄̃ δε̄́μο̄. περὶ δὲ φυ|λακε̄̃ς

Εὐβοίας τὸς στρατηγὸς ἐπιμελε͂σ|θαι hōς ἂν δύνōνται ἄριστα, hόπōς ἂν ἔχε͂|ι hōς βέλτιστα Ἀθεναίοις. hόρκος.

12. Asteae Alei proxenia. 421. — IG I 45. Mi 76. Rob-G 18. NachmA 15. DS 34 ³85. Kern t. 17.

Προκλέε͂ς Ἀτάρβō Εὐōν|υμεὺς ἐγραμμάτευε. | ἔδοχσεν τε͂ι βōλε͂ι καὶ τōι | δέ|μōι, Ηιπποθōντὶς ἐπρυτάνευε, Προκλε͂ς ἐγραμμάτε|υε, Τιμίας ἐπεστάτε͂, Ἀρι|στ|ίōν ἔρχε, Θρασυκλέε͂ς εἶπε· | ἐπαινέσαι Ἀστέαν τὸν Ἀλε|ὸν hότι εὖ ποεῖ Ἀθε|ναίōς καὶ ἰδίαι καὶ δεμοσίαι τὸν ἀ|φικνόμενον καὶ νῦν καὶ ἐν | τōι πρόσθεν χρόνōι· καὶ ἀν|αγραφσάτō πρόχσενον καὶ | εὐεργέτεν Ἀθεναίōν καθάπερ Πολύστρατον τὸν Φλει|άσιον ἐστε͂λε͂ι λιθίνε͂ι ὁ γ|ραμματεὺς ho τε͂ς βōλε͂ς κα|ὶ καταθέτō ἐν πόλει· τὸ δὲ ἀ|ργύριον δόντōν h(ο)ι κōλακρέται.

13. Oeniadae Palaesciathii proxenia. 408. — IG I suppl. 626 (p. 166). Mi 79. NachmA 20. DS 54 ³114. Kern t. 18.

θεοί. | ἔδοξεν τῆι βōλῆι καὶ τῶι δήμ|ωι· Ἀντιοχὶς ἐπρυτάνευε, Εὐκ|λείδης ἐγραμμάτευε, Ἱεροκλῆς ἐπεστάτε͂, Εὐκτήμων ἦρχε, | Διειτρέφης εἶπε· ἐπειδὴ ἀνή|ρ ἐστι ἀγαθὸς Οἰνιάδης ὁ Παλ|αισκιάθιος περὶ τὴν πόλιν τ|ὴν Ἀθηναίων καὶ πρόθυμος ποιε͂ν ὅτι δύναται ἀγαθόν, καὶ ε|ὖ ποιεῖ τὸν ἀφικνόμενον Ἀθη|ναίων ἐς Σκίαθον, ἐπαινέσαι τ|ε αὐτῶι καὶ ἀναγράψαι αὐτὸν | πρόξενον καὶ εὐεργέτην Ἀθηναίων καὶ τὸς ἐκγόνōς αὐτō, κ|αὶ ὅπως ἂν μὴ ἀδικῆται, ἐπιμε|λε͂σθαι τήν τε βōλὴν τὴν ἀεὶ β|ουλεύōσαν καὶ τοὺς στρατηγ|ὸς καὶ τὸν ἄρχοντα τὸν ἐν Σκιάθωι ὃς ἂν ἦι ἑκάστοτε. τὸ δὲ ψ|ήφισμα τόδε ἀναγράψαι τὸγ γ|ραμματέα τῆς βōλῆς ἐν στήλη|ι λιθίνηι καὶ καταθε͂ναι ἐμ π|όλει. καλέσαι δὲ αὐτὸν καὶ ἐπὶ ξένια ἐς τὸ πρυτανεῖον ἐς α|ὔριον. Ἀντιχάρης εἶπε· τὰ μὲ|[ν] ἄλλα καθάπερ τῆι βōλῆι, ἐς δ|[ὲ τὴ]γ γνώμην μεταγράψαι ἀντ|[ὶ τō Σ]κιαθίō, ὅπως ἂν ἦι γεγρα[μμένον] Οἰνιάδην τὸν Παλαισ|[κιάθιον].

14. Lamina plumbea. Epistula privata. IV in. — IG III app. p. II. Wilhelm ÖJ 7, 94/105. Crönert RhM 65, 157 sq. Kern t. 26. DS ³1259. Cf. nr. 736.

(*latus* A) *Μνησίεργος | ἐπέστειλε τοῖς οἴκοι | χαίρε͂ν καὶ ὑγιαίνε͂ν· | καὶ αὐτὸς οὕτως ἔφασ[κ]ε [ἔχε͂ν.] | στέγασμα, εἴ τι βόλεστε | ἀποπέμψαι ἢ ὤας ἢ διφθέρας | ὡς εὐτελεστά(τα)ς καὶ μὴ σισυρωτὰς | καὶ κα(τ)τύματα: τυχὸν ἀποδώσω.*

(*latus* B) *φέρε͂ν ἰς τὸν κέρα|μον τὸγ χυτρικόν, ἀποδōναι δὲ Ναυσίαι | ἢ Θρασυκλῆι ἢ θυῖῶι.*

15. Defixiones. IV (cf. Wilhelm ÖJ 7, 105/26). — 1/5 IG III app. nr. 69 (DS ³1177). 70 (ClR 4, 187). 77. 78. 87. 6 RMünsterberg, Wissenschaftliche Mitteilungen aus Bosnien 10, 376 (2b).

1) *καταδῶ [Δι]ονύσιον | τὸν κρανοποιὸν καὶ τὴν | γυναῖκα αὐτοῦ Ἀρτεμεὶν | τὴν χρυσώτριαν καὶ τὴν [ο]ἰ[κ]ίαν αὐτῶν καὶ τὴν [ἐ]ργα|σίαν καὶ τὰ [ἔργ]α καὶ τὸν | βί[ο]ν αὐτῶ[ν καὶ] Κάλλιπ|[πον - -*

2) *καταδήω τὰ Ὠφιλίων[ος] καὶ Ὠφιλίω|να καὶ τὸ καπηλῖον Ὄλυμπον. [κ]αταδέω τὰ Με|λαμθίου ἅπαντα καὶ τὸ καπηλῖον Ἀγάθωνα· | καταδήω τὰ Συρίσκος ἅπαντα· ἅπαντα τὰ Συρίσ(κ)ος κα[τα]δήω τὰ Πιστίου ἅπαντα· Μανῆ*

καὶ Πι|στίου ἅπαντα· καταδήω [τ]ούτων ἅπαν|[τα καὶ] τὰς ἐργασίας· ἅπα[ντα το]ύτων | . . . ηρ - -

3) (A) *καταδοῦμεν (Καλλιστράτην) | τὴν (Θεοφήμου): γυναῖκα καὶ | (Θεόφιλον) τὸν Καλλιστράτης | [π]ατέρα καὶ τὰ παιδία τὰ Καλλιστράτης | καὶ Εὔεργον καὶ Θεόφημον τὸν | ἀδελφόν. τούτων δὲ καταδ[ῶ] | τὰς ψυχὰς καὶ τὰ ἔργα αὐτ[ῶν] | καὶ αὐτοὺς ὅλους καὶ τὰ τούτω|ν ἅπαντα |* (B) *καὶ τὰς ψωλὰς αὐτῶν καὶ τοὺς κύσθ|ους αὐτῶν καὶ Κανθαρί(δ)α καὶ ⟨καὶ⟩ τὸν | (Κανθαρίδος: παῖδα Διον⟨ν⟩ύσιον). Διονύσιον | καὶ αὐτοὺς καὶ τὰς ψυχὰς αὐτῶν [καὶ ἔρ]γα καὶ | αὐτοὺ[ς] ὅλ⟨λ⟩ου[ς] καὶ τὴν ψωλὴν καὶ τὸν κύσθον τὸν ἀνόσιον: (Τλησία)|[ς κατ]άρατος· (Θεόφημον Εὔεργον Κανθαρίδα Διονύσιον).* — Unci rotundi litterarum ordinem consulto turbatum significant; *Καλλ.* vss. 3 et 4, *Κανθ. καὶ Διον.* vs. 11 sin. scripta sunt. vs. 11 *π. Διον.* supra scripta; supra *ἀνόσιον* vs. 15 est (*Κανθαρίς*). Nonnulla correxerunt et addiderunt Diels et Rabehl in huius diss. Berol. (1906) ‚de sermone defixionum Atticarum‘ p. 44.

4) *Ἀρι[σ]τοκύδη καὶ τὰς φανōμένας | αὐτῶι γυναῖκας | μήποτ' αὐτὸν γῆμαι ἄλλην γυναῖ(κα) μηδὲ παῖδα.* — *φ.* *quae ei apparebunt i. e. morem gerent*; cf. WSchulze H 28, 19 (IG).

5) (A) *καταδῶ Καλλίαν: τὸν κάπηλον τὸν ἐγ γειτόνων καὶ τὴν γυναῖκα αὐτοῦ | Θρᾶιτταν: καὶ τὸ καπηλεῖον τὸ φαλακροῦ καὶ τὸ Ἀνθεμίωνος καπηλεῖον τὸ πλησίον δα . οη | καὶ Φίλωνα τὸν κάπηλον· τούτων πάντων καταδῶ ψυχὴν ἐργασίαν | χεῖρας πόδας: τὰ καπηλεῖα αὐτῶν. καταδῶ Σωσιμένην τ[ὸν] ἀδελφόν: καὶ Κάρπον τὸν οἰκότην αὐτοῦ τὸν σινδον[ο]πώλην καὶ Γλύκανθιν ἣν καλοῦσι Μαλθάκην: καὶ Ἀγάθωνα τ[ὸ]ν κάπηλον | [τ]ὸν Σωσιμένους οἰκότην: τούτων πάντων καταδῶ: ψυχὴν ἐργασία[ν β]ίον χεῖρας πόδας. | καταδῶ Κίττον τὸν γείτονα τὸν καναβιōργὸν καὶ τέχνην τὴν Κίττου καὶ ἐργασίαν καὶ ψυχὴν καὶ νοῦν καὶ γλῶτταν τὴν Κίττου. | καταδῶ Μανίαν τὴν κάπηλιν τὴν ἐπὶ κρήνει καὶ τὸ καπηλεῖον τὸ Ἀριστανδρος Ἐλευσινίου καὶ ἐργασίαν αὐτοῖς καὶ νοῦν. | ψυχὴν χεῖρας γλῶτταν πόδας νοῦν: τούτους πάντας καταδῶ ἐμ μνήμασι ασφαραγιαι* (aut *-γιν*) *κ* (*vacat*) *πρὸς τὸν κάτοχον Ἑρμῆν.* | (B) *τοὺς Ἀριστάνδρου οἰκότας.*

6) (*Καλλίαν*) *καταδῶ. | ὥσπερ ταῦτ' ἀνένπαλιν, | οὕτως γένοιτο Καλλίαι | ἀνένπαλιν ⟨ἀνένπαλι[ν]⟩ | πάντα | καὶ | ἔργα καὶ | [ἔπ]η καὶ χεῖρας | καὶ πόδας | καὶ [γ]όνα[τ]α | καὶ ψυχήν.* — Cf. supra ad defixionem 3.

Appendix II: Linguae communis (*κοινῆς*) et humilis et barbarae specimina.

Κοινῆς litterariae specimina permulti sunt titt. antecedentes ss. III, II, I.

1. Spartae. Tit. sepulcralis militis qui M. Aurelio imperatore duce contra Parthos pugnavit. — IG V 1, 816.

Διοσκορᾶ, | χαῖρε, ἔτη βιώ|σας εἴκοσι | καὶ ἕξ· ἀπελθὼν δὲ | εἰς τὴν εὐτυχεσ|τάτην συ|νμαχίαν τὴν | κατὰ Πελσῶν καὶ ἐπανελχόμε|νος ἐν Ἱεραπόλι | ἐτελεύτησεν· | προςδεξαμένου | [τὸ ἀνά(λωμα) τοῦ] ἀδελφοῦ . . . . ονίκου | [τοῦ - -

---

2. Argis. Aet. Romana posteriore. — Vollgraff Mn 47, 169.

αἰποίησεν | ἑαυτῷ καὶ | τῇ γυνεκὶ αὐτοῦ | καὶ τοῖς εἰδίοις | πεδείοις.

3. Beroeae. — *Ὀρλάνδος, Αρχ Δελτ* 2, 158 (19).

Πειέρεις είδεία γυ|νεκεὶ Εὐμηκεί|ῳ ἐποίησα ταύ|την τὴν στιλλί|δαν μνήμης | χάρειν. χαίραι|τε παροδεῖται.

---

4. Thessalonicae. In sarcophago. 256/7p. — JHMordtmann AM 21, 98sq. R Münsterberg Wissenschaftliche Mitteilungen aus Bosnien 10, 379; partem extremam dispexit Wilh. Beitr. 201sq. (cf. ib. p. 320).

A *τῷ πάν|των φίλῳ | Μυλάγῳ.* B *Κλαύδιος Μύλαγος ζῶν τὴν σορὸν ἐκ τῶν | ἰδίων τῇ συμβίῳ ἑαυτοῦ Ζωσίμῃ καὶ ἑαυτῷ. εὐθυμεῖν μελετᾶν ἐρχομένου θανάτοιο, | οὐδεὶς δὲ ἀνοίξει τὴν ληνὸν οὐδὲ | καταθήσετε ἕτερον πτῶμα. ὃς ἂν δὲ | τολμήσῃ τοῦτο ποιῆσαι, δώσει τῷ ἱερωτάτῳ ταμείῳ προςτείμου δηνάρια | μύρια. ἐν τῷ ηπσ Σεβ(αστοῦ), Δύστρου κε. ὁ βίος οὗτος· τί στήκις, ἄνθρωπε; ὕπα λούσου* (i. e. *ὕπαγε λοῦσαι*); cf. Kretschmer Gl 6, 96.

---

5. In Lydia. — 1 Buckler ABS 21, 169. 2 JSchmidt AM 6, 142.

1) (IIp p. post.) *Διεὶ Σαβαζίῳ καὶ Μη|τρεὶ Εἴπτα Διοκλῆς | Τροφίμου· ἐπεὶ ἐπεί|ασα περιστερὰς τῶν (5)θεῶν, ἐκολάσθην ἰς | τοὺς ὀφθαλμοὺς καὶ | ἐνέγραψα τὴν ἀρετήν* (scil. *τῶν θεῶν*).

2) *Διογένους | χαρκωμα|τᾶδος.* — Intellexit WSchulze KZ 33, 229/31.

---

6. In Phrygia. — 1/4 Ramsay, Cities and bishoprics of Phrygia 1, 328 (nr. 133). 339 (nr. 187). 2, 525 (nr. 367). 736sq. (nr. 672). 741 (nr. 677).

1) *χέρετε, παροδεῖται. Αὐρ. Εἰρηναῖος εἰστρατιώτης ἐστρατεύσετο ἐνδόξως, πολλοὺς ὤλεσε [λι]στὰς διὰ χιρῶν, ἐτελεύτησεν ἐν Λυκίᾳ Λιμύροις είδίῳ θανάτῳ· οἱ [ἀ]δελποὶ αὐτοῦ Παπίας καὶ Τειμίας οἱ Ἀπολλωνίου τοῦ Συριχε* [·] *τὸ κενοτάφιον μνήμης χάριν ἐποίησαν.* — *εἰδ. θαν.*: cf. W Schulze BerlBer 1912, 685/703.

2) *Ἑρμῆς Λουκίου* [*τ*]*ῇ α*[*ἰ*]*αο*[*τ*]*οῦ γυναικὶ κὲ Ἑρμῇ ὑῷ προμοίρῳ ἀνέστησε μνήμης χάριν. εἰ μὲν ἰδίᾳ μοίρῃ ὤφιλεν, εἰ δὲ χερ*[*σ*]*ὶ δωλοποιοῖς, Ἥλιε, βλέπε.*

3) *Ζηνόδοτος | κατεσκεύασ|εν τὸ ἡρῷον | ἑαυτῷ κὲ τῇ* (5)*γυνεκί μο*[*υ*] | *Ἀμμίᾳ κὲ τῇ θ|υγατρί μου· εἰ | δέ τις ἐπιχιρ|ήσι ᾄλλοις ἰς*(10)*ελθῖν, ἔστε τῳ | πρὸς τὸν Θε|όν.* — vs. 10 *τῳ* i. e. *αὐτῷ*; idem ib. 2, 718 (nr. 652; 260p).

4) (III/IVp) *Ἀβίρκιος | Πορφυρίου | διάκων κα|τεσκεύασα | τὸ μεμόριον ἑαυτῷ καὶ τῇ | συμβίῳ μου | Θευπρεπίῃ | κὲ τοῖς τέκνοις.*

5 (VIp) † *ἐμὺ τὸ ζῆν Χριστὸς κὲ τὸ ἀποθανῖν κέρδος. Ἀμάραντος | διάκων ἐλεεινὸς δοῦλος Κυρίου, ἐνβλέψας τὴν τοῦ προσκέρου βίου | ζοήν, πέντε μὲν δεκάδας τελέσας βουν*[*ο*]*ῖς* (?) *σὺν τῷ ἀδερφῷ Κυ*[*ρι*]|*ακῷ, εὐξαμένης τῆς μητέρος αὐτῶν Σοφρονίης, ἐπύησαν τὸ μνῆμα | τοῦτο ἑαυτῦς κὲ τές συμβίυς αὐτῶν Παππιανῆς κὲ Πανχαρίης κὲ τῶν | γλυκυτάτων πέδων Δόμνης καὶ πάντων τῶ*[*ν ἄλ-λ*]*ων τῶν κληρονομούντων τὸν πενιχρὸν βίον* † *βλέπε δὲ ὁ ἀναγινώσκων, ὅτι ὁ θάνατος πᾶσιν ητύμαστε.*

---

7. In Cilicia. — Heberdey et Wilhelm, WienDenkschr 44, 6, 37 (nr. 93). 162 (nr. 269/70). 163 (nr. 272).

1) † *μνῆμα διαφέρον | τοῦ ἀσκιτηρίου τῖς Θεο|τόκου. ἔχι τὸ ἀνάθεμα, | ἴ τις δίχα τὸν κύριον | ἀνύγι αὐτό* †.

2) *Λεύκιος ἀνέσ|θησα τῷ γλυκυ|τάτῳ μου πα|τρὶ Ἀβράτῳ εὐ(5)λαβεστάτῳ πρεσ|βιθέρῳ θῆς τοῦ | Θεοῦ ἁγίας ἐ|κλησίας τῶν | Νανατῶν ἐν ᾗ (10)κὲ ἐπολιθεύ|σατο. ἀνέσθη|σα μνήμης | [χ]άριν.*

3) *μνή(μη) ἐν παρόδῳ, ἣν ἔτευξεν Ἰετωτηλία. | ἐνθάδε τὸν κάλλιστον ἐπιχθονίων λά|χε γέα Μάξιμον Ἑρμογένου ἐν ἀνθρώ|πυσιν ἶδος ἄριστον, ᾧ ἔτευξε τὸ μνῆμα | Ἰ(ε)τωτηλία σὺν τεκέεσσιν Μάρκῳ | κὲ Ἑρμογένου Εὐφραντικῷ τε κὲ | Πάπα Ἄττα τε κὲ Μίκκη Κυρίῃ τε εἶ|δος ἀρίστη μνήμην ὗσί τε πᾶσιν | φίλυς ἄλλυσεί τε πολλῦς.*

4) *εἰ δέ τεις τούτῳ τ[ῷ μνη|μείῳ] κακοεργέα χεῖρα ποςοίσει, ὀρφανὰ [τέκνα | λίποι]το, χῆρον βίον, οἶκον ἔρημον, ἐν π[υρὶ] | πάντα δράμοιτο, κακῶν οἱπὸ χῖρας ὄλοιτο.* — *ποςꞏ*-: cf. Nachmanson, Beiträge zur altgriech. Volkssprache (Uppsal. 1910) 76/83 et ad nr. 686.

---

8. Tit. Silconis Nubadum regis. IV p ex. — DittOr 201.

ἐγὼ Σιλκώ, βασιλίσκος Νουβάδων καὶ ὅλων τῶν | Αἰθιόπων, ἦλθον εἰς Τάλμιν καὶ Τάφιν. ἅπαξ δύο ἐπο|λέμησα μετὰ τῶν Βλεμύων, καὶ ὁ Θεὸς ἔδωκέν μοι τὸ | νίκημα. μετὰ τῶν τριῶν ἅπαξ ἐνίκησα πάλιν καὶ ἐκρά(5)τησα τὰς πόλεις αὐτῶν. ἐκαθέσθην μετὰ τῶν | ὄχλων μου τὸ μὲν πρῶτον ἅπαξ, ἐνίκησα αὐτῶν | καὶ αὐτοὶ ἠξίωσάν με. ἐποίησα εἰρήνην μετ' αὐτῶν | καὶ ὤμοσάν μοι τὰ εἴδωλα αὐτῶν καὶ ἐπίστευσα τὸν | ὅρκον αὐτῶν, ὡς καλοί εἰσιν ἄνθρωποι. ἀναχωρήθην (10)εἰς τὰ ἄνω μέρη μου. ὅτε ἐγεγενόμην βασιλίσκ(ος), | οὐκ ἀπῆλθον ὅλως ὀπίσω τῶν ἄλλων βασιλέων, | ἀλλὰ ἀκμὴν ἔμπροσθεν αὐτῶν. | οἳ γὰρ φιλονικοῦσιν μετ' ἐμοῦ, οὐκ ἀφῶ αὐτοὺς καθεζό|μενοι εἰς χώραν αὐτῶν, εἰ μὴ κατηξίωσάν με καὶ παρακαλοῦσιν. (15)ἐγὼ γὰρ εἰς κάτω μέρη λέων εἰμὶ καὶ εἰς ἄνω μέρη ἄρξ εἰμι. | ἐπολέμησα μετὰ τῶν Βλεμύων ἀπὸ Πρίμ(εως) ἕως Τέλ(μ)εως | ἓν ἅπαξ, καὶ οἱ ἄλλοι Νουβάδων ἀνωτέρω, ἐπόρθησα τὰς | χώρας αὐτῶν, ἐπειδὴ ἐφιλονικήσουσιν μετ' ἐμοῦ. | οἱ δεσπότ(αι) τῶν ἄλλων ἐθνῶν, οἳ φιλονεικοῦσιν μετ' ἐμοῦ, (20)οὐκ ἀφῶ αὐτοὺς καθεσθῆναι εἰς τὴν σκιάν, εἰ μὴ ὑπὸ ἡλίου | ἔξω, καὶ οὐκ ἔ(δ)ωκα⟨ν⟩ νηρὸν ἔσω εἰς τὴν οἰκίαν αὐτῶν. οἱ γὰρ | ἀντίδικοί μου, ἁρπάζω τῶν γυναικῶν καὶ τὰ παιδία αὐτῶν.

Appendix III: Auctorum veterum de dialectis Graecorum gentiumque vicinarum loci selecti.

1. Hom. Od. 2. Hom. hymn. 3. Hesiod. 4. Tyrt. 5. Mimn. 6. Solon. 7. Hippon. 8. Hdt. 9. Thuc. 10. [Xen.] de republ. Athen. 11. Stratt. com. 12. Plat. Crat. 13. Heracl. Pont. 14. Strab. 15. Loci de dialectis aetatis linguae communis. — Cf. indicem Graecum s. v. *συγγένεια*, *-νής*.

1. Hom. Od. τ 172/7 *Κρήτη τις γαῖ' ἔστι, μέσῳ ἐνὶ οἴνοπι πόντῳ, | καλὴ καὶ πίειρα, περίρρυτος· ἐν δ' ἄνθρωποι | πολλοί, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες. | ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοί, | ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες Δωριέες τε τριχάικες* (cf. *διὰ τρίχα κοσμηθέντες*; *τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν*, *de Rhodiis* Hom. Il. B 655. 668 et infra nr. 3) *δῖοί τε Πελασγοί.*

2. Hom. hymn. 5, 111—116 *Ὀτρεὺς* (*inquit Venus Anchisae*) *δ' ἐστὶ πατὴρ ὄνομα κλυτός, εἴ που ἀκούεις, | ὃς πάσης Φρυγίης εὐτειχήτοιο ἀνάσσει. | γλῶσσαν δ' ὑμετέρην καὶ ἡμετέρην σάφα οἶδα· | Τρῳὰς γὰρ μεγάρῳ με τροφὸς τρέφεν, ἡ δὲ διαπρό | σμικρὴν παῖδ' ἀτίταλλε φίλης παρὰ μητρὸς ἑλοῦσα. | ὡς δή τοι γλῶσσάν γε καὶ ὑμετέρην εὖ οἶδα.* — Cf. Kretschmer, Einleitung in die Geschichte der griech. Sprache 182.

---

3. Hesiodi fragm. 191 Rz. *πάντες δὲ τριχάικες καλέονται | τρισσὴν οὕνεκα γαῖαν ἑκὰς πάτρης ἐδάσαντο.* Cf. app. III 1.

---

4. Tyrtaei fragm. 1. 3 Bergk.

1) *αὐτὸς γὰρ Κρονίων, καλλιστεφάνου πόσις Ἥρης, | Ζεὺς Ἡρακλείδαις τήνδε δέδωκε πόλιν· | οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα | εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.*

2) *ἡμετέρῳ βασιλῆι, θεοῖσι φίλῳ Θεοπόμπῳ, | ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον.*

---

5. Mimnermi fragm. 16 Bergk. *αἰπεῖ⟨άν⟩ τε Πύλον, Νηλήιον ἄστυ, λιπόντες | ἱμερτὴν Ἀσίην νηυσὶν ἀφικόμεθα, | ἐς δ' ἐρατὴν Κολοφῶνα βίην ὑπέροπλον ἔχοντες | ἑζόμεθ' ἀργαλέης ὕβριος ἡγεμόνες· | κεῖθεν δ'* (*αὖτις Ἄλ*)*εντος ἀπορνύμενοι ποταμοῖο | θεῶν βουλῇ Σμύρνην εἵλομεν Αἰολίδα.*

---

6. Solonis fragm. 36 Bergk, vss. 8/12. *πολλοὺς δ' Ἀθήνας πατρίδ' εἰς θεόκτιτον | ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως, | ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὕπο | χρειοῦς φυγόντας, γλῶσσαν οὐκέτ' Ἀττικὴν | ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους.* — Cf. ad Hdt I 146.

---

7. Hipponactis fragm. 1. 46 Bergk.

1) *ἔβωσε Μαίης παῖδα, Κυλλήνης πάλμυν· | Ἑρμῆ κυνάγχα, Μηιονιστὶ Κανδαῦλα, | φωρῶν ἑταῖρε, δεῦρό μοι σκαπαρδεῦσαι.*

2) *καὶ τοὺς σολοίκους, ἢν λάβωσι, περνᾶσιν, | Φρύγας μὲν ἐς Μίλητον ἀλφιτεύσοντας.*

---

8. Ex Herodoti historiis.

I 56 ... *ἱστορέων δὲ εὕρισκε Λακεδαιμονίους τε καὶ Ἀθηναίους προέχοντας, τοὺς μὲν τοῦ Δωρικοῦ γένεος, τοὺς δὲ τοῦ Ἰωνικοῦ. ταῦτα γὰρ ἦν τὰ προκεκριμένα, ἐόντα τὸ ἀρχαῖον τὸ μὲν Πελασγικόν, τὸ δὲ Ἑλληνικὸν ἔθνος. καὶ τὸ μὲν οὐδαμῇ κω ἐξεχώρησε, τὸ δὲ πολυπλάνητον κάρτα. ἐπὶ μὲν γὰρ Δευκαλίωνος βασιλέος οἴκεε γῆν τὴν Φθιῶτιν, ἐπὶ δὲ Δώρου τοῦ Ἕλληνος τὴν ὑπὸ τὴν Ὄσσαν τε καὶ τὸν Ὄλυμπον χώρην, καλεομένην δὲ Ἱστιαιῶτιν. ἐκ δὲ τῆς Ἱστιαιώτιδος ὡς ἐξανέστη ὑπὸ Καδμείων, οἴκεε ἐν Πίνδῳ Μακεδνὸν καλεόμενον. ἐνθεῦτεν δὲ αὖτις ἐς τὴν Δρυοπίδα μετέβη, καὶ ἐκ τῆς Δρυοπίδος οὕτως ἐς Πελοπόννησον ἐλθὸν Δωρικὸν ἐκλήθη.* **57** *ἥντινα δὲ γλῶσσαν ἵεσαν οἱ Πελασγοί, οὐκ ἔχω ἀτρεκέως εἰπεῖν· εἰ δὲ χρεόν ἐστι τεκμαιρόμενον λέγειν τοῖσι νῦν ἔτι ἐοῦσι Πελασγῶν τῶν ὑπὲρ Τυρσηνῶν Κρηστῶνα* (Dionys. Hal. ant. Rom I 29legit *Κρότωνα*) *πόλιν οἰκεόντων, οἳ ὅμουροί κοτε ἦσαν τοῖσι νῦν Δωριεῦσι καλεομένοισι* (*οἴκεον δὲ τηνικαῦτα γῆν τὴν νῦν Θεσσαλιῶτιν καλεομένην*), *καὶ τῶν Πλακίην τε καὶ*

Σκυλάκην Πελασγῶν οἰκησάντων ἐν Ἑλλησπόντῳ, οἳ σύνοικοι ἐγένοντο Ἀθηναίοισι, καὶ ὅσα ἄλλα Πελασγικὰ ἐόντα πολίσματα τὸ οὔνομα μετέβαλε, εἰ τούτοισι τεκμαιρόμενον δεῖ λέγειν, ἦσαν οἱ Πελασγοὶ βάρβαρον γλῶσσαν ἱέντες. εἰ τοίνυν ἦν καὶ πᾶν τοιοῦτο τὸ Πελασγικόν, τὸ Ἀττικὸν ἔθνος ἐὸν Πελασγικὸν ἅμα τῇ μεταβολῇ τῇ ἐς Ἕλληνας καὶ τὴν γλῶσσαν μετέμαθε (ib. VI 138 γλῶσσα Ἀττικὴ *diversa est a Pelasgorum lingua*). καὶ γὰρ δὴ οὔτε οἱ Κρηστωνιῆται (Κροτων. Dion. H. l. c.) οὐδαμοῖσι τῶν νῦν σφεας περιοικεόντων εἰσὶ ὁμόγλωσσοι οὔτε οἱ Πλακιηνοί, σφίσι δὲ ὁμόγλωσσοι, δηλοῦσί τε ὅτι τὸν ἠνείκαντο γλώσσης χαρακτῆρα μεταβαίνοντες ἐς ταῦτα τὰ χωρία, τοῦτον ἔχουσι ἐν φυλακῇ. **58** τὸ δὲ Ἑλληνικὸν γλώσσῃ μέν, ἐπείτε ἐγένετο, αἰεί κοτε τῇ αὐτῇ διαχρᾶται, ὡς ἐμοὶ καταφαίνεται εἶναι. ἀποσχισθὲν μέντοι ἀπὸ τοῦ Πελασγικοῦ ἐὸν ἀσθενές, ἀπὸ σμικροῦ τεο τὴν ἀρχὴν ὁρμώμενον αὔξηται ἐς πλῆθος τῶν ἐθνέων, Πελασγῶν μάλιστα προσκεχωρηκότων αὐτῷ καὶ ἄλλων ἐθνέων βαρβάρων συχνῶν. πρὸς δὴ ὦν ἔμοιγε δοκέει οὐδὲ τὸ Πελασγικὸν ἔθνος, ἐὸν βάρβαρον, οὐδαμὰ μεγάλως αὐξηθῆναι. — Cf. ib. V 27. VI 137/40.

I 82 τὰς γὰρ Θυρέας ταύτας ἐούσας τῆς Ἀργολίδος μοίρης ἀποταμόμενοι ἔσχον οἱ Λακεδαιμόνιοι. ἦν δὲ καὶ ἡ μέχρι Μαλέων ἡ πρὸς ἑσπέρην Ἀργείων, ἥ τε ἐν τῇ ἠπείρῳ χώρη καὶ ἡ Κυθηρίη νῆσος καὶ αἱ λοιπαὶ τῶν νήσων.

I 142 . . . γλῶσσαν δὲ οὐ τὴν αὐτὴν οὗτοι (*Iones*) νενομίκασι, ἀλλὰ τρόπους τέσσερας παραγωγέων. Μίλητος μὲν αὐτέων πρώτη κέεται πόλις πρὸς μεσαμβρίης, μετὰ δὲ Μυοῦς τε καὶ Πριήνη. αὗται μὲν ἐν τῇ Καρίῃ κατοίκηνται κατὰ ταὐτὰ διαλεγόμεναι σφίσι, αἵδε δὲ ἐν τῇ Λυδίῃ· Ἔφεσος, Κολοφών, Λέβεδος, Τέως, Κλαζομεναί, Φώκαια. αὗται δὲ αἱ πόλιες τῇσι πρότερον λεχθείσῃσι ὁμολογέουσι κατὰ γλῶσσαν οὐδέν, σφίσι δὲ ὁμοφωνέουσι. ἔτι δὲ τρεῖς ὑπόλοιποι Ἰάδες πόλιες, τῶν αἱ δύο μὲν νήσους οἰκέαται, Σάμον τε καὶ Χίον, ἡ δὲ μία ἐν τῇ ἠπείρῳ ἵδρυται, Ἐρυθραί. Χῖοι μέν νυν καὶ Ἐρυθραῖοι κατὰ τὠυτὸ διαλέγονται, Σάμιοι δὲ ἐπ᾽ ἑωυτῶν μοῦνοι. οὗτοι χαρακτῆρες γλώσσης τέσσερες γίνονται. **143** . . . οἱ μέν νυν ἄλλοι Ἴωνες καὶ οἱ Ἀθηναῖοι ἔφυγον τὸ οὔνομα, οὐ βουλόμενοι Ἴωνες κεκλῆσθαι, ἀλλὰ καὶ νῦν φαίνονταί μοι οἱ πολλοὶ αὐτῶν ἐπαισχύνεσθαι τῷ οὐνόματι· αἱ δὲ δυώδεκα πόλιες αἶται τῷ τε οὐνόματι ἠγάλλοντο καὶ ἱρὸν ἱδρύσαντο ἐπὶ σφέων αὐτέων, τῷ οὔνομα ἔθεντο Πανιώνιον, ἐβουλεύσαντο δὲ αὐτοῦ μεταδοῦναι μηδαμοῖσι ἄλλοισι Ἰώνων (οὐδ᾽ ἐδεήθησαν δὲ οὐδαμοὶ μετασχεῖν ὅτι μὴ Σμυρναῖοι) κατάπερ οἱ ἐκ τῆς πενταπόλιος νῦν χώρης Δωριέες, πρότερον δὲ ἑξαπόλιος τῆς αὐτῆς ταύτης καλεομένης . . . αἱ πέντε πόλιες, Λίνδος καὶ Ἰήλυσός τε καὶ Κάμιρος καὶ Κῶς τε καὶ Κνίδος, ἐξεκλήισαν τῆς μετοχῆς (*scil.* τοῦ Τριοπικοῦ ἱροῦ) τὴν ἕκτην πόλιν Ἁλικαρνησσόν. . . . **145** δυώδεκα δέ μοι δοκέουσι πόλιας ποιήσασθαι οἱ Ἴωνες καὶ οὐκ ἐθελῆσαι πλεῦνας ἐσδέξασθαι τοῦδε εἵνεκα, ὅτι καὶ ὅτε ἐν Πελοποννήσῳ οἴκεον δυώδεκα ἦν αὐτῶν μέρεα, κατάπερ νῦν Ἀχαιῶν τῶν ἐξελασάντων Ἴωνας δυώδεκά ἐστι μέρεα (*sequuntur nomina*). **146** . . . ὥς γέ τι μᾶλλον οὗτοι (*urbium* XII) Ἴωνές εἰσι τῶν ἄλλων Ἰώνων ἢ κάλλιόν τι γεγόνασι, μωρίη πολλὴ λέγειν, τῶν Ἄβαντες μὲν ἐξ Εὐβοίης εἰσὶ οὐκ ἐλαχίστη μοῖρα, τοῖσι Ἰωνίης μέτα οὐδὲ τοῦ οὐνόματος οὐδέν, Μινύαι δὲ Ὀρχομένιοί σφισι ἀναμεμείχαται καὶ Καδμεῖοι καὶ Δρύοπες καὶ Φωκέες ἀποδάσμιοι καὶ Μολοσσοὶ καὶ Ἀρκάδες Πελασγοὶ καὶ Δωριέες Ἐπιδαύριοι, ἄλλα τε ἔθνεα πολλὰ ἀναμεμείχαται· οἱ δὲ αὐτῶν ἀπὸ τοῦ πρυτανηίου τῶν Ἀθηναίων ὁρμηθέντες καὶ νομίζοντες γενναιότατοι εἶναι Ἰώνων (cf. πρεσβυτάτην ἐσορῶν γαῖαν Ἰαονίας Solo in Aristot. πολ. Ἀθ. 5), οὗτοι δὲ οὐ γυναῖκας ἠγάγοντο ἐς τὴν ἀποι-

κίην, ἀλλὰ Καείρας ἔσχον, τῶν ἐφόνευσαν τοὺς γονέας ... **147** ... *εἰσὶ δὲ πάντες Ἴωνες, ὅσοι ἀπ᾽ Ἀθηνέων γεγόνασι καὶ Ἀπατούρια ἄγουσι ὁρτήν. ἄγουσι δὲ πάντες πλὴν Ἐφεσίων καὶ Κολοφωνίων.* ... **148** ... *Ἴωνες ἄγεσκον ὁρτήν, τῇ ἔθεντο οὔνομα Πανιώνια. πεπόνθασι δὲ οὔτι μοῦναι αἱ Ἰώνων ὁρταὶ τοῦτο, ἀλλὰ καὶ Ἑλλήνων πάντων ὁμοίως πᾶσαι ἐς τὠυτὸ γράμμα τελευτῶσι, κατάπερ τῶν Περσέων τὰ οὐνόματα.*

I 149 *αὗται ἕνδεκα Αἰολέων πόλιες αἱ ἀρχαῖαι· μία γάρ σφεων παρελύθη Σμύρνη ὑπὸ Ἰώνων· ἦσαν γὰρ καὶ αὗται δυώδεκα αἱ ἐν τῇ ἠπείρῳ* ... **150** *ὁμολογίῃ ἐχρήσαντο* ... *ἐκλιπεῖν Σμύρνην Αἰολέας. ποιησάντων δὲ ταῦτα Σμυρναίων ἐπιδιείλοντό σφεας αἱ ἕνδεκα πόλιες καὶ ἐποιήσαντο σφέων αὐτέων πολιήτας.* **151** *αὗται μέν νυν αἱ ἠπειρώτιδες Αἰολίδες πόλιες, ἔξω τῶν ἐν τῇ Ἴδῃ οἰκημένων· κεχωρίδαται γὰρ αὗται. αἱ δὲ τὰς νήσους ἔχουσαι πέντε μὲν πόλιες τὴν Λέσβον νέμονται (τὴν γὰρ ἕκτην ἐν τῇ Λέσβῳ οἰκεομένην Ἀρίσβαν ἠνδραπόδισαν Μηθυμναῖοι, ἐόντας ὁμαίμους), ἐν Τενέδῳ δὲ μία οἰκέεται πόλις, καὶ ἐν τῇσι Ἑκατὸν νήσοισι καλεομένοισι ἄλλη μία.*

I 167 *Phocaeenses* *ἐκτήσαντο πόλιν γῆς τῆς Οἰνωτρίης ταύτην ἥτις νῦν Ὑέλη καλέεται.*

I 168 *Τήιοι* ... *ἔκτισαν πόλιν Ἄβδηρα.*

I 171 *Ἅρπαγος* ... *ἐποιέετο στρατηίην ἐπὶ Κᾶρας καὶ Καυνίους καὶ Λυκίους* ... *εἰσὶ δὲ τούτων Κᾶρες μὲν ἀπιγμένοι ἐς τὴν ἤπειρον ἐκ τῶν νήσων· τὸ γὰρ παλαιὸν ἐόντες Μίνω κατήκοοι καὶ καλεόμενοι Λέλεγες εἶχον τὰς νήσους* ... (*Minois aetate*) *τὸ Καρικὸν ἦν ἔθνος λογιμώτατον τῶν ἐθνέων ἁπάντων* ... *καί σφι τριξὰ ἐξευρήματα ἐγένετο, τοῖσι οἱ Ἕλληνες ἐχρήσαντο* ... *μετὰ δὲ τοὺς Κᾶρας χρόνῳ ὕστερον πολλῷ Δωριέες τε καὶ Ἴωνες ἐξανέστησαν ἐκ τῶν νήσων καὶ οὕτως ἐς τὴν ἤπειρον ἀπίκοντο. κατὰ μὲν δὴ Κᾶρας οὕτω Κρῆτες λέγουσι γενέσθαι· οὐ μέντοι αὐτοί γε ὁμολογέουσι τούτοισι οἱ Κᾶρες, ἀλλὰ νομίζουσι αὐτοὶ ἑωυτοὺς εἶναι αὐτόχθονας ἠπειρώτας καὶ τῷ οὐνόματι τῷ αὐτῷ αἰεὶ διαχρεωμένους τῷ περ νῦν. ἀποδεικνῦσι δὲ ἐν Μυλάσοισι Διὸς Καρίου ἱρὸν ἀρχαῖον, τοῦ Μυσοῖσι μὲν καὶ Λυδοῖσι μέτεστι ὡς κασιγνήτοισι ἐοῦσι τοῖσι Καρσί* ... *τούτοισι μὲν δὴ μέτεστι, ὅσοι δὲ ἐόντες ἄλλου ἔθνεος ὁμόγλωσσοι τοῖσι Καρσὶ ἐγένοντο, τούτοισι δὲ οὐ μέτα.* **172** *οἱ δὲ Καύνιοι αὐτόχθονες δοκέειν ἐμοί εἰσι, αὐτοὶ μέντοι ἐκ Κρήτης φασὶ εἶναι. προσκεχωρήκασι δὲ γλῶσσαν μὲν πρὸς τὸ Καρικὸν ἔθνος, ἢ οἱ Κᾶρες πρὸς τὸ Καυνικόν* ... **173** ... *οἱ δὲ Λύκιοι ἐκ Κρήτης τὠρχαῖον γεγόνασι (τὴν γὰρ Κρήτην εἶχον τὸ παλαιὸν πᾶσαν βάρβαροι).* ... *νῦν ἔτι καλέονται ὑπὸ τῶν περιοίκων οἱ Λύκιοι Τερμίλαι.*

I 174 *Λακεδαιμονίων ἄποικοι Κνίδιοι*; cf. DI III 1, p. 221.

II 50 *σχεδὸν δὲ καὶ πάντων τὰ οὐνόματα τῶν θεῶν ἐξ Αἰγύπτου ἐλήλυθε ἐς τὴν Ἑλλάδα* (*cetera Pelasgica, Neptuni Libycum*).

II 171 *αἱ Δαναοῦ θυγατέρες ἦσαν αἱ τὴν τελετὴν ταύτην ἐξ Αἰγύπτου ἐξαγαγοῦσαι καὶ διδάξασαι τὰς Πελασγιώτιδας γυναῖκας· μετὰ δὲ ἐξαναστάσης πάσης Πελοποννήσου ὑπὸ Δωριέων ἐξαπώλετο ἡ τελετή, οἱ δὲ ὑπολειφθέντες Πελοποννησίων καὶ οὐκ ἐξαναστάντες Ἀρκάδες διέσῳζον αὐτὴν μοῦνοι.*

II 178 *φιλέλλην δὲ γενόμενος ὁ Ἄμασις* ... *ἔδωκε Ναύκρατιν πόλιν ἐνοικῆσαι, τοῖσι δὲ μὴ βουλομένοισι αὐτῶν ἐνοικέειν, αὐτοῦ δὲ ναυτιλλομένοισι ἔδωκε χώρους ἐνιδρύσασθαι βωμοὺς καὶ τεμένεα θεοῖσι. τὸ μέν νυν μέγιστον αὐτῶν τέμενος καὶ ὀνομαστότατον ἐὸν καὶ χρησιμώτατον, καλεύμενον δὲ Ἑλλήνιον, αἵδε πόλιές εἰσι αἱ ἱδρυμέναι κοινῇ, Ἰώνων μὲν Χίος καὶ Τέως καὶ Φώκαια*

καὶ Κλαζομεναί, Δωριέων δὲ Ῥόδος καὶ Κνίδος καὶ Ἁλικαρνησσὸς καὶ Φάσηλις, Αἰολέων δὲ ἡ Μυτιληναίων μούνη. ...χωρὶς δὲ Αἰγινῆται ἐπὶ ἑωυτῶν ἱδρύσαντο τέμενος Διός, καὶ ἄλλο Σάμιοι Ἥρης καὶ Μιλήσιοι Ἀπόλλωνος.

III 26 ... ἐς Ὄασιν πόλιν, τὴν ἔχουσι μὲν Σάμιοι τῆς Αἰσχριωνίης φυλῆς λεγόμενοι εἶναι.

IV 78 οἱ δὲ Βορυσθενεῖται οὗτοι λέγουσι σφέας αὐτοὺς εἶναι Μιλησίους.

IV 147—161 *De Thera Lacedaemoniorum, Cyrene Theraeorum coloniis.*

IV 148 οἱ γὰρ πλεῦνες αὐτῶν (*Minyarum e Lemno insula expulsorum*) ἐτράποντο ἐς τοὺς Παρωρεάτας καὶ Καύκωνας, τούτους δὲ ἐξελάσαντες ἐκ τῆς χώρης σφέας αὐτοὺς ἓξ μοίρας διεῖλον, καὶ ἔπειτα ἔκτισαν πόλιας τάςδε ἐν αὐτοῖσι, Λέπρεον Μάκιστον Φρίξας Πύργον Ἔπιον Νούδιον· τουτέων δὲ τὰς πλεῦνας ἐπ' ἐμέο Ἠλεῖοι ἐπόρθησαν.

